# Πατρολογικά κείμενα

-0-

| Πληκτρολόγηση κειμένου για Εύρεση |
| --- |
| |

-0-

# Παλάδιος

=.=

Palladius Scr. Eccl. 0001
Historia Lausiaca (recensio G)

-=-

## ΠΑΛΛΑΔΙΟΥ ΛΑΥΣΙΑΚΟΝ

Πολλῶν πολλὰ καὶ ποικίλα κατὰ διαφόρους καιροὺς συγγράμματα τῷ βίῳ καταλελοιπότων, τῶν μὲν ἐξ ἐπιπνοίας τῆς ἄνωθεν χάριτος θεοδότου εἰς οἰκοδομὴν καὶ ἀσφάλειαν τῶν πιστῇ προθέσει ἑπομένων τοῖς δόγμασι τοῦ σωτῆρος, τῶν δὲ ἐξ ἀνθρωπαρέσκου καὶ διεφθαρμένης προθέσεως ὑλομανησάντων εἰς παραμυθίαν τῶν κενοδοξίαν κισσώντων, ἑτέρων δὲ ἔκ τινος μανίας καὶ ἐνεργείας τοῦ μισοκάλου δαίμονος τύφῳ καὶ μήνιδι ἐπὶ λύμῃ τῶν κουφογνωμόνων ἀνθρώπων καὶ σπίλῳ τῆς ἀχράντου καὶ καθολικῆς ἐκκλησίας ἐπεισφρησάντων ταῖς διανοίαις τῶν ἀνοήτων ἐπὶ ἐγκότῳ τῆς σεμνῆς πολιτείας·

ἔδοξε κἀμοὶ τῷ ταπεινῷ, αἰδεσθέντι τὴν ἐπιταγὴν τῆς σῆς μεγαλονοίας, φιλομαθέστατε, τὴν ἐπὶ προκοπῇ τῆς διανοίας, τριακοστὸν μὲν καὶ τρίτον ἔτος ἄγοντι ἐν τῇ τῶν ἀδελφῶν πολιτείᾳ δῆθεν καὶ τῷ μονήρει βίῳ, εἰκοστὸν δὲ τῆς ἐπισκοπῆς, πεντηκοστὸν δὲ καὶ ἕκτον ἐν τῇ πάσῃ ζωῇ, ποθοῦντί σοι τὰ τῶν πατέρων διηγήματα, ἀρρένων τε καὶ θηλειῶν, ὧν τε ἑώρακα καὶ περὶ ὧν ἀκήκοα, οἷς τε συνανεστράφην ἐν τῇ κατ᾽ Αἴγυπτον ἐρήμῳ καὶ Λιβύῃ καὶ Θηβαΐδι καὶ Συήνῃ, ὑφ᾽ ἣν καὶ οἱ λεγόμενοι Ταβεννησιῶται, ἔπειτα Μεσοποταμίᾳ Παλαιστίνῃ τε καὶ Συρίᾳ, καὶ τοῖς μέρεσι τῆς δύσεως Ῥώμῃ τε καὶ Καμπανίᾳ καὶ τῶν περὶ ταύτην, ἄνωθεν ἐκθέσθαι σοι ἐν διηγήματος εἴδει τὸ βιβλίον τοῦτο·

ὅπως σεμνὸν καὶ ψυχωφελὲς ὑπομνηστικὸν ἔχων ἀδιάλειπτον φάρμακον λήθης πάντα μὲν νυσταγμὸν τὸν ἐξ ἀλόγου ἐπιθυμίας, πᾶσαν δὲ διψυχίαν καὶ κιμβικίαν τὴν ἐν ταῖς χρείαις, πάντα τε ὄκνον καὶ μικροψυχίαν τῶν ἐν τῷ ἤθει, ὀξυθυμίαν τε καὶ τάραχον καὶ λύπην καὶ ἄλογον φόβον διὰ τούτου ἀποσκευαζόμενος καὶ τὸν μετεωρισμὸν τοῦ κόσμου, ἀδιαλείπτῳ πόθῳ προκόπτῃς ἐν τῇ προθέσει τῆς εὐσεβείας, ὁδηγὸς καὶ σαυτοῦ καὶ τῶν μετὰ σοῦ καὶ τῶν ὑπὸ σὲ καὶ τῶν εὐσεβεστάτων γινόμενος βασιλέων· δι᾽ ὧν κατορθωμάτων πάντες οἱ φιλόχριστοι ἑνωθῆναι θεῷ ἐπείγονται· συνεκδεχόμενος καὶ τὴν ἀνάλυσιν τῆς ψυχῆς καθ᾽ ἡμέραν, κατὰ τὸ γεγραμμένον· Ἀγαθὸν τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι· καὶ τὸ Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, καὶ παρασκευάζου εἰς τὸν ἀγρόν· ὁ γὰρ μνημονεύων ἀεὶ τοῦ θανάτου ὡς ἐξ ἀνάγκης ἥξει καὶ οὐ μελλήσει, οὐ πταίσει μεγάλα· μήτε παραλογιζόμενος τὴν ὑποθήκην τῶν ὑφηγήσεων μήτε διαπτύων τὴν ἰδιωτείαν καὶ τὸ ἀκαλλὲς τῆς λέξεως. Οὐ γὰρ δὴ τοῦτο τὸ ἔργον ἐστὶ θεϊκῆς διδασκαλίας σεσοφισμένως φράζειν, ἀλλὰ πείθειν τὴν γνώμην νοήμασιν ἀληθείας, κατὰ τὸ εἰρημένον· Ἄνοιγε σὸν στόμα λόγῳ θεοῦ· καὶ πάλιν· Μὴ ἀστοχήσῃς διηγήματος γερόντων, καὶ γὰρ καὶ αὐτοὶ παρὰ τῶν πατέρων ἔμαθον.

Ἐγὼ τοίνυν, φιλομαθέστατε θεοῦ ἄνθρωπε, ἐκ μέρους ἑπόμενος ταύτῃ τῇ ῥήσει πολλοῖς τῶν ἁγίων συντετύχηκα, οὐ περιέργῳ χρησάμενος λογισμῷ, ἀλλὰ καὶ τριάκοντα ἡμερῶν καὶ δὶς τοσούτων ὁδὸν ἐξανύσας, ὡς ἐπὶ θεοῦ πεζῇ τῇ πορείᾳ πατήσας πᾶσαν τὴν γῆν Ῥωμαίων, ἠσμένισα τὴν κακουχίαν τῆς ὁδοιπορίας ἐπὶ συντυχίᾳ ἀνδρὸς φιλοθέου, ἵνα κερδήσω ὅπερ οὐκ εἶχον.

Εἰ γὰρ ὁ πολλῷ κρείττων ἐμοῦ ὑπερβὰς πολιτείᾳ καὶ γνώσει καὶ συνειδήσει καὶ πίστει Παῦλος τὴν ἀπὸ Ταρσοῦ εἰς τὴν Ἰουδαίαν ἐστείλατο ἀποδημίαν ἐπὶ συντυχίᾳ Πέτρου καὶ Ἰακώβου καὶ Ἰωάννου, καὶ ἐν εἴδει καυχήματος διηγεῖται, στηλιτεύων ἑαυτοῦ τοὺς πόνους εἰς παροξυσμὸν τῶν ὄκνῳ καὶ ἀργίᾳ συζώντων ἐν τῷ εἰπεῖν· Ἀνέβην εἰς Ἱεροσόλυμα ἱστορῆσαι Κηφᾶν, οὐκ ἀρκούμενος τῇ φήμῃ τῆς ἀρετῆς ἀλλ᾽ ἐπιποθῶν καὶ τὴν τοῦ εἴδους αὐτοῦ συντυχίαν· πόσῳ μᾶλλον ἐγὼ ὁ μυρίων ταλάντων χρεωφειλέτης ὤφειλον τοῦτο ποιῆσαι, οὐκ ἐκείνους εὐεργετῶν ἀλλ᾽ ἐμαυτὸν ὠφελῶν.

Καὶ γὰρ οἱ τοὺς τῶν πατέρων ἀναγραψάμενοι βίους, Ἀβραάμ τε καὶ τῶν καθεξῆς, Μωσέως καὶ Ἠλίου καὶ Ἰωάννου, οὐχ ἵνα ἐκείνους

δοξάσωσιν ἐξηγήσαντο, ἀλλ᾽ ἵνα καὶ τοὺς ἐντυγχάνοντας ὠφελήσωσιν.

Ταῦτα οὖν εἰδώς, πιστότατε δοῦλε Χριστοῦ Λαῦσε, καὶ σαυτὸν νουθετῶν, ἀνάσχου καὶ τῆς φλυαρίας τῆς ἡμετέρας ἐπὶ φυλακῇ τῆς εὐσεβοῦς γνώμης, ἣ διαφόροις κακίαις ὁραταῖς τε καὶ ἀοράτοις κυμαίνεσθαι πέφυκε, μόνῃ προσευχῇ συνεχεῖ καὶ ἰδιοπραγμοσύνῃ δυναμένη ἠρεμεῖν.

Πολλοὶ γὰρ τῶν ἀδελφῶν καὶ πόνοις καὶ ἐλεημοσύναις κομῶντες, καὶ ἀγαμίαν ἢ παρθενίαν αὐχοῦντες, καὶ μελέτῃ θείων λογίων καὶ σπουδάσμασι θαρρήσαντες, ἠστόχησαν ἀπαθείας ἀδιακρίτως προσχήματι εὐσεβείας τινὰς φιλοπραγμοσύνας νοσήσαντες, ἐξ ὧν τίκτονται πολυπραγμοσύναι ἢ κακοπραγμοσύναι ἀπελαύνουσαι καλοπραγμοσύνην, τὴν μητέρα τῆς ἰδιοπραγμοσύνης.

Ἀνδρίζου τοίνυν, παρακαλῶ, μὴ πιαίνων τὸν πλοῦτον· ὃ δὴ καὶ πεποίηκας, αὐτάρκως αὐτὸν σμικρύνας τῇ διαδόσει τῶν χρείαν ἐχόντων διὰ τὴν ἐκ τούτου τῆς ἀρετῆς ὑπηρεσίαν· μήτε ὁρμῇ τινι καὶ προλήψει ἀλόγῳ ἀνθρωπαρέσκως ὅρκῳ πεδήσας τὴν προαίρεσιν, καθὼς πεπόνθασί τινες φιλονείκως φιλοδοξίᾳ τοῦ μὴ φαγεῖν ἢ πιεῖν δουλώσαντες τὸ αὐτεξούσιον τῇ ἀνάγκῃ τοῦ ὅρκου, καὶ τούτῳ πάλιν ὑποπεσόντες οἰκτρῶς φιλοζωΐᾳ καὶ ἀκηδίᾳ καὶ ἡδονῇ τὴν ἐπιορκίαν ὠδίναντες. Λόγῳ τοίνυν μεταλαμβάνων καὶ λόγῳ ἀπεχόμενος οὐχ ἁμαρτήσεις ποτέ.

Θεῖος γὰρ ὁ λόγος τῶν ἐν ἡμῖν κινημάτων, ἐξορίζων μὲν τὰ βλαβερά, προσλαμβανόμενος δὲ τὰ ἐπωφελῆ· Δικαίῳ γὰρ νόμος οὐ κεῖται. Ἄμεινον γὰρ ἡ μετὰ λόγου οἰνοποσία τῆς μετὰ τύφου ὑδροποσίας. Καὶ βλέπε μοι τοὺς μετὰ λόγου οἶνον πιόντας ἄνδρας ἁγίους, καὶ τοὺς ἄνευ λόγου πιόντας ὕδωρ ἀνθρώπους βεβήλους, καὶ μηκέτι ψέξῃς τὴν ὕλην ἢ ἐπαινέσῃς, ἀλλὰ μακάρισον ἢ ταλάνισον τὴν γνώμην τῶν καλῶς ἢ κακῶς χρωμένων τῇ ὕλῃ. Ἔπιέ ποτε Ἰωσὴφ παρ᾽ Αἰγυπτίοις οἶνον, ἀλλ᾽ οὐκ ἐβλάβη τὴν φρένα, ἠσφαλίσατο γὰρ τὴν γνώμην.

Ὑδροπότησε δὲ Πυθαγόρας καὶ Διογένης καὶ Πλάτων, ἐν οἷς καὶ Μανιχαῖοι καὶ τὸ λοιπὸν σύνταγμα τῶν ἐθελοφιλοσόφων, καὶ ἐπὶ τοσοῦτον ἤλασαν κουφοδοξίας ἀκολασίᾳ ὡς καὶ τὸν θεὸν ἀγνοῆσαι καὶ προσκυνῆσαι εἰδώλοις. Ἥψαντο δὲ καὶ οἱ περὶ τὸν ἀπόστολον Πέτρον τῆς χρήσεως τοῦ οἴνου, ὡς καὶ αὐτὸν ὀνειδίζεσθαι τὸν διδάσκαλον τούτων τὸν σωτῆρα ἐπὶ τῇ μεταλήψει, λεγόντων τῶν

Ἰουδαίων· Ἵνα τί οἱ μαθηταί σου οὐ νηστεύουσιν ὡς καὶ οἱ Ἰωάννου; Καὶ πάλιν τοῖς μαθηταῖς ἐπεμβαίνοντες ὀνειδισμοῖς ἔλεγον· Ὁ διδάσκαλος ὑμῶν μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει. Οὐκ ἂν δὲ ἐπὶ ἄρτου καὶ ὕδατος ἐπελαμβάνοντο ἀλλ᾽ ἐπ᾽ ὄψων καὶ οἴνου δηλονότι·

οἷς πάλιν ἀλόγως θαυμάζουσιν ὑδροποσίαν καὶ ψέγουσιν οἰνοποσίαν ἔλεγεν ὁ σωτήρ· Ἦλθεν Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, μήτε ἐσθίων μήτε πίνων -δηλαδὴ κρέα καὶ οἶνον, δίχα γὰρ τῶν ἄλλων ζῆν οὐκ ἠδύνατο- καὶ λέγουσι· Δαιμόνιον ἔχει. Ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν· Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν, διὰ τὸ ἐσθίειν καὶ πίνειν. Τί οὖν ἡμεῖς ποιήσωμεν; Μήτε τοῖς ψέγουσι μήτε τοῖς ἐπαινοῦσιν ἀκολουθήσωμεν, ἀλλ᾽ ἢ μετὰ Ἰωάννου λόγῳ νηστεύσωμεν κἂν εἴπωσι· Δαιμόνιον ἔχουσιν· ἢ μετ᾽ Ἰησοῦ ἐν σοφίᾳ οἰνοποτήσωμεν, εἰ χρῄζοι τὸ σῶμα, κἂν εἴπωσιν· Ἰδοὺ ἄνθρωποι φάγοι καὶ οἰνοπόται.

Οὔτε γὰρ ἡ βρῶσίς ἐστί τι κατὰ ἀλήθειαν οὔτε ἡ ἀποχή, ἀλλὰ πίστις δι᾽ ἀγάπης τοῖς ἔργοις παρεκτεινομένη. Ὅταν γὰρ πάσῃ πράξει παρακολουθήσῃ ἡ πίστις, ἀκατάκριτος ὁ ἐσθίων καὶ πίνων διὰ τὴν πίστιν· πᾶν γὰρ ὃ οὐκ ἐκ πίστεως ἁμαρτία ἐστίν. Ἀλλ᾽ ἐπειδὴ πᾶς τις ἐρεῖ τῶν πλημμελούντων πίστει μεταλαμβάνειν ἢ ἕτερόν τι πράττειν ἀλόγῳ πληροφορίᾳ διεφθαρμένῳ τῷ συνειδότι, ὁ σωτὴρ διεστείλατο λέγων· Ἐκ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Ὅτι δὲ ὁ καρπὸς τῶν λόγῳ πολιτευομένων καὶ συνέσει κατὰ τὸν θεῖον ἀπόστολον ἀγάπη ἐστὶ καὶ χαρὰ καὶ εἰρήνη καὶ μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραΰτης, καὶ ἐγκράτεια, ὡμολόγηται.

Αὐτὸς γὰρ ἔλεγε Παῦλος· Ὁ γὰρ καρπὸς τοῦ πνεύματός ἐστι τὰ καὶ τά. Ὅτι δὲ ὁ σπουδάζων τοιούτους ἔχειν καρποὺς ἀλόγως ἢ ἀσκόπως ἢ ἀκαίρως οὐ βρώσεται κρέα οὐδὲ πίεται οἶνον, οὐδὲ συνοικήσει τινὶ κακῷ συνειδότι, πάλιν ἔλεγεν ὁ αὐτὸς Παῦλος ὅτι Πᾶς ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, ὑγιαινούσης μὲν τῆς σαρκὸς ἀπεχόμενος τῶν πιαινόντων, ἀρρωστούσης δὲ ἢ ὀδυνωμένης ἢ καὶ λύπαις καὶ περιστάσεσι κοινωνούσης χρήσεται μὲν βρώμασιν ἢ πόμασιν ὡς φαρμάκοις εἰς ἴασιν τῶν λυπούντων, ἀφέξεται δὲ τῶν κατὰ ψυχὴν βλαβερῶν, ὀργῆς, φθόνου, κενοδοξίας, ἀκηδίας, καταλαλιᾶς καὶ ὑπονοίας ἀλόγου, εὐχαριστῶν ἐν κυρίῳ.

Αὐτάρκως τοίνυν περὶ τούτου διαλαβὼν πάλιν ἄλλην παράκλησιν προσάγω σου τῇ φιλομαθείᾳ. Φεῦγε ὅση δύναμις συντυχίας ἀνδρῶν

ὄφελος οὐδὲν ἐχόντων καὶ κοσμούντων τὸ δέρμα ἀκαταλλήλως, κἂν ὀρθόδοξοι εἶεν, μή τί γε αἱρετικῶν, βλαπτόντων τῇ ὑποκρίσει, κἂν δόξωσι πολιαῖς ἢ ῥυτίσιν ἐπισύρεσθαι μῆκος χρόνου. Κἂν γὰρ μηδὲν βλαβῇς παρ᾽ αὐτῶν δι᾽ εὐγένειαν τρόπων, τὸ γοῦν ἔλαττον χαυνωθήσῃ ἢ ἐπαρθήσῃ καταγελῶν τούτων, ὅπερ ἐστί σοι βλάβη. Ὑπὲρ δὲ θυρίδα φωτεινὴν μεταδίωκε ἀνδρῶν τε καὶ γυναικῶν ὁσίας συντυχίας, ἵνα διὰ τούτων, καθάπερ λεπτόγραφον βιβλίον, δυνηθῇς σαφῶς ἰδεῖν καὶ τὴν σὴν καρδίαν, διὰ τῆς παραθέσεως τὴν ῥαθυμίαν ἢ τὴν ἀμέλειαν δυνάμενος τὴν σὴν δοκιμάζειν.

Ἥ τε γὰρ χρόα τῶν προσώπων ἐπανθοῦσα τῇ πολιᾷ καὶ ὁ στολισμὸς τῆς ἐσθῆτος καὶ ἡ ἀτυφία τῶν λόγων καὶ ἡ εὐλάβεια τῶν λέξεων καὶ τὸ χαρίεν τῶν νοημάτων ἐνδυναμώσει σε, κἂν ἐν ἀκηδίᾳ τυγχάνῃς. Στολισμὸς γὰρ ἀνδρὸς καὶ βῆμα ποδὸς καὶ γέλως ὀδόντων ἀναγγελεῖ τὰ περὶ αὐτοῦ καθὼς ἡ σοφία λέγει.

Ἀρξάμενος τοίνυν τῶν διηγήσεων οὐ τοὺς ἐν ταῖς πόλεσιν οὔτε τοὺς ἐν ταῖς κώμαις ἢ ἐρημίαις σοι καταλείψω ἀγνώστους τῷ λόγῳ. Οὐ γὰρ ὁ τόπος ἐστὶν ὁ ζητούμενος ἔνθα κατῴκησαν οὗτοι, ἀλλ᾽ ὁ τρόπος τῆς προαιρέσεως.

Περὶ Ἰσιδώρου

Πρώτως πατήσας τὴν Ἀλεξανδρέων πόλιν ἐν τῇ δευτέρᾳ ὑπατείᾳ Θεοδοσίου τοῦ μεγάλου βασιλέως, ὃς νῦν ἐν ἀγγέλοις ὑπάρχει διὰ τὴν αὐτοῦ πίστιν εἰς τὸν Χριστόν, περιέτυχον ἐν τῇ πόλει ἀνδρὶ θαυμασίῳ παντόθεν κεκοσμημένῳ ἔν τε ἤθει καὶ γνώσει, Ἰσιδώρῳ πρεσβυτέρῳ ξενοδόχῳ ὄντι τῆς Ἀλεξανδρέων ἐκκλησίας· ὃς τὰ μὲν πρῶτα τῆς νεότητος ἆθλα ἐλέγετο ἠνυκέναι ἐν τῇ ἐρήμῳ· οὗ καὶ τὴν κέλλαν ἐθεασάμην ἐν τῷ ὄρει τῷ τῆς Νιτρίας. Κατέλαβον δὲ τοῦτον ἐτῶν ἑβδομήκοντα γέροντα, ὃς ἐπιζήσας πεντεκαίδεκα ἔτη ἄλλα τελευτᾷ ἐν εἰρήνῃ.

Οὗτος μέχρις αὐτῆς τῆς τελευτῆς οὐκ ὀθόνην ἐφόρεσεν ἐκτὸς φακιολίου, οὐ λουτροῦ ἥψατο, οὐ κρεῶν μετέλαβεν· ὃς ἔσχε τοιοῦτον τὸ σωμάτιον ὑπὸ τῆς χάριτος συγκροτούμενον, ὡς προσδοκῆσαι πάντας τοὺς ἀγνοοῦντας αὐτοῦ τὴν δίαιταν ὅτι ἐν τρυφῇ διάγει. Τούτου τὰς ἀρετὰς τῆς ψυχῆς ἐὰν θέλω διηγήσασθαι κατὰ μέρος ἐπιλείψει μοι ὁ χρόνος· ὃς τοσοῦτον ἦν φιλάνθρωπος καὶ εἰρηνικός, ὡς καὶ αὐτοὺς τοὺς ἐχθροὺς αὐτοῦ τοὺς ἀπίστους αἰδεῖσθαι αὐτοῦ τὴν σκιὰν διὰ τὸ λίαν χρηστόν.

Τοσαύτην δὲ ἔσχε γνῶσιν τῶν ἁγίων γραφῶν καὶ τῶν θείων δογμάτων, ὡς καὶ παρ᾽ αὐτὰ τὰ συμπόσια τῶν ἀδελφῶν ἐξίστασθαι τὴν διάνοιαν καὶ ἐνεάζειν· καὶ παρακαλούμενος διηγήσασθαι τὰ τῆς ἐκστάσεως, ἔλεγεν ὅτι Ἀπεδήμησα τῇ διανοίᾳ, ἁρπαγεὶς ὑπὸ θεωρίας τινός. Ἔγνων κἀγὼ τοῦτον πολλάκις δακρύσαντα ἐπὶ τραπέζης, καὶ τὴν αἰτίαν πυθόμενος τῶν δακρύων ἤκουσα αὐτοῦ λέγοντος ὅτι Αἰδοῦμαι μεταλαμβάνων ἀλόγου τροφῆς, λογικὸς ὑπάρχων καὶ ὀφείλων ἐν παραδείσῳ τρυφῆς διάγειν διὰ τὴν δοθεῖσαν ἡμῖν παρὰ τοῦ Χριστοῦ ἐξουσίαν.

Οὗτος γνώριμος ὢν τῇ κατὰ Ῥώμην συγκλήτῳ πάσῃ ταῖς τε γυναιξὶ τῶν μεγιστάνων, ὁπηνίκα σὺν Ἀθανασίῳ τῷ ἐπισκόπῳ ἀπεληλύθει τὸ πρῶτον, ἔπειπα σὺν Δημητρίῳ τῷ ἐπισκόπῳ, καὶ περισσεύων πλούτῳ καὶ ἀφθονίᾳ χρειῶν, οὐ διαθήκην ἔγραψε τελευτῶν, οὐ νόμισμα καταλέλοιπεν, οὐ πρᾶγμα ταῖς ἰδίαις αὐτοῦ ἀδελφαῖς παρθένοις οὔσαις· ἀλλὰ παρέθετο αὐτὰς τῷ Χριστῷ λέγων· Ὁ κτίσας ὑμᾶς οἰκονομήσει ὑμῶν τὴν ζωήν, ὡς κἀμέ. Ἦν δὲ σὺν ταῖς ἀδελφαῖς αὐτοῦ σύστημα παρθένων ἑβδομήκοντα.

Οὗτος φοιτήσαντί μοι νέῳ ὄντι πρὸς αὐτὸν καὶ παρακαλοῦντι στοιχειωθῆναι ἐν τῷ μονήρει βίῳ, σφριγώσης ἔτι τῆς ἡλικίας καὶ λόγου μὴ δεομένης ἀλλὰ πόνων τῶν κατὰ σάρκα, ὡς καλὸς πωλοδάμνης ἐξήγαγέ με ἔξω τῆς πόλεως εἰς τὰ λεγόμενα ἐρημικὰ ἀπὸ σημείων πέντε.

Περὶ Δωροθέου

Παρέδωκε δέ με Δωροθέῳ τινὶ ἀσκητῇ Θηβαίῳ ἑξηκοστὸν ἄγοντι ἔτος ἐν τῷ σπηλαίῳ καὶ κελεύει με πληρῶσαι παρ᾽ αὐτῷ τρία ἔτη πρὸς δαμασμὸν τῶν παθῶν· ἠπίστατο γὰρ τὸν γέροντα μεγάλῃ σκληραγωγίᾳ συζῶντα· πάλιν ἐπανακάμπτειν πρὸς αὐτὸν ἐντειλάμενος διδασκαλίας ἕνεκεν πνευματικῆς. Μὴ δυνηθεὶς δὲ τρία ἔτη πληρῶσαι, ἀρρωστίᾳ περιπεσών, οὕτως πρὸ τῶν τριῶν ἤρθην παρ᾽ αὐτοῦ· ἦν γὰρ αὐτοῦ ἡ δίαιτα αὐχμώδης καὶ ξηροτάτη. Διὰ πάσης μὲν γὰρ τῆς ἡμέρας ἐν τῷ καύματι ἐν τῇ ἐρήμῳ τῇ παρὰ θάλασσαν συνῆγε λίθους, καὶ τούτους ἀεὶ οἰκοδομῶν καὶ κέλλας ποιῶν παρεχώρει τοῖς μὴ δυναμένοις οἰκοδομῆσαι, κατ᾽ ἔτος τελίσκων κέλλαν μίαν. Ἐμοῦ δέ ποτε εἰρηκότος αὐτῷ· Τί ποιεῖς, πάτερ, ἐν γήρᾳ τοσούτῳ ἀποκτείνων σοῦ τὸ σωμάτιον ἐν τοῖς καύμασι τούτοις; ἀπεκρίνατο λέγων· Ἀποκτείνει με, ἀποκτείνω αὐτό. Ἤσθιε μὲν γὰρ οὐγκίας ἓξ ἄρτου καὶ λεπτολαχάνων δέμα, ἔπινε δὲ

ὕδατος τὸ ὅσον. Ἐπὶ θεοῦ μάρτυρος οὐκ ἔγνων αὐτὸν ἁπλώσαντα πόδας, οὐ καθευδήσαντα ἐπὶ ψιαθίου, οὐκ ἐπὶ κλίνης· ἀλλὰ διὰ πάσης νυκτὸς καθήμενος ἔπλεκε σειρὰν τὴν ἐκ θαλλῶν φοινίκων εἰς λόγον τροφῆς.

Προσδοκήσας δὲ ὅτι ἐπ᾽ ἐμοῦ τοῦτο ποιεῖ, ἐφιλοπεύστησα καὶ παρὰ ἄλλων αὐτοῦ μαθητῶν ἀκριβώσας, οἵτινες ἔμενον κατ᾽ ἰδίαν, ὅτι ἀπὸ νεότητος ταύτην ἔσχε τὴν πολιτείαν, μηδέ ποτε κοιμηθεὶς ἐξεπίτηδες, εἰ μή τι ἐργαζόμενος ἢ ἐσθίων ἐκάμμυσε τὸν ὀφθαλμὸν κατενεχθεὶς ὕπνῳ, ὥστε πολλάκις καὶ τὸν ψωμὸν ἐκπίπτειν ἐκ τοῦ στόματος αὐτοῦ κατὰ τὸν καιρὸν τοῦ φαγεῖν ὑπερβολῇ νυσταγμοῦ. Ἀναγκάζοντος δέ μου αὐτόν ποτε μικρὸν ἐπὶ τῆς ψιάθου ἀναπεσεῖν, ὑπολυπούμενος ἔλεγεν· Ἐὰν πείσῃς τοὺς ἀγγέλους κοιμηθῆναι, πείσεις καὶ τὸν σπουδαῖον.

Ἐν τῷ φρέατι αὐτοῦ περὶ ὥραν ἐννάτην ἀπέστειλέ μέ ποτε πληρῶσαι τὸν κάδον εἰς λόγον μεταλήψεως τῆς ὥρας τῆς ἐννάτης. Ἔτυχε δέ με ἀπελθόντα ἀσπίδα ἐν τῷ φρέατι κάτω ἰδεῖν, καὶ μηκέτι ἀντλῆσαι τὸ ὕδωρ, ἀλλ᾽ ἀπελθόντα εἰπεῖν αὐτῷ ὅτι· Ἀπεθάνομεν, ἀββᾶ· ἀσπίδα γὰρ εἶδον ἐν τῷ φρέατι. Ὁ δὲ ὑπομειδιάσας σεμνὸν ἐπὶ πολύ μοι προσέσχε, καὶ σείσας τὴν κεφαλὴν ἔλεγεν· Ἐὰν δόξῃ τῷ διαβόλῳ κατὰ πᾶν φρέαρ γενέσθαι ὄφιν ἢ χελώνην καὶ ἐμπίπτειν εἰς τὰς πηγὰς τῶν ὑδάτων, σὺ μένεις μηδέποτε πίνων; καὶ ἐξελθὼν καὶ δι᾽ ἑαυτοῦ ἀντλήσας, νῆστις πρῶτος ἀπερρόφησεν εἰπών· Ὅπου σταυρὸς ἐπιφοιτᾷ οὐκ ἰσχύει κακία τινός.

Περὶ Ποταμιαίνης

Ὁ μακάριος οὗτος Ἰσίδωρος συντετυχηκὼς Ἀντωνίῳ τῷ μακαρίτῃ γραφῆς ἄξιον διηγήσατό μοι πρᾶγμα, ἀκηκοὼς παρ᾽ αὐτοῦ ὅτι Ποταμιαίνα τις οὕτω καλουμένη κατὰ τὸν καιρὸν Μαξιμιανοῦ τοῦ διώκτου ὡραιοτάτη κόρη ὑπῆρχε παιδίσκη τινός· ἣν πολλαῖς λιπαρήσας ὑποσχέσεσιν ὁ ταύτης δεσπότης ἀναπεῖσαι οὐκ ἠδυνήθη·

τελευταῖον δὲ μανεὶς παραδίδωσιν αὐτὴν τῷ τότε ἐπάρχῳ τῆς Ἀλεξανδρείας, ἔκδοτον αὐτὴν δοὺς ὡς χριστιανὴν καὶ βλασφημοῦσαν τοὺς καιροὺς καὶ τοὺς βασιλεῖς ἐπὶ τοῖς διωγμοῖς, ὑποθέμενος αὐτῷ μετὰ χρημάτων ὅτι Ἐὰν συνθῆταί μου τῷ σκόπῳ, ἀτιμώρητον αὐτὴν φύλαξον· ἐὰν δὲ ἐπιμείνῃ τῇ αὐστηρίᾳ, παρεκάλεσε τιμωρηθῆναι αὐτήν, ἵνα μὴ ζῶσα καταγελάσῃ τῆς ἀσωτίας αὐτοῦ.

Ἀχθεῖσα δὲ πρὸ τοῦ βήματος διαφόροις ὀργάνοις τιμωρητικοῖς ἐπυργομαχεῖτο τὴν γνώμην. Ἐν οἷς ὀργάνοις καὶ λέβητα μέγαν

πλήσας πίσσης ἐκέλευσεν ὑποκαίεσθαι ὁ δικαστής. Βραζούσης οὖν τῆς πίσσης καὶ σφοδρῶς ἐκκαιομένης, προέτεινεν αὐτῇ· Ἢ ἄπελθε, ὑποτάγηθι τοῖς θελήμασι τοῦ δεσπότου σου· ἢ ἵνα εἰδῇς ὅτι ἐν τῷ λέβητί σε καταγγισθῆναι κελεύω. Ἡ δὲ ἀπεκρίνατο λέγουσα· Μὴ γένοιτό ποτε τοιοῦτος δικαστὴς ὃς κελεύει ἀσωτίᾳ ὑποτάσσεσθαι.

Ἀπομανεὶς οὖν ἐκεῖνος κελεύει ἐκδυθεῖσαν αὐτὴν βληθῆναι ἐν τῷ λέβητι. Ἡ δὲ φωνὴν ἀφίησιν εἰποῦσα· Τὴν κεφαλὴν τοῦ βασιλέως σου ὃν σὺ φοβῇ, εἰ κέκριταί σοι τιμωρήσασθαί με οὕτω, κατὰ μικρὸν κέλευσον χαλασθῆναί με ἐν τῷ λέβητι, ἵνα εἰδῇς πόσην μοι χαρίζεται ὑπομονὴν ὁ Χριστὸς ὃν σὺ ἀγνοεῖς. Καὶ χαλωμένη κατὰ μικρὸν ἐπὶ παράτασιν ὥρας ἐξέψυξε, φθασάσης τῆς πίσσης περὶ τὸν τράχηλον αὐτῆς.

Περὶ Διδύμου

Πλεῖστοι μὲν οὖν ὅσοι καὶ ὅσαι ἐτελειώθησαν ἐν τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ, ἄξιοι τῆς γῆς τῶν πραέων. Ἐν οἷς καὶ Δίδυμος ὁ συγγραφεύς, ὁ ἀπὸ ὀμμάτων γενόμενος· οὗ καὶ συντυχίας ἔσχηκα τέσσαρας ἐκ διαλειμμάτων πρὸς αὐτὸν ἀπερχόμενος ἐπὶ δέκα ἔτη. Τελευτᾷ γὰρ ἐτῶν ὀγδοήκοντα πέντε. Οὗτος ἀπὸ ὀμμάτων ὑπῆρχεν, ὡς αὐτός μοι διηγήσατο, τετραέτης τὰς ὄψεις ἀποβαλών, μήτε γράμματα μεμαθηκὼς μήτε διδασκάλοις φοιτήσας·

εἶχε γὰρ τὸν κατὰ φύσιν διδάσκαλον ἐρρωμένον, τὸ ἴδιον συνειδός· ὃς τοσαύτῃ χάριτι ἐκεκόσμητο γνώσεως ὡς καθ᾽ ἱστορίαν πληροῦσθαι ἐπ᾽ αὐτῷ τὸ γεγραμμένον· Κύριος σοφοῖ τυφλούς. Παλαιὰν γὰρ καὶ καινὴν διαθήκην ἡρμήνευσε κατὰ λέξιν· τῶν δὲ δογμάτων οὕτως ἐπεμελήθη, λεπτῶς καὶ ὀχυρῶς ἐκθέμενος τὸν περὶ αὐτῶν λόγον, ὡς πάντας ὑπερβάλλειν τοὺς ἀρχαίους ἐν γνώσει.

Ἀναγκάζοντος δὲ αὐτοῦ ποτε ποιῆσαί με ἐν τῷ κελλίῳ αὐτοῦ εὐχήν, καὶ μὴ βουλομένου μου, ἔλεγε διηγούμενος ὅτι Εἰς τὴν κέλλαν ταύτην τρίτον εἰσῆλθεν ὁ μακάριος Ἀντώνιος ἐπισκεψάμενός με· καὶ παρακληθεὶς παρ᾽ ἐμοῦ ποιῆσαι εὐχὴν εὐθὺς ἔκλινε γόνυ ἐν τῷ κελλίῳ, καὶ οὐ παρεσκεύασέ με δευτερῶσαι τὸν λόγον, ἔργῳ με παιδεύσας ἐν τῇ ὑπακοῇ. Ὥστε εἰ κατ᾽ ἴχνος βαίνεις τῆς αὐτοῦ πολιτείας, ὡς ἅτε μονάζων καὶ δι᾽ ἀρετὴν ξενιτεύων, ἀπόθου τὴν φιλονεικίαν.

Διηγήσατο δέ μοι καὶ τοῦτο, ὅτι Φροντίζοντός μου περὶ τῆς ζωῆς Ἰουλιανοῦ τοῦ ἀθλίου βασιλέως ὡς διώκτου, καὶ ἀδημονοῦντος μιᾷ τῶν ἡμερῶν καὶ μέχρις ἑσπέρας βαθείας μὴ γευσαμένου ἄρτον

ἕνεκεν τῆς φροντίδος ἔτυχεν ἐν τῷ θρόνῳ καθήμενόν με κατενεχθῆναι ὕπνῳ, καὶ ἰδεῖν ἔκστασιν ἵππους λευκοὺς διατρέχοντας μετὰ τῶν ἐπιβατῶν καὶ κηρύττοντας· “Εἴπατε Διδύμῳ, σήμερον ἑβδόμην ὥραν ἐτελεύτησεν Ἰουλιανός· ἀναστὰς οὖν φάγε, καὶ ἀπόστειλον, φασί, τῷ ἐπισκόπῳ Ἀθανασίῳ, ἵνα κἀκεῖνος γνῷ”. Καὶ ἐσημειωσάμην, φησί, καὶ τὴν ὥραν καὶ τὸν μῆνα καὶ τὴν ἑβδομάδα καὶ τὴν ἡμέραν, καὶ εὑρέθη οὕτως.

Περὶ Ἀλεξάνδρας

Διηγήσατο δέ μοι καὶ περὶ παιδίσκης τινὸς ὀνόματι Ἀλεξάνδρας, ἥτις καταλείψασα τὴν πόλιν καὶ ἐν μνήματι ἑαυτὴν καθείρξασα δι᾽ ὀπῆς ἐλάμβανε τὰ πρὸς τὴν χρείαν, μήτε γυναιξὶ μήτε ἀνδράσι συντυγχάνουσα κατ᾽ ὄψιν ἐπὶ ἔτη δέκα. Τῷ δὲ δεκάτῳ ἔτει ἐκοιμήθη σχηματίσασα ἑαυτήν, ὡς τὴν ἐν συνηθείᾳ ἀπελθοῦσαν καὶ μὴ τυχοῦσαν ἀποκρίσεως ἀπαγγεῖλαι ἡμῖν. Ἀποχρίσαντες οὖν τὴν θύραν καὶ εἰσελθόντες εὕραμεν αὐτὴν κοιμηθεῖσαν.

Ἔλεγε δὲ περὶ αὐτῆς καὶ ἡ τρισμακαρία Μελάνιον περὶ ἧς εἰς ὕστερον λέξω, ὅτι Κατ᾽ ὄψιν μὲν αὐτὴν οὐκ εἶδον, περὶ δὲ τὴν ὀπὴν στᾶσα παρεκάλεσα εἰπεῖν τὴν αἰτίαν δι᾽ ἣν ἔκλεισεν ἑαυτὴν εἰς τὸ μνῆμα. Ἡ δὲ διὰ τῆς ὀπῆς ἐφθέγξατό μοι λέγουσα ὅτι “Ἐβλάβη τις τὸν νοῦν εἰς ἐμέ· καὶ ἵνα μὴ δόξω λυπεῖν αὐτὸν ἢ διαβάλλειν, ᾑρησάμην ζῶσαν ἐμαυτὴν εἰς τὸ μνῆμα εἰσαγαγεῖν, ἢ σκανδαλίσαι ψυχὴν κατ᾽ εἰκόνα θεοῦ ποιηθεῖσαν”.

Ἐμοῦ δέ, φησίν, εἰπούσης· “Πῶς οὖν καρτερεῖς μὴ συντυγχάνουσα μηδενί, ἀλλὰ πυκτεύουσα τῇ ἀκηδίᾳ”; εἶπεν ὅτι “Ἀπὸ πρωῒ μέχρις ἐννάτης ὥρας εὔχομαι καθ᾽ ὥραν, νήθουσα τὸ λίνον· τὰς δὲ διαλοίπους ὥρας περιέρχομαι τῷ νῷ τοὺς ἁγίους πατριάρχας καὶ προφήτας καὶ ἀποστόλους καὶ μάρτυρας· καὶ φαγοῦσά μου τὸν ψωμὸν τὰς ἄλλας ὥρας περιμένω προσκαρτεροῦσα καὶ τὸ τέλος ἐκδεχομένη μετ᾽ ἐλπίδος χρηστῆς”.

Περὶ τῆς πλουσίας παρθένου

Οὐ παραλείψω δὲ ἐν τῷ διηγήματι καὶ τοὺς ἐν καταφρονήσει βεβιωκότας, εἰς ἔπαινον τῶν κατωρθωκότων ἀσφάλειαν δὲ τῶν ἐντυγχανόντων. Παρθένος τις γέγονεν ἐν Ἀλεξανδρείᾳ τῷ μὲν σχήματι ταπεινὴ τῇ δὲ προαιρέσει σοβαρά, πλουσία ἐν χρήμασιν εἰς

ἄγαν, μὴ ? προΐκασα ? ξένῳ μὴ παρθένῳ, μὴ ἐκκλησίᾳ, μὴ πένητι ὀβολόν. Αὕτη πολλαῖς νουθεσίαις τῶν πατέρων οὐκ ἀπεσκευάζετο τὴν ὕλην. Ὑπῆρχε δὲ ταύτῃ καὶ γένος ἐν οἷς τεκνοποιεῖται θυγατέρα ἀδελφῆς ἰδίας, ᾗ νύκτωρ καὶ μεθ᾽ ἡμέραν ἐπηγγέλλετο τὰ αὐτῆς, τοῦ οὐρανίου πόθου ἐκπεσοῦσα. Εἶδος γὰρ καὶ τοῦτό ἐστι πλάνης τοῦ διαβόλου, ἐν προσχήματι φιλοσυγγενείας εἰς πλεονεξίαν ὠδίνειν παρασκευάζοντος· ὅτι γὰρ αὐτῷ οὐ μέλει περὶ γένους, ἀδελφοκτονεῖν καὶ μητροκτονεῖν καὶ πατροκτονεῖν ἐκδιδάσκοντος, ὡμολόγηται.

Ἀλλὰ κἂν δόξῃ συγγενῶν κηδεμονίαν ἐντιθέναι, οὐκ εἰς εὔνοιαν ἐκείνων τοῦτο ποιεῖ, ἀλλ᾽ ὑπὲρ τοῦ τὴν ψυχὴν ἄδικον ἐξασκῆσαι, εἰδὼς τὴν ἀπόφασιν ὅτι Ἄδικοι βασιλείαν θεοῦ οὐ κληρονομήσουσι. Δύναται δέ τις φρονήσει κινούμενος θεϊκῇ μήτε τῆς ἑαυτοῦ ψυχῆς καταφρονεῖν, καὶ τοῖς συγγενέσιν αὐτοῦ, εἴ γε λείπονται, διδόναι παραμυθίαν. Ὅταν δέ τις ὅλην τὴν ψυχὴν ἑαυτοῦ καταπατήσῃ κηδεμονίᾳ συγγενῶν, ὑποπίπτει τῷ νόμῳ, ἐπὶ ματαίῳ τὴν ἑαυτοῦ ψυχὴν λογιζόμενος.

Ἄδει δὲ ὁ ἱεροψάλτης περὶ τῶν τῆς ψυχῆς φροντιζόντων ἐν φόβῳ, ὅτι Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου; ἀντὶ τοῦ, σπανίως· ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ. Οὗτοι γὰρ ἐπὶ ματαίῳ αὐτὴν λαμβάνουσιν ὅσοι τῶν ἀρετῶν ἀμελοῦσι, νομίζοντες αὐτὴν τῷ σαρκίῳ συνδιαλύεσθαι.

Ταύτην τὴν παρθένον θελήσας, τὸ δὴ λεγόμενον, φλεβοτομῆσαι εἰς κουφισμὸν τῆς πλεονεξίας ὁ ἁγιώτατος Μακάριος, ὁ πρεσβύτερος καὶ ἀφηγούμενος τοῦ πτωχείου τῶν λελωβημένων, σοφίζεται δρᾶμα τοιοῦτον· ἦν γὰρ ἐν νεότητι λιθουργὸς ὃν λέγουσι καβιδάριον. Καὶ ἀπελθὼν λέγει αὐτῇ· Λίθοι ἀναγκαῖοι σμάραγδοι καὶ ὑάκινθοι ἐμπεπτώκασί μοι, καὶ εἴτε εὑρεσιμαῖοί εἰσιν εἴτε κλεψιμαῖοι οὐκ ἔχω εἰπεῖν. Τιμῇ οὐχ ὑποβάλλονται, ὑπὲρ διατίμησιν ὄντες· πιπράσκει δὲ αὐτοὺς πεντακοσίων νομισμάτων ὁ ἔχων.

Εἰ δοκεῖ σοι αὐτοὺς λαβεῖν, ἀπὸ ἑνὸς λίθου δύνασαι σῶσαι τὰ πεντακόσια νομίσματα, τοῖς δὲ λοιποῖς εἰς κόσμον τῆς ἀδελφιδῆς σου συγχρήσασθαι. Ἐκκρεμαμένη ἡ παρθένος δελεάζεται καὶ πίπτει αὐτοῦ εἰς τοὺς πόδας, Τῶν ποδῶν σου, λέγουσα, μή τις ἄλλος αὐτοὺς λάβῃ. Προτρέπεται οὖν αὐτὴν ὅτι Παραγένου ἕως τῆς οἰκίας μου καὶ βλέπε αὐτούς. Ἡ δὲ οὐκ ἠνέσχετο, ἀλλὰ προσρίπτει αὐτῷ τὰ

πεντακόσια νομίσματα λέγουσα· Ὡς θέλεις, λαβὲ αὐτούς· ἐγὼ γὰρ οὐ θέλω ἰδεῖν τὸν ἄνθρωπον τὸν πιπράσκοντα.

Ὁ δὲ λαβὼν τὰ πεντακόσια νομίσματα δίδωσιν εἰς τὰς χρείας τοῦ πτωχείου. Χρόνου δὲ παριππεύσαντος, ἐπειδὴ μεγάλην ὑπόληψιν ἐδόκει ἔχειν ὁ ἀνὴρ ἐν Ἀλεξανδρείᾳ φιλόθεος ὢν καὶ ἐλεήμων, ἤκμασε γὰρ μέχρι τῶν ἑκατὸν ἐτῶν, ᾧ συνεχρονίσαμεν καὶ ἡμεῖς, εὐλαβεῖτο αὐτὸν ὑπομνῆσαι. Τέλος εὑροῦσα αὐτὸν ἐν τῇ ἐκκλησίᾳ λέγει αὐτῷ· Δέομαί σου, τί κελεύεις περὶ τῶν λίθων ἐκείνων ὑπὲρ ὧν δεδώκαμεν τὰ πεντακόσια νομίσματα;

Ὁ δὲ ἀπεκρίνατο λέγων· Ἔκτοτε ἀφ᾽ οὗ δέδωκάς μοι τὸν χρυσόν, κατέβαλον αὐτὸν εἰς τὴν τιμὴν τῶν λίθων· καὶ εἰ βούλει ἐλθεῖν καὶ ἰδεῖν αὐτοὺς ἐν τῷ ὀσπιτίῳ, ἐκεῖ γὰρ κεῖνται, ἐλθὲ καὶ βλέπε, ἐάν σοι ἀρέσκουσιν, ἐπεὶ λαβέ σου τὸ χρυσίον. Ἡ δὲ ἦλθεν ἀσμενέστατα. Ἦν δὲ τὸ πτωχεῖον εἰς μὲν τὰ ἀνώγεα ἔχον γυναῖκας, εἰς δὲ τὰ κατώγεα ἄνδρας. Καὶ ἀγαγὼν αὐτὴν εἰσάγει εἰς τὸν πυλῶνα καὶ λέγει αὐτῇ· Τί θέλεις πρῶτον ἰδεῖν; τοὺς ὑακίνθους, ἢ τοὺς σμαράγδους; Λέγει αὐτῷ· Ὃ δοκεῖ σοι.

Ἀνάγει αὐτὴν εἰς τὰ ἀνώγεα καὶ δείκνυσιν αὐτῇ ἠκρωτηριασμένας γυναῖκας λελωβημένας ὄψεις ἐχούσας· καὶ λέγει αὐτῇ· Ἰδοὺ οἱ ὑάκινθοι. Καὶ κατάγει αὐτὴν πάλιν κάτω καὶ λέγει αὐτῇ, δείξας αὐτῇ τοὺς ἄνδρας· Ἰδοὺ οἱ σμάραγδοι, ἐάν σοι ἀρέσκουσιν, ἐπεὶ λαβέ σου τὸ χρυσίον. Οὕτω διατραπεῖσα ἐκείνη ἐξῆλθε, καὶ ἀπελθοῦσα ἀπὸ πολλῆς λύπης, ὅτι οὐ κατὰ θεὸν πεποίηκε τὸ πρᾶγμα, ἐνόσησεν· ἐς ὕστερον εὐχαριστήσασα τῷ πρεσβυτέρῳ, τῆς κόρης ἧς ἐφρόντιζε μετὰ γάμον ἀτέκνου ἀποθανούσης.

## Περὶ τῶν ἐν τῇ Νιτρίᾳ

Συντυχὼν οὖν καὶ συνδιατρίψας τοῖς περὶ Ἀλεξάνδρειαν μοναστηρίοις ἔτη τρία, καλλίστοις καὶ σπουδαιοτάτοις ἀνδράσιν ὡς δισχιλίοις, ἀναχωρήσας ἐκεῖθεν ἦλθον εἰς τὸ ὄρος τῆς Νιτρίας. Μεταξὺ δὲ τοῦ ὄρους τούτου καὶ τῆς Ἀλεξανδρείας λίμνη κεῖται ἡ καλουμένη Μαρία, σημείων ἑβδομήκοντα· ἣν διαπλεύσας διὰ μιᾶς καὶ ἡμισείας ἡμέρας ἦλθον εἰς τὸ ὄρος ἐπὶ τὸ μέρος τῆς μεσημβρίας· ᾧ ὄρει παράκειται ἡ πανέρημος παρατείνουσα ἕως Αἰθιοπίας καὶ τῶν Μαζίκων καὶ τῆς Μαυριτανίας. Ἐν ᾧ ὄρει οἰκοῦσιν ἄνδρες ὡς

πεντακισχίλιοι διαφόρους ἔχοντες πολιτείας, ἕκαστος ὡς δύναται καὶ ὡς βούλεται· ὡς ἐξεῖναι καὶ μόνον μένειν, καὶ δεύτερον, καὶ πολλοστόν. Ἐν τούτῳ τῷ ὄρει ἀρτοκοπεῖά εἰσιν ἑπτὰ ὑπηρετούμενα κἀκείνοις καὶ τοῖς εἰς τὴν πανέρημον ἀναχωρηταῖς, ἀνδράσιν ἑξακοσίοις.

Παροικήσας οὖν ἐν τούτῳ τῷ ὄρει ἐνιαυτὸν καὶ πολλὰ ὠφεληθεὶς ἀπὸ τῶν μακαρίων πατέρων Ἀρσισίου τοῦ μεγάλου καὶ Πουτουβαστοῦ καὶ Ἀσίωνος καὶ Κρονίου καὶ Σαραπίωνος, καὶ πολλοῖς διηγήμασι πατέρων παρ᾽ αὐτῶν κεντρωθείς, εἰσῆλθον εἰς τὴν ἔρημον τὴν ἐνδοτάτω. Ἐν τῷ ὄρει τούτῳ τῆς Νιτρίας ἐκκλησία ἐστὶ μεγάλη, ἐν ᾗ ἵστανται φοίνικες τρεῖς, ἕκαστος ἔχων μάστιγα κρεμαμένην. Καὶ ὁ μέν ἐστιν εἰς λόγον μοναζόντων πταιόντων, ὁ δὲ λῃστῶν, ἐάν γε ἐμπέσωσιν, ὁ δὲ τῶν περιτυχόντων· ὡς πάντας πταίοντας καὶ διελεγχομένους ὡς ἀξίους πληγῶν περιλαμβάνειν τὸν φοίνικα, καὶ λαμβάνοντας ἐπὶ νώτου ῥητὰς οὕτως ἀπολύεσθαι.

Πρόσκειται δὲ τῇ ἐκκλησίᾳ ξενοδοχεῖον, εἰς ὃ τὸν ἀπελθόντα ξένον, μέχρις οὗ ἐξέλθῃ αὐθαιρέτως, δεξιοῦνται πάντα τὸν χρόνον, κἂν ἐπὶ διετίαν ἢ τριετίαν μείνῃ· συγχωρήσαντες δὲ αὐτῷ ἑβδομάδα μίαν ἐν ἀργίᾳ, τὰς λοιπὰς ἡμέρας περισπῶσιν ἐν ἔργοις, ἢ ἐν κήπῳ ἢ ἐν ἀρτοκοπείῳ ἢ ἐν μαγειρείῳ. Εἰ δὲ ἀξιόλογος εἴη, διδόασιν αὐτῷ βιβλίον, μὴ συγχωρήσαντες αὐτῷ ἕως τῆς ὥρας μηδενὶ συντυχεῖν. Ἐν τούτῳ τῷ ὄρει καὶ ἰατροὶ διάγουσι καὶ πλακουντάριοι. Κέχρηνται δὲ καὶ οἴνῳ, καὶ πιπράσκεται οἶνος.

Πάντες δὲ οὗτοι ὀθόνην ἐργάζονται ταῖς χερσίν, ὡς εἶναι πάντες ἀνενδεεῖς. Καὶ δὴ καὶ περὶ ὥραν ἐννάτην ἔστι στάντα ἀκοῦσαι πῶς ἀφ᾽ ἑκάστης μονῆς ψαλμῳδίαι ἐξέρχονται, ὡς προσδοκῆσαι μετάρσιον εἶναι ἐν τῷ παραδείσῳ. Τὴν δὲ ἐκκλησίαν σαββάτῳ καταλαμβάνουσι μόνῳ καὶ κυριακῇ. Ὀκτὼ δὲ ἀφηγούμενοι πρεσβύτεροι ταύτης τῆς ἐκκλησίας εἰσίν, ἐν ᾗ μέχρις οὗ ζῇ ὁ πρῶτος πρεσβύτερος ἄλλος οὐδεὶς προσφέρει, οὐχ ὁμιλεῖ, οὐ δικάζει, ἀλλ᾽ ἡσύχως αὐτῷ προσκαθέζονται μόνον.

Οὗτος ὁ Ἀρσίσιος καὶ ἄλλοι πολλοὶ σὺν αὐτῷ γέροντες, οὓς ἡμεῖς ἑωράκαμεν, σύγχρονοι ἦσαν τοῦ μακαρίου Ἀντωνίου. Ἐν οἷς διηγοῦντο καὶ τὸν Ἀμοῦν εἰδέναι τὸν Νιτριώτην, οὗ τὴν ψυχὴν εἶδεν ἀναλαμβανομένην ὁ Ἀντώνιος καὶ ὑπὸ ἀγγέλων ὁδηγουμένην. Οὗτος ἔλεγε καὶ Παχώμιον εἰδέναι τὸν Ταβεννησιώτην, ἄνδρα

προφήτην, ἀρχιμανδρίτην ἀνδρῶν τρισχιλίων, περὶ οὗ ἐς ὕστερον διηγήσομαι.

Περὶ Ἀμοῦν τοῦ Νιτριώτου

Ἔλεγε δὲ τὸν Ἀμοῦν βεβιωκέναι τοιούτῳ τρόπῳ· ὅτι ὀρφανὸς ὑπάρχων, νεανίσκος ὡς ἐτῶν εἴκοσι δύο βίᾳ παρὰ τοῦ ἰδίου θείου ἐζεύχθη γυναικί· καὶ μὴ δυνηθεὶς ἀντισχεῖν τῇ τοῦ θείου ἀνάγκῃ, ἔδοξε καὶ στεφανοῦσθαι καὶ καθέζεσθαι ἐν παστῷ, καὶ πάντα ὑπομεμενηκέναι τὰ κατὰ τὸν γάμον. Μετὰ δὲ τὸ ἐξελθεῖν πάντας κοιμήσαντες αὐτοὺς ἐν τῷ παστῷ καὶ τῇ κλίνῃ, ἀναστὰς ὁ Ἀμοῦν ἀποκλείει τὴν θύραν, καὶ καθίσας προσκαλεῖται τὴν μακαρίαν αὐτοῦ σύμβιον καὶ λέγει αὐτῇ·

Δεῦρο, κυρία, λοιπὸν διηγήσομαί σοι τὸ πρᾶγμα· ὁ γάμος ὃν ἐγαμήσαμεν οὗτός ἐστι περισσὸν ἔχων οὐδέν. Καλῶς οὖν ποιήσωμεν ἐὰν ἀπὸ τοῦ νῦν ἕκαστος ἡμῶν κατ᾽ ἰδίαν καθευδήσῃ, ἵνα καὶ τῷ θεῷ ἀρέσωμεν φυλάξαντες ἄθικτον τὴν παρθενίαν. Καὶ ἐξενεγκὼν ἐκ τοῦ κόλπου αὐτοῦ βιβλιδάριον ἐκ προσώπου τοῦ ἀποστόλου καὶ τοῦ σωτῆρος ἀνεγίνωσκε τῇ κόρῃ ἀπείρῳ οὔσῃ γραφῶν, καὶ τῷ πλείστῳ μέρει πάντα προστιθεὶς τῇ ἰδίᾳ διανοίᾳ τὸν περὶ παρθενίας καὶ ἁγνείας εἰσηγεῖτο λόγον· ὡς ἐκείνην τῇ χάριτι τοῦ θεοῦ πληροφορηθεῖσαν εἰπεῖν·

Κἀγὼ πεπληροφόρημαι, κύριε· καὶ τί κελεύεις λοιπόν; Κελεύω, φησίν, ἵνα ἕκαστος ἡμῶν ἀπὸ τοῦ νῦν κατ᾽ ἰδίαν μείνῃ. Ἡ δὲ οὐκ ἠνέσχετο, εἰποῦσα· Ἐν τῷ αὐτῷ οἴκῳ μείνωμεν, ἐν διαφόροις δὲ κλίναις. Ζήσας οὖν ἔτη δεκαοκτὼ μετ᾽ αὐτῆς ἐν τῷ αὐτῷ οἴκῳ, διὰ πάσης ἡμέρας ἐσχόλαζε τῷ κήπῳ καὶ τῷ βαλσαμῶνι· βαλσαμουργὸς γὰρ ἦν. Ἥτις βάλσαμος ἀμπέλου δίκην φυτεύεται, γεωργουμένη καὶ κλαδευομένη, πολὺν ἔχουσα πόνον. Ἑσπέρας οὖν εἰσερχόμενος εἰς τὸν οἶκον ἐποίει εὐχὰς καὶ ἤσθιε μετ᾽ αὐτῆς· καὶ νυκτερινὴν πάλιν ποιήσας εὐχὴν ἐξήρχετο.

Τούτων οὕτως ἐπιτελουμένων, καὶ ἀμφοτέρων εἰς ἀπάθειαν ἐληλακότων, ἐνήργησαν αἱ εὐχαὶ τοῦ Ἀμοῦν, καὶ λέγει αὐτῷ τελευταῖον ἐκείνη· Ἔχω σοί τι εἰπεῖν, κύριέ μου· ἵνα, ἐάν μου ἀκούσῃς, πληροφορηθῶ ὅτι κατὰ θεόν με ἀγαπᾷς. Λέγει αὐτῇ· Εἰπὲ ὃ βούλει. Ἡ δὲ λέγει αὐτῷ· Δίκαιόν ἐστι πρᾶγμα ἄνδρα σε ὄντα καὶ δικαιοσύνην ἀσκοῦντα, ὁμοίως κἀμὲ ἐζηλωκυῖαν τὴν αὐτήν σοι ὁδόν, κατ᾽ ἰδίαν μένειν. Ἄτοπον γάρ ἐστι κρύπτεσθαί σου τὴν τοιαύτην ἀρετὴν συνοικοῦντά μοι ἐν ἁγνείᾳ.

Ὁ δὲ εὐχαριστήσας τῷ θεῷ, λέγει αὐτῇ· Οὐκοῦν ἔχε σὺ τοῦτον τὸν οἶκον· ἐγὼ δὲ ποιήσω ἐμαυτῷ ἕτερον οἶκον. Καὶ ἐξελθὼν κατέλαβε τὸ ἐνδότερον τοῦ τῆς Νιτρίας ὄρους· οὔπω γὰρ ἦν τότε μοναστήρια· καὶ ποιεῖ ἑαυτῷ δύο θόλους κελλίων. Καὶ βιώσας ἄλλα εἴκοσι δύο ἔτη ἐν τῇ ἐρήμῳ ἐτελεύτησε, μᾶλλον δὲ ἐκοιμήθη, δὶς τοῦ ἔτους ὁρῶν τὴν μακαρίαν σύμβιον αὐτοῦ.

Τούτου θαῦμα διηγήσατο ὁ μακάριος Ἀθανάσιος ὁ ἐπίσκοπος εἰς τὸν περὶ Ἀντωνίου βίον, ὅτιπερ παρερχόμενος τὸν Λύκον ποταμὸν ἅμα Θεοδώρῳ μαθητῇ αὐτοῦ, καὶ εὐλαβούμενος ἀποδύσασθαι ἵνα μὴ γυμνὸν αὐτὸν ἴδῃ, εἰς τὸ πέραν εὑρέθη δίχα πορθμείου μετενεχθεὶς ὑπὸ ἀγγέλου. Οὗτος τοίνυν ὁ Ἀμοῦν οὕτως ἐβίωσε καὶ οὕτως ἐτελειώθη ὡς τὸν μακάριον Ἀντώνιον τὴν ψυχὴν αὐτοῦ ἰδεῖν ὑπὸ ἀγγέλων ἀναγομένην. Τοῦτον τὸν ποταμὸν μετὰ δειλίας ἐγὼ πορθμείῳ παρῆλθον· διῶρυξ γάρ ἐστι τοῦ μεγάλου Νείλου.

Περὶ Ὤρ

Ἐν τῷ ὄρει τούτῳ τῆς Νιτρίας γέγονεν ἀνὴρ ἀσκητὴς Ὢρ ὀνόματι, ᾧ πολλὴν προσεμαρτύρει ἀρετὴν καὶ πᾶσα μὲν ἡ ἀδελφότης ἐξαιρέτως δὲ ἡ ἄνθρωπος τοῦ θεοῦ Μελάνιον, πρὸ ἐμοῦ εἰσελθοῦσα εἰς τὸ ὄρος· ἐγὼ γὰρ αὐτὸν οὐ κατείληφα ζῶντα. Καὶ τοῦτο ἔλεγον ἐν τοῖς διηγήμασιν ὅτι οὔτε ἐψεύσατό ποτε, οὔτε ὤμοσεν, οὔτε κατηρήσατό τινα, οὔτε ἐκτὸς τῆς χρείας ἐλάλησεν.

Περὶ Παμβώ

Τούτου τοῦ ὄρους γέγονε καὶ ὁ μακάριος Παμβώ, διδάσκαλος Διοσκόρου τοῦ ἐπισκόπου καὶ Ἀμμωνίου καὶ Εὐσεβίου καὶ Εὐθυμίου τῶν ἀδελφῶν, καὶ Ὠριγένους τοῦ ἀδελφιδοῦ Δρακοντίου ἀνδρὸς θαυμαστοῦ. Ὃς Παμβὼ εἶχε μὲν ἀνδραγαθήματα καὶ προτερήματα πλεῖστα, ἐν οἷς δὲ καὶ τοῦτο· τοσοῦτον ἦν ὑπερόπτης χρυσοῦ καὶ ἀργύρου, ὡς ἀπαιτεῖ ὁ λόγος.

Διηγεῖτο γάρ μοι ἡ μακαρία Μελάνιον ὅτι Ἐν ἀρχαῖς παραγενομένη εἰς Ἀλεξάνδρειαν ἀπὸ τῆς Ρώμης, καὶ ἀκούσασα περὶ τῆς τούτου ἀρετῆς, Ἰσιδώρου μοι τοῦ μακαρίου διηγησαμένου καὶ ὁδηγήσαντος πρὸς αὐτὸν εἰς τὴν ἔρημον, ὅτι προσήνεγκα αὐτῷ ἀργενταρίαν τριακοσίων λιτρῶν ἀργυρίου, παρακαλοῦσα αὐτὸν ἐκ τῶν πραγμάτων μου μετασχεῖν. Ὁ δὲ καθεζόμενος καὶ πλέκων θαλλοὺς εὐλόγησέ με φωνῇ μόνῃ καὶ εἶπεν· "Ὁ θεὸς δῴη σοι τὸν μισθόν".

Καὶ λέγει τῷ οἰκονόμῳ αὐτοῦ Ὠριγένει· "Δέξαι καὶ οἰκονόμησον αὐτὸ πάσῃ τῇ κατὰ Λιβύην καὶ τὰς νήσους ἀδελφότητι· ταῦτα γὰρ τὰ

μοναστήρια πένεται πλέον”· παραγγείλας αὐτῷ μηδενὶ τῶν ἐν Αἰγύπτῳ δοῦναι, διὰ τὸ εὐπορωτέραν εἶναι τὴν χώραν. Ἐγὼ δέ, φησίν, ἑστῶσα καὶ ἐκδεχομένη τιμηθῆναι ἢ δοξασθῆναι ὑπ᾽ αὐτοῦ ἐπὶ τῇ δόσει, μηδὲν παρ᾽ αὐτοῦ ἀκούσασα, εἶπον αὐτῷ· “Ἵνα οἶδας, κύριε, πόσον ἐστί, τριακόσιαι λίτραι εἰσίν”.

Ὁ δὲ μηδὲ ὅλως ἀνανεύσας ἀπεκρίνατό μοι· “Ὧ ἤνεγκας αὐτά, τέκνον, σταθμοῦ χρείαν οὐκ ἔχει. Ὁ γὰρ τὰ ὄρη σταθμίζων πολλῷ μᾶλλον ἐπίσταται τὴν ποσότητα τοῦ ἀργυρίου. Εἰ μὲν γὰρ ἐμοὶ αὐτὸ ἐδίδως, καλῶς ἔλεγες· εἰ δὲ θεῷ, τῷ τοὺς δύο ὀβολοὺς μὴ παριδόντι, σιώπα”. Οὕτως ᾠκονόμησε, φησίν, ὁ κύριος ἐν τῷ εἰσελθεῖν με εἰς τὸ ὄρος.

Μετ᾽ ὀλίγον χρόνον κοιμᾶται ὁ ἄνθρωπος τοῦ θεοῦ ἀπύρεκτος, μὴ νοσήσας, ἀλλὰ τὴν σπυρίδα καταράπτων, ἐτῶν ὢν ἑβδομήκοντα· ὃς μεταστειλάμενός με, καὶ τοῦ τελευταίου κεντήματος πρὸς ἀπαρτισμὸν ὄντος, μέλλων ἐκλείπειν λέγει μοι· “Δέξαι ταύτην τὴν σπυρίδα ἐκ τῶν ἐμῶν χειρῶν, ἵνα μέμνησαί μου· ἄλλο γάρ σοι οὐκ ἔχω τί καταλείψω”. Ὃν ἐνταφιάσασα καὶ ὀθονίοις τὸ σῶμα ἑλίξασα κατέθετο· καὶ οὕτως ἀνεχώρησε τῆς ἐρήμου, ἕως θανάτου τὴν σπυρίδα ἔχουσα μεθ᾽ ἑαυτῆς.

Οὗτος ὁ Παμβὼ τελευτῶν, κατ᾽ αὐτὴν τὴν ὥραν τοῦ ἐκλιμπάνειν παρεστῶσι Ὠριγένει τῷ πρεσβυτέρῳ καὶ οἰκονόμῳ καὶ Ἀμμωνίῳ, ἀνδράσι περιβοήτοις, καὶ λοιποῖς ἀδελφοῖς, τοῦτο λέγεται εἰρηκέναι, ὅτι Ἀφ᾽ οὗ ἦλθον εἰς τὸν τόπον τοῦτον τῆς ἐρήμου καὶ ᾠκοδόμησά μου τὴν κέλλαν καὶ ᾤκησα, ἐκτὸς τῶν χειρῶν μου οὐ μέμνημαι “δωρεὰν ἄρτον” φαγών· οὐ μεταμεμέλημαι ἐπὶ λόγῳ ᾧ ἐλάλησα ἕως τῆς ἄρτι ὥρας· καὶ οὕτως ἀπέρχομαι πρὸς τὸν θεὸν ὡς μηδὲ ἀρξάμενος θεοσεβεῖν.

Προσεμαρτύρουν δὲ αὐτῷ ἀφηγούμενοι ἡμῖν Ὠριγένης τε καὶ Ἀμμώνιος ὅτι Οὐδέποτε ἐρωτηθεὶς λόγον γραφικὸν ἢ ἄλλον τινὰ πραγματικὸν παραυτὰ ἀπεκρίνατο, ἀλλ᾽ ἔλεγεν· “Οὐδέπω εὕρηκα”. Πολλάκις δὲ παρῆλθε καὶ τρίμηνον καὶ ἀπόκρισιν οὐκ ἐδίδου, λέγων μὴ κατειληφέναι. Οὕτω μέντοι τὰς ἀποφάσεις αὐτοῦ ἐδέχοντο, γινομένας περιεσκεμμένως κατὰ θεόν, ὡς ἀπὸ θεοῦ. Ταύτην γὰρ τὴν ἀρετὴν ἐλέγετο καὶ ὑπὲρ τὸν μέγαν Ἀντώνιον καὶ ὑπὲρ πάντας ἐσχηκέναι, τὴν εἰς τὸ ἀκριβὲς τοῦ λόγου.

Φέρεται δὲ τοιαύτη πρᾶξις τοῦ Παμβώ, ὅτι Πίωρ ὁ ἀσκητὴς παραβαλὼν αὐτῷ ἴδιον ἀπήνεγκεν ἄρτον, καὶ ἐγκληθεὶς παρ᾽ αὐτοῦ·

Τίνος ἕνεκεν τοῦτο πεποίηκας; ἀπεκρίνατο· Ἵνα σε μὴ βαρήσω, φησίν. Ὃν σιγῇ ῥητῶς ἐπαίδευσε· μετὰ χρόνον γὰρ παραβαλὼν αὐτῷ, βρέξας τὸν ἄρτον ἐβάσταζε, καὶ ἐπερωτηθεὶς εἶπεν· Ἵνα μή σε βαρήσω καὶ ἔβρεξα.

Περὶ Ἀμμωνίου

Ἀμμώνιος οὗτος ὁ μαθητὴς αὐτοῦ ἅμα τρισὶν ἀδελφοῖς ἑτέροις καὶ δυσὶν ἀδελφαῖς αὐτοῦ εἰς ἄκρον φιλοθείας ἐλάσαντες, κατειλήφασι τὴν ἔρημον, κἀκεῖναι κατ᾽ ἰδίαν ποιήσασαι μονὴν καὶ οὗτος κατ᾽ ἰδίαν, ὡς ἱκανὸν ἀπέχειν μεταξὺ ἀλλήλων. Ἐπειδὴ δὲ καθ᾽ ὑπερβολὴν φιλόλογος ἦν ὁ ἀνήρ, καὶ πόλις τις ἠράσθη αὐτοῦ εἰς λόγον ἐπισκόπου, προσῆλθον τῷ μακαρίῳ Τιμοθέῳ παρακαλέσαντες αὐτὸν χειροτονῆσαι αὐτὸν αὐτοῖς ἐπίσκοπον.

Καὶ λέγει αὐτοῖς· Ἀγάγετέ μοι αὐτὸν καὶ χειροτονῶ αὐτόν. Ὡς οὖν ἀπῆλθον μετὰ βοηθείας καὶ εἶδεν ὅτι κατελήφθη, παρεκάλεσεν αὐτοὺς καὶ διωμόσατο μὴ καταδέχεσθαι χειροτονίαν, μηδὲ ἐξέρχεσθαι τῆς ἐρήμου· καὶ οὐ συνεχώρησαν αὐτῷ. Βλεπόντων οὖν αὐτῶν λαβὼν ψαλίδα τὸ οὖς αὐτοῦ τὸ ἀριστερὸν ἕως πυθμένος ἐψάλισε, λέγων αὐτοῖς· Κἂν ἀπὸ τοῦ νῦν πληροφορήθητε ὅτι ἀδύνατόν μοι γενέσθαι, τοῦ νόμου ἀπαγορεύοντος ὠτότμητον εἰς ἱερωσύνην μὴ ἀπάγεσθαι.

Οὕτως οὖν ἀφέντες αὐτὸν ἀνεχώρησαν, καὶ ἀπελθόντες εἶπον τῷ ἐπισκόπῳ. Καὶ λέγει αὐτοῖς· Οὗτος ὁ νόμος παρὰ Ἰουδαίοις πολιτευέσθω· ἐμοὶ δὲ καὶ ῥινότμητον ἐὰν ἐνέγκητε, ἄξιον ὄντα τοῖς τρόποις, χειροτονῶ. Ἀπελθόντες οὖν πάλιν παρεκάλουν αὐτόν· καὶ διώμνυτο αὐτοῖς ὅτι Ἐάν με ἀναγκάσητε, τὴν γλῶσσάν μου ἀποτέμνω. Οὕτως οὖν ἀφέντες αὐτὸν ἀνεχώρησαν.

Τούτου τοῦ Ἀμμωνίου φέρεται τὸ θαῦμα τοῦτο, ὅτι οὐδέποτε ἡδονῆς αὐτῷ ἐπαναστάσης τοῦ σαρκίου αὐτοῦ ἐφείσατο, ἀλλὰ σίδηρον ἐκπυρώσας προσετίθει τοῖς ἑαυτοῦ μέλεσιν, ὡς πάντοτε αὐτὸν ἡλκωμένον εἶναι. Ἡ μέντοι τράπεζα αὐτοῦ γέγονεν ἐκ νεότητος ὠμοφαγία ἕως θανάτου· οὐδὲν γὰρ ὃ διὰ πυρὸς διήρχετο ἔφαγέ ποτε ἐκτὸς ἄρτου. Παλαιὰν καὶ καινὴν γραφὴν ἀποστηθίσας καὶ ἐν συγγράμμασιν ἀνδρῶν ἐλλογίμων Ὠριγένους καὶ Διδύμου καὶ Πιερίου καὶ Στεφάνου διῆλθε μυριάδας ἑξακοσίας, ὡς μαρτυροῦσιν αὐτῷ οἱ τῆς ἐρήμου πατέρες.

Παρακλητικὸς δὲ ἦν τοῖς ἐν τῇ ἐρήμῳ ἀδελφοῖς εἰ καί τις ἄλλος. Τούτῳ ψήφους ἐδίδου ὁ μακάριος Εὐάγριος ἀνὴρ πνευματοφόρος καὶ

διακριτικός, λέγων ὅτι Οὐδέποτε αὐτοῦ ἀπαθέστερον ἑώρακα ἄνθρωπον.

[Οὗτος ἐν Κωνσταντίνου πόλει ποτὲ παραγενόμενος διὰ χρείαν, ... μετ᾽ ὀλίγον χρόνον κοιμᾶται, καὶ θάπτεται ἐν τῷ μαρτυρίῳ τῷ λεγομένῳ Ρουφινιαναῖς. Οὗ τὸ μνῆμα λέγεται θεραπεύειν πάντας τοὺς ῥιγιαζομένους.]

Περὶ Βενιαμίν

Ἐν τούτῳ τῷ ὄρει τῆς Νιτρίας ἀνήρ τις Βενιαμὶν οὕτω καλούμενος, βιώσας ἐπὶ ἔτη ὀγδοήκοντα καὶ εἰς ἄκρον ἀσκήσας, κατηξιώθη χαρίσματος ἰαμάτων, ὡς παντὶ ᾧ ἂν χεῖρα ἐπετίθει ἢ ἔλαιον εὐλογήσας ἐδίδου, πάσης ἀπαλλάττεσθαι ἀρρωστίας. Οὗτος τοίνυν ὁ τοιούτου χαρίσματος καταξιωθεὶς πρὸ ὀκτὼ μηνῶν τοῦ θανάτου αὐτοῦ ὑδρωπίασε, καὶ ἐπὶ τοσοῦτον ὠγκώθη αὐτοῦ τὸ σῶμα ὡς ἄλλον Ἰὼβ φαίνεσθαι. Παραλαβὼν οὖν ἡμᾶς Διόσκορος ὁ ἐπίσκοπος, τότε δὲ πρεσβύτερος ὢν τοῦ ὄρους τῆς Νιτρίας, ἐμέ τε καὶ τὸν μακάριον Εὐάγριον, λέγει ἡμῖν·

Δεῦτε, ἴδετε νέον Ἰὼβ ἐν τοσούτῳ ὄγκῳ σώματος καὶ πάθει ἀνιάτῳ ἄμετρον κεκτημένον εὐχαριστίαν. Ἀπελθόντες οὖν ἐθεασάμεθα τοσοῦτον ὄγκον σώματος ὡς μὴ δύνασθαι δάκτυλον χειρὸς αὐτοῦ περιλαμβάνειν ἄλλους δακτύλους. Μὴ δυνάμενοι δὲ ἀτενίζειν τῇ τοῦ πάθους δεινότητι τοὺς ὀφθαλμοὺς ἀπεστρέψαμεν. Τότε λέγει ἡμῖν ὁ μακάριος ἐκεῖνος Βενιαμίν· Εὔξασθε, τέκνα, ἵνα μὴ ὁ ἔσωθέν μου ἄνθρωπος ὑδρωπιάσῃ· οὗτος γὰρ οὔτε με εὐπαθῶν ὤνησεν, οὔτε δυσπαθῶν ἔβλαψε. Τοὺς οὖν ὀκτὼ μῆνας δίφρος αὐτῷ ἔκειτο πλατύτατος ἐν ᾧ ἀδιαλείπτως ἐκαθέζετο, μηκέτι ἐν κλίνῃ ἀναπεσεῖν δυνάμενος διὰ τὰς χρείας τὰς λοιπάς. Ἐν τῷ πάθει δὲ τούτῳ ὢν ἄλλους ἰᾶτο. Ἀναγκαίως οὖν ἐξηγησάμην τὸ πάθος τοῦτο, ἵνα μὴ ξενιζώμεθα ὅταν τι περιστατικὸν ἀνδράσι δικαίοις συμβαίνῃ. Τελευτήσαντος δὲ αὐτοῦ, αἱ φλιαὶ τῆς θύρας ἐπήρθησαν καὶ αἱ παραστάδες, ἵνα δυνηθῇ τὸ σῶμα ἐξενεχθῆναι τοῦ οἴκου· τοσοῦτος ἦν ὁ ὄγκος.

Περὶ Ἀπολλωνίου

Ἀπολλώνιός τις ὀνόματι ἀπὸ πραγματευτῶν, ἀποταξάμενος καὶ οἰκήσας τὸ ὄρος τῆς Νιτρίας, μήτε τέχνην μαθεῖν δυνάμενος μήτε ἄσκησιν γραφικὴν τῷ ἠκμακέναι, ζήσας ἐν τῷ ὄρει εἴκοσι ἔτη ταύτην ἔσχε τὴν ἄσκησιν· ἐκ τῶν ἰδίων χρημάτων καὶ ἐκ τῶν ἰδίων πόνων

παντοῖα ἰατρικὰ καὶ κελλαρικὰ ἀγοράζων εἰς τὴν Ἀλεξάνδρειαν, πάσῃ τῇ ἀδελφότητι ἐπήρκει εἰς τὰς νόσους.

Καὶ ἦν ἰδεῖν αὐτὸν ὄρθριον μέχρις ἐννάτης ὥρας, κυκλεύοντα τὰ μοναστήρια, καὶ κατὰ θύραν εἰσερχόμενον μή τις ἀνάκειται· ἐβάσταζε δὲ σταφίδας, ῥόας, ᾠά, σιλίγνια, ὧν ἐπιδέονται οἱ ἀρρωστοῦντες, ταύτην αὐτῷ λυσιτελοῦσαν εὑρὼν πολιτείαν εἰς τὸ γῆρας. Ὅς τελευτῶν ὁμοίῳ ἑαυτοῦ καταλιμπάνει τὰ γρυτάρια, παρακαλέσας αὐτὸν ταύτην ἐκτελεῖν τὴν διακονίαν. Πεντακισχιλίων γὰρ μοναχῶν οἰκούντων τὸ ὄρος χρεία ἦν καὶ τῆς ἐπισκέψεως ταύτης διὰ τὸ ἔρημον εἶναι τὸν τόπον.

Περὶ Παησίου καὶ Ἠσαΐου

Ἄλλος Παήσιος καὶ Ἠσαΐας οὕτω καλούμενοι, ἀδελφοὶ ὑπῆρχον πατρὸς ἐμπόρου Σπανοδρόμου· οἵτινες τοῦ πατρὸς τελευτήσαντος ἐμερίσαντο τὰ ὑπάρχοντα ἐν ἀκινήτοις ἃ ἔσχον, ἐν μὲν νομισματίοις πεντακισχιλίοις, ἐν ἱματίοις δὲ καὶ οἰκέταις τὰ εὑρεθέντα. Οὗτοι μετ᾽ ἀλλήλων ἐσκέψαντο καὶ συμβουλεύονται πρὸς ἑαυτοὺς λέγοντες· Ἐπὶ ποίαν ἔλθωμεν μέθοδον τοῦ βίου, ἄδελφε; ἐὰν ἔλθωμεν ἐπὶ τὴν ἐμπορίαν ἣν μετῆλθεν ὁ πατὴρ ἡμῶν, καὶ ἡμεῖς ἑτέροις ἔχομεν καταλεῖψαι τοὺς πόνους·

ἴσως δὲ καὶ κινδύνοις περιπεσούμεθα λῃστρικοῖς ἢ θαλαττικοῖς. Δεῦρο τοίνυν, ἐπὶ τὸν μονήρη βίον ἔλθωμεν, ἵνα καὶ τὰ τοῦ πατρὸς ἡμῶν κερδήσωμεν, καὶ τὰς ψυχὰς μὴ ἀπολέσωμεν. Ἤρεσεν οὖν αὐτοῖς ὁ σκοπὸς τοῦ μονήρους βίου. Εὑρέθησαν δὲ ἄλλος κατ᾽ ἄλλο διαφωνοῦντες. Μερισάμενοι γὰρ τὰ χρήματα, τοῦ μὲν σκοποῦ εἴχοντο ἕκαστος τοῦ ἀρέσαι θεῷ, ἐνηλλαγμένῃ δὲ πολιτείᾳ.

Ὁ μὲν γὰρ πάντα διασκορπίσας ἀσκητηρίοις καὶ ἐκκλησίαις καὶ φυλακαῖς, τεχνίδριον μαθὼν ὅθεν τὸν ἄρτον πορίσηται, τῇ ἀσκήσει καὶ τῇ εὐχῇ προσέσχεν. Ὁ δ᾽ ἄλλος μηδὲν διασκορπίσας, ἀλλὰ ποιήσας ἑαυτῷ μοναστήριον καὶ προσλαβόμενος ἀδελφοὺς ὀλίγους, πάντα ξένον ἐδεξιοῦτο, πάντα ἄρρωστον, πάντα γέροντα, πάντα πένητα, κατὰ κυριακὴν καὶ σάββατον τρεῖς ἢ τέσσαρας τραπέζας ἱστῶν· οὕτως αὐτοῦ κατηνάλωσε τὰ χρήματα.

Ἀμφοτέρων δὲ τελευτησάντων, διάφοροι μακαρισμοὶ τούτων ἐγίνοντο, ὡς ἀμφοτέρων τελειωθέντων· καὶ τοῖς μὲν ἤρεσκεν οὗτος, τοῖς δὲ ἐκεῖνος. Φιλονεικίας οὖν ἐμπεσούσης τῇ ἀδελφότητι ἐπὶ τοῖς ἐπαίνοις, ἀπέρχονται πρὸς τὸν μακάριον Παμβὼ καὶ ἀνατίθενται αὐτῷ τὴν ἐπίκρισιν, ἀξιοῦντες μαθεῖν τὴν μείζονα πολιτείαν. Ὁ δὲ

λέγει αὐτοῖς· Ἀμφότεροί εἰσι τέλειοι· ὁ μὲν γὰρ Ἀβραμιαῖον ἐπεδείξατο ἔργον, ὁ δὲ τοῦ Ἠλία.

Τῶν μὲν οὖν λεγόντων· Τῶν ποδῶν σου, πῶς δυνατὸν εἶναι αὐτοὺς ἴσους; καὶ προτιμώντων τὸν ἀσκητὴν καὶ λεγόντων ὅτι Εὐαγγελικὸν πεποίηκε πρᾶγμα, πάντα πωλήσας καὶ δοὺς πτωχοῖς, καὶ καθ᾿ ὥραν καὶ καθ᾿ ἡμέραν καὶ κατὰ νύκτα τὸν σταυρὸν βαστάζων, καὶ ἀκολουθῶν τῷ σωτῆρι καὶ ταῖς προσευχαῖς. τῶν δὲ ἀντιφιλονεικούντων καὶ λεγόντων ὅτι Οὗτος τοσαῦτα ἐνεδείξατο τοῖς δεομένοις, ὡς καὶ εἰς τὰς λεωφόρους καθῆσθαι καὶ τοὺς θλιβομένους συνάγειν· καὶ οὐ μόνον τὴν ἰδίαν ψυχὴν ἀνέπαυσεν ἀλλὰ καὶ ἄλλων πολλῶν, καὶ νοσοκομῶν καὶ ἐπικουρῶν.

Λέγει αὐτοῖς ὁ μακάριος Παμβώ· Πάλιν ὑμῖν ἐρῶ· ἀμφότεροι ἴσοι εἰσίν· ἕκαστον δὲ ὑμῶν πληροφορῶ ὅτι οὗτος, εἰ μὴ ἤσκει τοσοῦτον, ἄξιος οὐκ ἐγένετο τῆς ἐκείνου ἀγαθότητος συγκριθῆναι· ἐκεῖνος πάλιν ἀναπαύων τοὺς ξένους καὶ συνανεπαύετο, καὶ εἰ καὶ ἐδόκει τὸ ἐκ κόπου ἔχειν φορτίον, ἀλλὰ καὶ τὴν παρ᾿ αὐτὰ εἶχεν ἀνάπαυσιν. Ἐκδέξασθε δὲ ἵνα καὶ παρὰ θεοῦ δέξωμαι τὴν ἀποκάλυψιν, καὶ μετὰ ταῦτα ἐλθόντες μαθήσεσθε. Ἐλθόντες οὖν μετὰ ἡμέρας πάλιν παρεκάλεσαν αὐτόν, καὶ λέγει αὐτοῖς ὡς ἐπὶ θεοῦ· Ἀμφοτέρους ἅμα εἶδον ἑστῶτας ἐν τῷ παραδείσῳ.

Περὶ Μακαρίου τοῦ νεωτέρου

Νεώτερός τις ὀνόματι Μακάριος, ὡς ἐτῶν δεκαοκτώ, ἐν τῷ παίζειν μετὰ τῶν συνηλικιωτῶν παρὰ τὴν λίμνην τὴν λεγομένην Μαρίαν, τετράποδα νέμων, ἀκούσιον εἰργάσατο φόνον. Καὶ μηδενὶ μηδὲν εἰρηκὼς καταλαμβάνει τὴν ἔρημον, καὶ εἰς τοσοῦτον ἤλασε φόβον θεῖόν τε καὶ ἀνθρώπινον, ὡς ἀναισθητῆσαι αὐτὸν καὶ ἐπὶ τριετίαν ἄστεγον μεῖναι ἐν τῇ ἐρήμῳ. Ἄβροχος δὲ ὑπάρχει ἡ γῆ τούτοις, καὶ τοῦτο ἴσασι πάντες, καὶ οἱ διὰ λόγων γενόμενοι καὶ οἱ διὰ πείρας.

Οὗτος ὕστερον ᾠκοδόμησε κέλλαν ἑαυτῷ· καὶ ζήσας ἄλλα εἰκοσιπέντε ἔτη ἐν τῷ κελλίῳ ἐκείνῳ χαρίσματος ἠξιώθη καταπτύειν δαιμόνων, ἐντρυφῶν τῇ μονότητι. Τούτῳ πολλὰ συγχρονίσας ἠρώτων πῶς αὐτοῦ διάκειται ὁ λογισμὸς ἐπὶ τῇ τοῦ φόνου ἁμαρτίᾳ· ὃς τοσοῦτον ἔλεγεν ἀπέχειν λύπης ὡς καὶ προσευχαριστεῖν ἐπὶ τῷ φόνῳ· γεγένηται γὰρ αὐτῷ ὑπόθεσις σωτηρίας ὁ ἀκούσιος φόνος.

Ἔλεγε δὲ ἀπὸ γραφῶν φέρων τὴν μαρτυρίαν ὅτι οὐκ ἂν Μωσῆς ἠξιοῦτο τῆς θεϊκῆς ὀπτασίας καὶ τῆς τοσαύτης δωρεᾶς καὶ τῆς συγγραφῆς τῶν ἁγίων λόγων, εἰ μὴ φόβῳ τοῦ Φαραὼ διὰ τὸν φόνον

ὃν ἔδρασεν ἐν τῇ Αἰγύπτῳ κατειλήφει τὸ ὄρος τὸ Σινᾶ. Ταῦτα δὲ λέγω οὐχ ὁδοποιῶν εἰς φόνον, δεικνύων δὲ ὅτι εἰσὶ καὶ περιστατικαὶ ἀρεταί, ὅταν μὴ ἑκουσίως τις τῷ ἀγαθῷ προσέλθῃ· τῶν γὰρ ἀρετῶν αἱ μέν εἰσι προαιρετικαί, αἱ δὲ περιστατικαί.

Περὶ Ναθαναήλ

Γέγονεν ἄλλος τις τῶν παλαιῶν ὀνόματι Ναθαναήλ. Τοῦτον ἐγὼ ζῶντα μὲν οὐ κατείληφα· κεκοίμητο γὰρ πρὸ τῆς ἐμῆς εἰσόδου πρὸ ἐτῶν δεκαπέντε· τοῖς δὲ συνασκήσασιν αὐτῷ καὶ συγχρονίσασι περιτυχὼν ἐφιλοπραγμόνουν τοῦ ἀνδρὸς τὴν ἀρετήν· ἔδειξαν δέ μοι αὐτοῦ καὶ τὴν κέλλαν, εἰς ἣν ᾤκει μὲν οὐκέτι οὐδεὶς διὰ τὸ ἐγγυτέρω αὐτὴν εἶναι τῆς οἰκουμένης· ἐκεῖνος γὰρ τότε αὐτὴν ἔκτισεν ὅτε σπάνιοι ἦσαν οἱ ἀναχωρηταί. Διηγοῦντο οὖν τοῦτο περὶ αὐτοῦ ἐξαιρέτως, ὅτι τοσαύτην ἔσχεν ὑπομονὴν ἐν τῷ κελλίῳ ὡς μὴ σαλευθῆναι τῆς προθέσεως.

Ἐν οἷς ἐμπαιχθεὶς κατ᾽ ἀρχὰς παρὰ τοῦ πάντας ἐμπαίζοντος καὶ ἀπατῶντος δαίμονος, ἔδοξεν ἀκηδιᾶν εἰς τὴν πρώτην κέλλαν· καὶ ἀπελθὼν ἄλλην ἔκτισε πλησιώτερον κώμης. Μετὰ οὖν τὸ τελέσαι τὴν κέλλαν καὶ οἰκῆσαι, μετὰ μῆνας τρεῖς ἢ τέσσαρας παραγίνεται ὁ δαίμων ἐν νυκτί, ταυρέαν κατέχων καθάπερ οἱ δήμιοι, καὶ σχῆμα ἔχων στρατιώτου ῥακοδυτοῦντος, καὶ ψόφους εἰργάζετο ἐν τῇ ταυρέᾳ. Πρὸς ὃν ἀπεκρίνατο ὁ μακάριος Ναθαναὴλ καὶ ἔλεγε· Τίς εἶ σὺ ὁ ταῦτα δρῶν ἐν τῇ ἐμῇ ξενίᾳ; ἀπεκρίνατο ὁ δαίμων· Ἐγώ εἰμι ὁ ἐξ ἐκείνης τῆς κέλλης ἐλάσας σε· ἦλθον οὖν καὶ ἐκ ταύτης φυγαδεῦσαί σε.

Γνοὺς οὖν ὅτι ἐνεπαίχθη, ὑποστρέφει αὖθις εἰς τὴν πρώτην κέλλαν. Καὶ πληρώσας τριάκοντα καὶ ἑπτὰ ἔτη, οὐχ ὑπερέβη τὴν θύραν, φιλονεικήσας τῷ δαίμονι· ὃς τοσαῦτα αὐτῷ ἐνεδείξατο καταναγκάζων αὐτὸν ἐξελθεῖν, ὅσα διηγήσασθαι οὐκ ἔστιν. Ἐν οἷς καὶ τοῦτο· ἐπιτηρήσας ἑπτὰ ἐπισκόπων ἁγίων ἐπίσκεψιν, ἢ ἐκ θεοῦ προνοίας γενομένην ἢ ἐκ πειρασμοῦ ἐκείνου, παρ᾽ ὀλίγον αὐτὸν ἐξώκειλε τῆς προθέσεως. Τῶν γὰρ ἐπισκόπων μετὰ τὸ εὔξασθαι ἐξερχομένων, οὐ προέπεμψεν αὐτοὺς οὐδὲ βῆμα ποδός.

Λέγουσιν αὐτῷ οἱ διάκονοι· Ὑπερήφανον πρᾶγμα ποιεῖς, ἀββᾶ, μὴ προπέμπων τοὺς ἐπισκόπους. Ὁ δὲ λέγει αὐτοῖς· Ἐγὼ καὶ τοῖς κυρίοις μου τοῖς ἐπισκόποις καὶ τῷ κόσμῳ ὅλῳ ἀπέθανον· ἔχω γὰρ κεκρυμμένον σκοπόν, καὶ οἶδεν ὁ θεὸς τὴν καρδίαν μου, διὸ οὐ προπέμπω αὐτούς. Ἀστοχήσας οὖν ὁ δαίμων τοῦ δράματος τούτου

σχηματίζεται πρὸ ἐννέα μηνῶν τοῦ θανάτου αὐτοῦ, καὶ γίνεται παιδίον ὡσεὶ δέκα ἐτῶν, ἐλαῦνον ὄνον βαστάζοντα ἄρτους ἐν σαργάνῃ. Καὶ γενόμενος ἑσπέραν βαθείαν πλησίον τῆς τούτου κέλλης ἐσχηματίσατο πεπτωκέναι τὸν ὄνον καὶ κρᾶζον τὸ παιδίον·

Ἀββᾶ Ναθαναήλ, ἐλέησόν με καὶ δός μοι χεῖρα. Ὁ δὲ ἀκούσας τῆς φωνῆς τοῦ δῆθεν παιδίου καὶ παρανοίξας τὴν θύραν, ἑστὼς ἔνδοθεν ἐλάλει αὐτῷ· Τίς εἶ, καὶ τί θέλεις ἵνα ποιήσω σοι; Λέγει αὐτῷ· Εἰμὶ τοῦδε τὸ μελλάκιον, καὶ ἄρτους ἀποφέρω, ἐπειδὴ ἀγάπη ἐστὶ τοῦδε τοῦ ἀδελφοῦ, καὶ αὔριον σαββάτου διαφαίνοντος χρεία τῶν προσφορῶν· δέομαί σου, μὴ παρίδῃς με, μή ποτε καὶ ὑπὸ ὑαινῶν βρωθῶ. Πολλαὶ γὰρ ὕαιναι γίνονται εἰς τοὺς τόπους ἐκείνους. Στὰς οὖν ἐνεὸς ὁ μακάριος Ναθαναὴλ σφόδρα ἰλιγγίασε τὰ σπλάγχνα ταραττόμενος, καὶ ἐλογίζετο καθ᾽ ἑαυτὸν λέγων· Ἢ τῆς ἐντολῆς ἔχω ἐκπεσεῖν, ἢ τῆς προθέσεως.

Ὕστερον μέντοι ἐπιλογισάμενος ὅτι ἄμεινόν ἐστι μὴ σαλεῦσαι τῶν τοσούτων ἐτῶν τὴν πρόθεσιν εἰς αἰσχύνην τοῦ διαβόλου, προσευξάμενος λέγει τῷ προσλαλοῦντι δῆθεν παιδίῳ· Ἄκουσον, παιδίον· πιστεύω εἰς τὸν θεὸν ᾧ λατρεύω, ὅτι, εἰ χρεία σοι ἐστί, πέμπει σοι ὁ θεὸς βοήθειαν, καὶ οὔτε ὕαιναί σε ἀδικήσουσιν οὔτε ἄλλος τις· εἰ δὲ πειρασμὸς εἶ, τὸ δρᾶμα ἐντεῦθεν ἤδη ἀποκαλύψει ὁ θεός. Καὶ κλείσας τὴν θύραν εἰσῆλθεν. Αἰσχυνθεὶς δὲ ὁ δαίμων ἐπὶ τῇ ἥττῃ εἰς λαίλαπα ἀνελύθη καὶ εἰς ὀνάγρους σκιρτῶντας καὶ φεύγοντας καὶ ψόφους ἀπολύοντας. Τοῦτο τὸ ἆθλον τοῦ μακαρίου Ναθαναήλ, καὶ αὕτη ἡ διαγωγή, καὶ τοῦτο τὸ τέλος.

Περὶ Μακαρίου τοῦ Αἰγυπτίου

Τὰ κατὰ τοὺς δύο Μακαρίους τοὺς ἀοιδίμους ἄνδρας, πολλὰ καὶ μεγάλα καὶ δύσπιστα ὄντα, ὀκνῶ καὶ λέγειν καὶ γράφειν, μήποτε καὶ ψεύστου ὑπόληψιν ἀπενέγκωμαι. Ὅτι δὲ ἀπολλύει Κύριος πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος ἀπεφήνατο τὸ πνεῦμα τὸ ἅγιον. Ἐμοῦ τοίνυν μὴ ψευδομένου, πιστότατε, μὴ ἀπιστήσῃς. Τούτων τῶν Μακαρίων ὁ μὲν εἷς ἦν Αἰγύπτιος τὸ γένος, ὁ δ᾽ ἄλλος Ἀλεξανδρεύς, τραγήματα πιπράσκων.

Καὶ πρῶτον διηγήσομαι περὶ τοῦ Αἰγυπτίου, ὃς ἔζησε τὰ σύμπαντα ἔτη ἐννενήκοντα. Ἐκ τούτων ἐν τῇ ἐρήμῳ πεποίηκεν ἑξήκοντα ἔτη, τριακονταετὴς ἀνελθὼν νέος· καὶ τοσαύτης ἠξιώθη διακρίσεως ὡς λέγεσθαι αὐτὸν παιδαριογέροντα· διὸ καὶ θᾶττον

προέκοψε· τεσσαρακονταετὴς γὰρ γενόμενος κατὰ πνευμάτων ἔλαβε χάριν ἰαμάτων τε καὶ προρρήσεων· κατηξιώθη δὲ καὶ ἱερωσύνης.

Τούτῳ συνῆσαν δύο μαθηταὶ εἰς τὴν ἔρημον τὴν ἐνδοτάτω, τὴν καλουμένην Σκῆτιν· ὧν ὁ μὲν εἷς ὑπηρέτης ἦν πλησίον αὐτοῦ διὰ τοὺς ἐρχομένους θεραπεύεσθαι, ὁ δ᾽ ἄλλος ἐσχόλαζεν ἐν κελλίῳ ἐγγυτάτῳ. Χρόνου δὲ προκόψαντος διορατικῷ ὄμματι προβλέψας λέγει τῷ ὑπηρετοῦντι αὐτῷ, καλουμένῳ Ἰωάννῃ, ἐς ὕστερον γενομένῳ πρεσβυτέρῳ εἰς τὸν τόπον αὐτοῦ τοῦ Μακαρίου· Ἄκουσόν μου, ἄδελφε Ἰωάννη, καὶ ἀνάσχου μου τῆς νουθεσίας· πειράζῃ γάρ, καὶ πειράζει σε τὸ πνεῦμα τῆς φιλαργυρίας.

Οὕτω γὰρ ἑώρακα· καὶ οἶδα ὅτι ἐάν μου ἀνάσχῃ τελειωθήσῃ ἐν τῷ τόπῳ τούτῳ καὶ δοξασθήσῃ, “καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου”· ἐὰν δέ μου παρακούσῃς, τοῦ Γιεζῆ ἥξει ἐπί σε τὰ τέλη, οὗ καὶ τὸ πάθος νοσεῖς. Συνέβη, δὲ αὐτὸν παρακοῦσαι μετὰ τὴν κοίμησιν τοῦ Μακαρίου μετὰ ἄλλα δεκαπέντε ἔτη ἢ εἴκοσιν, καὶ οὕτως ἠλεφαντίασε νοσφισάμενος τὰ τῶν πτωχῶν, ὡς μὴ εὑρεθῆναι εἰς τὸ σῶμα αὐτοῦ ἀκέραιον τόπον ἐν ᾧ τις δάκτυλον πήξει. Αὕτη τοίνυν ἐστὶν ἡ προφητεία τοῦ ἁγίου Μακαρίου.

Περὶ μὲν οὖν βρώσεως καὶ πόσεως περιττὸν τὸ διηγήσασθαι, ὁπότε οὐδὲ παρὰ τοῖς ῥαθύμοις ἔστιν εὑρεθῆναι ἀδηφαγίαν ἢ ἀδιαφορίαν ἐν τοῖς τόποις ἐκείνοις, καὶ διὰ τὴν σπάνιν τῶν χρειῶν καὶ διὰ τὸν ζῆλον τῶν κατοικούντων. Περὶ δὲ τῆς ἄλλης αὐτοῦ ἀσκήσεως λέγω· ἐλέγετο γὰρ ἀδιαλείπτως ἐξίστασθαι, καὶ μᾶλλον πλείονι χρόνῳ θεῷ προσδιατρίβειν ἢ τοῖς ὑπ᾽ οὐρανὸν πράγμασιν. Οὗ καὶ φέρονται θαύματα τοιάδε.

Ἀνήρ τις Αἰγύπτιος ἐρασθεὶς ἐλευθέρας γυναικὸς ὑπάνδρου, καὶ μὴ δυνάμενος αὐτὴν δελεάσαι, προσωμίλησε γόητι λέγων· Ἕλον αὐτὴν εἰς τὸ ἀγαπῆσαί με, ἢ ἔργασαί τι ἵνα ῥίψῃ αὐτὴν ὁ ἀνὴρ αὐτῆς. Καὶ λαβὼν ὁ γόης τὸ ἱκανὸν ἐχρήσατο ταῖς γοητικαῖς μαγγανείαις, καὶ παρασκευάζει φοράδα αὐτὴν φανῆναι. Θεασάμενος οὖν ὁ ἀνὴρ ἔξωθεν ἐλθὼν ἐξενίζετο ὅτι εἰς τὸν κράββατον αὐτοῦ φορὰς ἀνέκειτο. Κλαίει, ὀδύρεται ὁ ἀνήρ· προσομιλεῖ τῷ ζῴῳ· ἀποκρίσεως οὐ τυγχάνει. Παρακαλεῖ τοὺς πρεσβυτέρους τῆς κώμης·

εἰσάγει, δεικνύει· οὐχ εὑρίσκει τὸ πρᾶγμα. Ἐπὶ ἡμέρας τρεῖς οὔτε χόρτου μετέλαβεν ὡς φορὰς οὔτε ἄρτου ὡς ἄνθρωπος, ἀμφοτέρων ἐστερημένη τῶν τροφῶν. Τέλος, ἵνα δοξασθῇ ὁ θεὸς καὶ φανῇ ἡ ἀρετὴ τοῦ ἁγίου Μακαρίου, ἀνέβη ἐπὶ τὴν καρδίαν τοῦ ἀνδρὸς αὐτῆς

ἀγαγεῖν αὐτὴν εἰς τὴν ἔρημον· καὶ φορβεώσας αὐτὴν ὡς ἵππον, οὕτως ἤγαγεν εἰς τὴν ἔρημον. Ἐν δὲ τῷ πλησιάσαι αὐτοὺς εἱστήκεισαν οἱ ἀδελφοὶ πλησίον τῆς κέλλης τοῦ Μακαρίου, μαχόμενοι τῷ ἀνδρὶ αὐτῆς καὶ λέγοντες·

Τί ἤγαγες ὧδε τὴν φοράδα ταύτην; λέγει αὐτοῖς· Ἵνα ἐλεηθῇ. Λέγουσιν αὐτῷ· Τί γὰρ ἔχει; ἀπεκρίνατο αὐτοῖς ὁ ἀνὴρ ὅτι Γυνή μου ἦν, καὶ εἰς ἵππον μετεβλήθη, καὶ σήμερον τρίτην ἡμέραν ἔχει μὴ γευσαμένη τινός. Ἀναφέρουσι τῷ ἁγίῳ ἔνδον προσευχομένῳ· ἀπεκάλυψε γὰρ αὐτῷ ὁ θεός, καὶ προσηύχετο περὶ αὐτῆς. Ἀπεκρίνατο οὖν τοῖς ἀδελφοῖς ὁ ἅγιος Μακάριος καὶ λέγει αὐτοῖς· Ἵπποι ὑμεῖς ἐστέ, οἱ τῶν ἵππων ἔχοντες τοὺς ὀφθαλμούς. Ἐκείνη γὰρ γυνή ἐστι, μὴ μετασχηματισθεῖσα, ἀλλ᾽ ἢ μόνον ἐν τοῖς ὀφθαλμοῖς τῶν ἠπατημένων. Καὶ εὐλογήσας ὕδωρ καὶ ἀπὸ κορυφῆς ἐπιχέας αὐτῇ γυμνῇ ἐπηύξατο· καὶ παραχρῆμα ἐποίησεν αὐτὴν γυναῖκα φανῆναι πᾶσι. Δοὺς δὲ αὐτῇ τροφὴν ἐποίησεν αὐτὴν φαγεῖν, καὶ ἀπέλυσεν αὐτὴν μετὰ τοῦ ἰδίου ἀνδρὸς εὐχαριστοῦσαν τῷ κυρίῳ. Καὶ ὑπέθετο αὐτῇ εἰπών· Μηδέποτε ἀπολειφθῇς τῆς ἐκκλησίας, μηδέποτε ἀπόσχῃ τῆς κοινωνίας· ταῦτα γάρ σοι συνέβη τῷ ἐπὶ πέντε ἑβδομάδας μὴ προσεληλυθέναι τοῖς μυστηρίοις.

Ἄλλην αὐτοῦ πρᾶξιν τῆς ἀσκήσεως· τῷ μακρῷ χρόνῳ ὑπὸ τὴν γῆν ποιήσας σύριγγα ἀπὸ τῆς κέλλης αὐτοῦ μέχρις ἡμισταδίου σπήλαιον εἰς τὸ ἄκρον ἀπετέλεσε. Καὶ εἴποτε πλείονες αὐτῷ ὤχλουν, κρυπτῶς ἐκ τῆς κέλλης αὐτοῦ ἐξιὼν ἀπίει εἰς τὸ σπήλαιον, καὶ οὐδεὶς αὐτὸν εὕρισκε. Διηγεῖτο οὖν ἡμῖν τις τῶν σπουδαίων αὐτοῦ μαθητῶν καὶ ἔλεγεν ὅτι ἀπιὼν ἕως τοῦ σπηλαίου εἰκοσιτέσσαρας ἐποίει εὐχάς, καὶ ἐρχόμενος εἰκοσιτέσσαρας.

Περὶ τούτου ἐξῆλθε φήμη ὅτι νεκρὸν ἤγειρεν, ἵνα αἱρετικὸν πείσῃ μὴ ὁμολογοῦντα ἀνάστασιν εἶναι σωμάτων. Καὶ αὕτη ἡ φήμη ἐκράτει ἐν τῇ ἐρήμῳ.

Τούτῳ προσηνέχθη ποτὲ δαιμονιῶν νεανίσκος παρὰ τῆς ἰδίας μητρὸς ὀλοφυρομένης, δυσὶ νεανίσκοις δεδεμένος. Καὶ ταύτην εἶχε τὴν ἐνέργειαν ὁ δαίμων· μετὰ τὸ φαγεῖν τριῶν μοδίων ἄρτους καὶ πιεῖν κιλικίσιον ὕδατος, ἐρευγόμενος εἰς ἀτμὸν ἀνέλυε τὰ βρώματα· οὕτω γὰρ ἀνηλίσκετο τὰ βρωθέντα καὶ ποθέντα ὡς ὑπὸ πυρός.

Ἔστι γὰρ καὶ τάγμα τὸ λεγόμενον πύρινον. Διαφοραὶ γάρ εἰσι δαιμόνων, ὥσπερ καὶ ἀνθρώπων, οὐκ οὐσίας ἀλλὰ γνώμης. Οὗτος τοίνυν ὁ νεανίσκος μὴ ἐπαρκούμενος παρὰ τῆς ἰδίας μητρὸς τὴν ἰδίαν

ἤσθιε κόπρον· πολλάκις καὶ τὸ ἴδιον ἔπινεν οὖρον. Κλαιούσης οὖν τῆς μητρὸς καὶ παρακαλούσης τὸν ἅγιον, λαβὼν ἐπηύξατο αὐτῷ τὸν θεὸν ἱκετεύων. Καὶ μετὰ μίαν ἢ δευτέραν ἡμέραν ὑπολωφήσαντος τοῦ πάθους λέγει αὐτῇ ὁ ἅγιος Μακάριος·

Πόσον θέλεις ἵνα ἐσθίῃ; Ἡ δὲ ἀπεκρίνατο λέγουσα· Δεκάλιτρον ἄρτου. Ἐπιτιμήσας οὖν αὐτῇ ὅτι πολύ ἐστιν, ἐν ἑπτὰ ἡμέραις ἐπευξάμενος αὐτῷ μετὰ νηστείας, ἔστησεν αὐτὸν εἰς τρίλιτρον, ὡς ὀφείλοντα καὶ ἐργάζεσθαι· καὶ οὕτως ἀποθεραπεύσας ἀπέδωκεν αὐτὸν τῇ μητρί. Καὶ τοῦτο τὸ θαῦμα πεποίηκεν ὁ θεὸς διὰ Μακαρίου. Τούτῳ ἐγὼ οὐ συντετύχηκα· πρὸ ἐνιαυτοῦ γὰρ τῆς εἰσόδου μου τῆς εἰς τὴν ἔρημον ἐκεκοίμητο.

Περὶ Μακαρίου τοῦ Ἀλεξανδρέως

Τῷ δὲ ἄλλῳ συντετύχηκα Μακαρίῳ τῷ Ἀλεξανδρεῖ, πρεσβυτέρῳ ὄντι τῶν λεγομένων Κελλίων. Εἰς ἃ Κελλία παρῴκησα ἐγὼ ἐνναετίαν· ἐν οἷς τὴν τριετίαν τὴν ἐμὴν ἐπέζησε· καὶ τὰ μὲν εἶδον, τὰ δὲ παρ᾽ αὐτοῦ ἀκήκοα, τὰ δὲ καὶ παρ᾽ ἑτέρων μεμάθηκα. Ἡ τοίνυν ἄσκησις αὐτοῦ ἦν αὕτη· εἴ τι ἀκήκοε πώποτε, πάντως τοῦτο κατώρθωσεν. Ἀκούσας γὰρ παρά τινων ὅτι οἱ Ταβεννησιῶται διὰ πάσης τῆς τεσσαρακοστῆς ἐσθίουσιν ἄπυρον, ἔκρινεν ἑπταετίαν τὸ διὰ πυρὸς διαβαῖνον μὴ φαγεῖν, καὶ πλὴν λαχάνων ὠμῶν εἴ ποτε παρευρέθη καὶ ὀσπρίων βρεκτῶν οὐδενὸς ἐγεύσατο. Κατορθώσας οὖν ταύτην τὴν ἀρετήν, ἤκουσε περί τινος πάλιν ἄλλου ὅτι λίτραν ἐσθίει ἄρτου· καὶ κλάσας ἑαυτοῦ τὸ βουκκελλᾶτον καὶ καταγγίσας εἰς σαΐτας [τὰ κεράμια], ἔκρινε τοσοῦτον ἐσθίειν ὅσον ἂν ἡ χεὶρ ἀνενέγκῃ. Καὶ ὡς διηγεῖτο χαριεντιζόμενος ὅτιπερ Ἐδρασσόμην μὲν πλειόνων κλασμάτων, οὐκ ἠδυνάμην δὲ ὅλα ἐξενεγκεῖν ὑπὸ τοῦ στένου τῆς ὀπῆς· ὡς τελώνης γάρ μοι οὐ συνεχώρει. Ἐπὶ τρία οὖν ἔτη ταύτην ἔσχηκε τὴν ἄσκησιν, τέσσαρας ἢ πέντε οὐγκίας ἄρτου ἐσθίων καὶ τοσοῦτον πίνων ὕδωρ, ξέστην δὲ ἐλαίου τὸν ἐνιαυτόν.

Ἄλλη αὐτοῦ ἄσκησις· ἔκρινεν ὕπνου περιγενέσθαι, καὶ διηγήσατο ὅτι οὐκ εἰσῆλθεν ὑπὸ στέγην ἐπὶ εἴκοσι ἡμέρας ἵνα νικήσῃ ὕπνον, τοῖς μὲν καύμασι φλεγόμενος, τῇ δὲ νυκτὶ στυφόμενος τῇ ψυχρότητι. Καὶ ὡς ἔλεγεν ὅτι Εἰ μὴ τάχιον εἰσῆλθον ὑπὸ στέγην καὶ ἐχρησάμην τῷ ὕπνῳ, οὕτω μου ἐξηράνθη ὁ ἐγκέφαλος, ὡς εἰς ἔκστασίν με ἐλάσαι λοιπόν. Καὶ τὸ μὲν ὅσον ἐπ᾽ ἐμοὶ ἐνίκησα· τὸ δὲ ὅσον ἐπὶ τῇ φύσει τὴν χρείαν ἐχούσῃ τοῦ ὕπνου παρεχώρησα.

Τούτου καθεζομένου πρωῒ ἐν τῷ κελλίῳ κώνωψ στὰς ἐπὶ τοῦ ποδὸς ἐκέντησεν αὐτόν· καὶ ἀλγήσας κατέαξεν αὐτὸν τῇ χειρὶ μετὰ κόρον τοῦ αἵματος. Καταγνοὺς οὖν ἑαυτοῦ ὡς ἐκδικήσαντος ἑαυτόν, κατεδίκασεν ἑαυτὸν εἰς τὸ ἕλος τῆς Σκήτεως, ὅ ἐστιν ἐν τῇ πανερήμῳ, καθίσαι γυμνὸν ἐπὶ μῆνας ἕξ, ἔνθα οἱ κώνωπες καὶ συάγρων δέρματα τιτρώσκουσιν, ὡς σφῆκες ὄντες. Οὕτως οὖν κατετρώθη ὅλος καὶ σπονδύλους ἐξέβαλεν ὡς νομίσαι τινὰς ὅτι ἠλεφαντίασεν. Ἐλθὼν οὖν μετὰ μῆνας ἓξ εἰς τὸ κελλίον αὐτοῦ, ἀπὸ τῆς φωνῆς ἐγνώσθη ὅτι αὐτός ἐστιν ὁ Μακάριος.

Ἐπεθύμησέ ποτε οὗτος εἰς τὸ κηποτάφιον εἰσελθεῖν Ἰαννῆ καὶ Ἰαμβρῆ, ὡς αὐτὸς ἡμῖν διηγήσατο. Τοῦτο δὲ τὸ κηποτάφιον ἐγένετο παρὰ τῶν τότε μάγων παραδυναστευόντων τῷ Φαραῷ. Ὡς οὖν κεκτημένοι τὴν δυναστείαν ἐκ μακρῶν τῶν χρόνων, ἐν τετραποδικοῖς λίθοις ἔκτισαν τὸ ἔργον, καὶ τὸ μνῆμα δὲ αὐτῶν ἐκεῖ ἐποίησαν, καὶ χρυσὸν ἀπέθεντο πολύν· ἐφύτευσαν δὲ καὶ δένδρα, ὕπικμος γάρ ἐστιν ὁ τόπος, ἐν οἷς καὶ φρέαρ ὤρυξαν.

Ἐπεὶ οὖν τὴν ὁδὸν ἠγνόει ὁ ἅγιος, στοχασμῷ δέ τινι ἠκολούθει τοῖς ἄστροις καθάπερ ἐν πελάγει τὴν ἔρημον διοδεύων, λαβὼν καλάμων δέμα κατὰ μίλιον ἓν ἵστα σημειούμενος ἵνα εὕρῃ τὴν ὁδὸν ὑποστρέφων. Διοδεύσας οὖν ἐντὸς ἐννέα ἡμερῶν τῷ τόπῳ ἐπλησίασεν. Ὁ τοίνυν δαίμων ὁ ἀεὶ τοῖς ἀθληταῖς τοῦ Χριστοῦ ἀντιπράττων, συναγαγὼν ὅλους τοὺς καλάμους, καθεύδοντος ὡς ἀπὸ σημείου τοῦ κηποταφίου πρὸς τῇ κεφαλῇ αὐτοῦ τέθεικεν.

Ἀναστὰς οὖν εὗρε τοὺς καλάμους, τάχα καὶ τοῦτο τοῦ θεοῦ συγχωρήσαντος εἰς πλείονα αὐτοῦ γυμνασίαν, ἵνα μὴ καλάμοις ἐπελπίζῃ, ἀλλὰ τῷ στύλῳ τῆς νεφέλης τῷ ὁδηγήσαντι τὸν Ἰσραὴλ τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ. Ἔλεγεν ὅτι Ἑβδομήκοντα δαίμονες ἐξῆλθον εἰς συνάντησίν μου ἀπὸ τοῦ κηποταφίου, βοῶντες καὶ πτερυσσόμενοι ὡς κόρακες κατὰ τῆς ὄψεώς μου, καὶ λέγοντες· "Τί θέλεις, Μακάριε; Τί θέλεις, μοναχέ; Τί ἦλθες ἡμῶν εἰς τὸν τόπον; Οὐ δύνασαι μεῖναι ὧδε". Εἶπον οὖν αὐτοῖς, φησίν, ὅτι "Εἰσέλθω μόνον καὶ ἱστορήσω καὶ ἀπέρχομαι".

Εἰσελθὼν οὖν, φησίν, εὗρον κάδιον χαλκοῦν κρεμάμενον καὶ ἅλυσιν σιδηρᾶν κατὰ τοῦ φρέατος, λοιπὸν τῷ χρόνῳ ἀναλωθέντα, καὶ καρπὸν ῥοῶν οὐκ ἐχουσῶν ἔνδον οὐδὲν τῷ ἐξηράνθαι ὑπὸ τοῦ ἡλίου. Οὕτως οὖν ὑποστρέψας ἦλθε διὰ εἴκοσι ἡμερῶν. Ἐκλείψαντος δὲ τοῦ ὕδατος οὗ ἐβάσταζε καὶ τῶν ἄρτων, ἐν πολλῇ περιστάσει ἐγένετο. Καὶ

ὡς ἐγγὺς ἐγένετο τοῦ ὀκλάσαι ὤφθη αὐτῷ κόρη τις, ὡς διηγήσατο, καθαρὰν ὀθόνην φοροῦσα καὶ κατέχουσα βαυκάλιον ὕδατος στάζον· ἣν ἔλεγεν ἄποθεν αὐτοῦ εἶναι, ὡς ἀπὸ σταδίου, καὶ ἐπὶ ἡμέρας τρεῖς ὁδεύειν, βλέπων μὲν αὐτὴν μετὰ τοῦ βαυκαλίου ὡς ἑστῶσαν καταλαβεῖν δὲ μὴ δυνάμενος, ὡς ἐπὶ τῶν ὀνείρων, τῇ δὲ ἐλπίδι τοῦ πιεῖν ὑπομείνας ηὐτόνει. Μεθ᾽ ἣν ἐφάνη πλῆθος βουβάλων, ἐξ ὧν ἡ μία ἔστη ἔχουσα μόσχον· εἰσὶ γὰρ πολλαὶ ἐν τοῖς τόποις ἐκείνοις· καὶ ὡς ἔλεγεν ὅτι ἔρρει αὐτῆς τὸ οὖθαρ τοῦ γάλακτος. Ὑπεισελθὼν οὖν καὶ θηλάσας ἠρκέσθη. Καὶ ἕως τοῦ κελλίου αὐτοῦ ἦλθεν ἡ βούβαλος θηλάζουσα αὐτόν, τὸ δὲ μοσχάριον αὐτῆς μὴ δεχομένη.

Ἄλλοτε πάλιν ὀρύσσων φρέαρ πλησίον βλαστῶν φρυγάνων ὑπὸ ἀσπίδος ἐδήχθη· ἀναιρετικὸν δέ ἐστι τὸ ζῷον· λαβὼν οὖν αὐτὴν ταῖς δύο χερσὶν ἀπὸ τῶν χελυνίων κρατήσας διέσχισεν, εἰπὼν αὐτῇ· Μὴ ἀποστείλαντός σε τοῦ θεοῦ, πῶς ἐτόλμησας ἐλθεῖν;

Εἶχε δὲ κέλλας διαφόρους ἐν τῇ ἐρήμῳ· μίαν ἐν τῇ Σκήτει τῇ ἐνδοτέρᾳ πανερήμῳ, καὶ μίαν εἰς Λίβα, καὶ μίαν εἰς τὰ λεγόμενα Κελλία, καὶ μίαν εἰς τὸ ὄρος τῆς Νιτρίας. Ὧν ἔνιαί εἰσιν ἀθυρίδωτοι, εἰς ἃς ἐλέγετο καθέζεσθαι τῇ τεσσαρακοστῇ ἐν σκοτίᾳ· ἡ δὲ ἄλλη στενωτέρα, εἰς ἣν ἐκτεῖναι πόδας οὐκ ἴσχυεν· ἄλλη δὲ πλατυτέρα, ἐν ᾗ συνετύγχανε τοῖς φοιτῶσι πρὸς αὐτόν.

Οὗτος τοσοῦτον πλῆθος δαιμονιζομένων ἐθεράπευσεν ὡς ἀριθμῷ μὴ ὑποπεσεῖν. Ὄντων δὲ ἡμῶν ἐκεῖ παρθένος ἠνέχθη ἀπὸ Θεσσαλονίκης εὐγενής, πολυετίαν ἔχουσα ἐν παραλύσει. Ταύτην ἐν εἴκοσι ἡμέραις ἐλαίῳ ἁγίῳ ἀλείφων ταῖς ἑαυτοῦ χερσὶ καὶ προσευχόμενος, ὑγιῆ ἀπέστειλεν εἰς τὴν ἰδίαν πόλιν. Ἥτις ἀπελθοῦσα πολλὴν καρποφορίαν αὐτῷ ἀπέστειλεν.

Οὗτος ἀκούσας ὅτι μεγάλην ἔχουσι πολιτείαν οἱ Ταβεννησιῶται, μεταμφιασάμενος καὶ λαβὼν κοσμικὸν σχῆμα ἐργάτου, δι᾽ ἡμερῶν δεκαπέντε ἀνῆλθεν εἰς τὴν Θηβαΐδα διὰ τῆς ἐρήμου ὁδεύσας. Καὶ ἐλθὼν ἐν τῷ ἀσκητηρίῳ τῶν Ταβεννησιωτῶν ἐπεζήτει τὸν ἀρχιμανδρίτην τούτων, Παχώμιον ὀνόματι, ἄνδρα δοκιμώτατον καὶ χάρισμα ἔχοντα προφητείας· ᾧ ἀπεκρύβη τὰ κατὰ τὸν Μακάριον. Περιτυχὼν οὖν αὐτῷ λέγει· Δέομαί σου, δέξαι με εἰς τὴν μονήν σου ἵνα γένωμαι μοναχός.

Λέγει αὐτῷ ὁ Παχώμιος· Λοιπὸν εἰς γῆρας ἤλασας, καὶ ἀσκεῖν οὐ δύνασαι· οἱ ἀδελφοί εἰσιν ἀσκηταί, καὶ οὐ φέρεις αὐτῶν τοὺς πόνους· καὶ σκανδαλίζῃ καὶ ἐκβαίνεις κακολογῶν αὐτούς. Καὶ οὐκ ἐδέξατο

αὐτὸν οὔτε τὴν πρώτην οὔτε τὴν δευτέραν, μέχρις ἡμερῶν ἑπτά. Ὡς δὲ ηὐτόνησε παραμένων νῆστις, ὕστερον λέγει αὐτῷ· Δέξαι με, ἀββᾶ, καὶ ἐὰν μὴ νηστεύσω κατ᾽ αὐτοὺς καὶ ἐργάσωμαι, κέλευσόν με ἐκριφῆναι. Πείθει τοὺς ἀδελφοὺς εἰσδέξασθαι αὐτόν· ἔστι δὲ τὸ σύστημα τῆς μιᾶς μονῆς χίλιοι τετρακόσιοι ἄνδρες μέχρι τῆς σήμερον.

Εἰσῆλθεν οὖν· παρελθόντος δὲ χρόνου ὀλίγου ἐπέστη ἡ τεσσαρακοστή, καὶ εἶδεν ἕκαστον διαφόρους πολιτείας ἀσκοῦντα· τὸν μὲν ἐσθίοντα ἑσπέρας, τὸν δὲ διὰ δύο, τὸν δὲ διὰ πέντε· ἄλλον δὲ πάλιν ἑστῶτα διὰ πάσης νυκτός, ἐν ἡμέρᾳ δὲ καθήμενον. Βρέξας οὖν θαλλοὺς τοὺς ἐκ φοινίκων εἰς πλῆθος ἔστη ἐν γωνίᾳ μιᾷ, καὶ μέχρις οὗ αἱ τεσσαράκοντα ἐπληρώθησαν ἡμέραι καὶ τὸ πάσχα παραγέγονεν οὐκ ἄρτου ἥψατο, οὐχ ὕδατος· οὐ γόνυ ἔκαμψεν, οὐκ ἀνέπεσε· παρεκτὸς φύλλων κράμβης ὀλίγων οὐκ ἐλάμβανε, καὶ τοῦτο κατὰ κυριακήν, ἵνα δόξῃ ἐσθίειν.

Καὶ εἴ ποτε ἐξέβαινεν εἰς τὴν χρείαν ἑαυτοῦ, θᾶττον πάλιν εἰσιὼν ἵστατο, μὴ λαλήσας μηδενί, μὴ ἀνοίξας τὸ στόμα, ἀλλὰ σιωπῇ ἑστώς· ἐκτὸς δὲ προσευχῆς τῆς ἐν τῇ καρδίᾳ καὶ τῶν θαλλῶν τῶν ἐν ταῖς χερσὶν οὐδὲν ἐποίει. Θεασάμενοι οὖν πάντες οἱ ἀσκηταὶ ἐστασίασαν κατὰ τοῦ ἡγουμένου λέγοντες· Τοῦτον ἡμῖν πόθεν ἤγαγες τὸν ἄσαρκον, εἰς κατάκρισιν ἡμῶν; ἢ ἔκβαλε αὐτόν, ἢ ἵνα εἰδῇς ὅτι πάντες ἡμεῖς ἀναχωροῦμεν. Ἀκούσας οὖν αὐτοῦ τὰ τῆς πολιτείας, προσηύξατο τῷ θεῷ, ἵνα αὐτῷ ἀποκαλυφθῇ τίς ἐστίν.

Ἀπεκαλύφθη οὖν αὐτῷ· καὶ κρατήσας αὐτοῦ τῆς χειρὸς ἐξάγει αὐτὸν εἰς τὸν εὐκτήριον οἶκον, ἔνθα τὸ θυσιαστήριον ἦν, καὶ λέγει αὐτῷ· Δεῦρο, καλόγηρε· σὺ εἶ Μακάριος, καὶ ἀπέκρυψας ἀπ᾽ ἐμοῦ. Διὰ πολλῶν σε ἐτῶν ἐπεπόθουν ἰδεῖν. Χάριν σοι ἔχω ὅτι ἐκονδύλισας τὰ παιδία μου, ἵνα μὴ μέγα φρονῶσιν ἐπὶ ταῖς ἑαυτῶν ἀσκήσεσιν. Ἄπελθε οὖν εἰς τὸν τόπον σου· αὐτάρκως γὰρ ᾠκοδόμησας ἡμᾶς· καὶ εὔχου ὑπὲρ ἡμῶν. Τότε ἀξιωθεὶς ἀνεχώρησεν.

Ἄλλοτε πάλιν διηγήσατο ὅτι Πᾶσαν πολιτείαν ἣν ἐπεθύμησα κατορθώσας, τότε εἰς ἄλλην ἦλθον ἐπιθυμίαν ὅθεν ἠθέλησά ποτε πέντε ἡμέρας μόνον τὸν νοῦν μου ἀπερίσπαστον ἀπὸ τοῦ θεοῦ ποιῆσαι. Καὶ κρίνας τοῦτο ἀπέκλεισα τὴν κέλλαν καὶ τὴν αὐλήν, ὥστε μὴ δοῦναι ἀνθρώπῳ ἀπόκρισιν, καὶ ἔστην ἀρξάμενος ἀπὸ τῆς δευτέρας. Παραγγέλλω οὖν μου τῷ νῷ εἰπών· “Μὴ κατέλθῃς τῶν

οὐρανῶν· ἔχεις ἐκεῖ ἀγγέλους, ἀρχαγγέλους, τὰς ἄνω δυνάμεις, τὸν θεὸν τῶν ὅλων· μὴ κατέλθῃς ὑποκάτω τοῦ οὐρανοῦ".

Καὶ διαρκέσας ἡμέρας δύο καὶ νύκτας δύο, οὕτω παρώξυνα τὸν δαίμονα ὡς φλόγα πυρὸς γενέσθαι καὶ κατακαῦσαί μου πάντα τὰ ἐν τῷ κελλίῳ, ὡς καὶ τὸ ψιάθιον ἐν ᾧ είστήκειν πυρὶ καταφλεχθῆναι καὶ νομίσαι με ὅτι ὅλως ἐμπίμπραμαι. Τέλος πληγεὶς φόβῳ ἀπέστην τῇ τρίτῃ ἡμέρᾳ, μὴ δυνηθεὶς ἀπερίσπαστόν μου τὸν νοῦν ποιῆσαι, ἀλλὰ κατῆλθον εἰς θεωρίαν τοῦ κόσμου, ἵνα μή μοι λογισθῇ τῦφος.

Τούτῳ ποτὲ τῷ ἁγίῳ Μακαρίῳ παρέβαλον ἐγώ, καὶ εὗρον ἔξω τῆς κέλλης αὐτοῦ πρεσβύτερον κώμης κατακείμενον, οὗ ἡ κεφαλὴ πᾶσα ἐβέβρωτο ὑπὸ τοῦ πάθους τοῦ καλουμένου καρκίνου, καὶ αὐτὸ τὸ ὀστέον ἀπὸ τῆς κορυφῆς ἐφαίνετο. Παρεγένετο οὖν ἰαθῆναι, καὶ οὐκ ἐδέχετο αὐτὸν ἐν συντυχίᾳ. Παρεκάλεσα οὖν αὐτὸν ὅτι Δέομαί σου, κατοίκτειρον αὐτόν, καὶ δὸς αὐτῷ τὴν ἀπόκρισιν.

Καὶ λέγει μοι· Ἀνάξιός ἐστι τοῦ ἰαθῆναι· παιδεία γὰρ αὐτῷ ἀπεστάλη. Εἰ δὲ θέλεις αὐτὸν ἰαθῆναι, πεῖσον αὐτὸν ἀποστῆναι τῆς λειτουργίας· πορνεύων γὰρ ἐλειτούργει, καὶ διὰ τοῦτο παιδεύεται· καὶ ὁ θεὸς αὐτὸν ἰᾶται. Ὡς οὖν εἶπον τῷ κακουμένῳ συνέθετο, ὀμόσας μηκέτι ἱερατεύειν. Τότε ἐδέξατο αὐτὸν καὶ λέγει αὐτῷ· Πιστεύεις ὅτι ἔστι θεός; Λέγει αὐτῷ· Ναί.

Μὴ ἠδυνήθης διαπαῖξαι τὸν θεόν; Ἀπεκρίνατο ὅτι Οὔ. Λέγει αὐτῷ· Εἰ γνωρίζεις σου τὴν ἁμαρτίαν καὶ τὴν τοῦ θεοῦ παιδείαν δι᾽ ἣν τοῦτο ὑπέστης, διορθώθητι εἰς τὸ ἑξῆς. Ἐξωμολογήσατο οὖν τὴν αἰτίαν, καὶ ἔδωκε λόγον μηκέτι ἁμαρτῆσαι μήτε λειτουργῆσαι, ἀλλὰ τὸν λαικὸν ἀσπάσασθαι κλῆρον. Καὶ οὕτως ἐπέθηκεν αὐτῷ χεῖρα, καὶ ἐν ὀλίγαις ἡμέραις ἰάθη καὶ ἐτρίχωσε καὶ ἀπῆλθεν ὑγιής.

Ἐπ᾽ ὄψεσιν ἐμαῖς προσηνέχθη αὐτῷ παιδαρίσκος ἐνεργούμενος ὑπὸ πονηροῦ πνεύματος. Ἐπιθεὶς οὖν αὐτῷ χεῖρα ἐπὶ τῆς κεφαλῆς καὶ τὴν ἄλλην ἐπὶ τῆς καρδίας, ἐπὶ τοσοῦτον ηὔξατο ἕως οὗ αὐτὸν ἀπὸ ἀέρος ἐποίησε κρεμασθῆναι. Οἰδήσας οὖν ὡς ἀσκὸς ὁ παῖς τοσοῦτον ἐφλέγμανεν ὡς γενέσθαι πᾶς ἐρυσιπέλατος. Καὶ αἰφνίδιον ἀνακράξας, διὰ πασῶν τῶν αἰσθήσεων ὕδωρ ἐνήνοχε, καὶ λωφήσας πάλιν γέγονεν εἰς τὸ μέτρον ὃ ἦν. Παραδίδωσιν οὖν τῷ πατρὶ αὐτόν, ἀλείψας ἐλαίῳ ἁγίῳ, καὶ ἐπιχέας ὕδωρ, παρήγγειλεν ἐπὶ τεσσαράκοντα ἡμέρας μὴ κρεῶν ἅψασθαι, μὴ οἴνου. Καὶ οὕτως αὐτὸν ἰάσατο.

Ὤχλησαν τούτῳ ποτὲ λογισμοὶ κενοδοξίας ἐκβάλλοντες αὐτὸν τῆς κέλλης, καὶ ὑποτιθέμενοι οἰκονομίας χάριν καταλαμβάνειν τὴν Ρωμαίων πρὸς θεραπείαν τῶν ἀρρωστούντων· μεγάλως γὰρ ἐνήργει ἡ χάρις εἰς αὐτὸν κατὰ πνευμάτων. Καὶ ὡς ἐπὶ πολὺ οὐχ ὑπήκουσε, σφοδρῶς δὲ ἠλαύνετο, πεσὼν ἐπὶ τῆς φλιᾶς τῆς κέλλης τοὺς πόδας ἀφῆκεν ἐπὶ τὰ ἔξω καὶ λέγει· Ἕλκετε, δαίμονες, καὶ σύρετε· ἐγὼ γὰρ τοῖς ποσὶ τοῖς ἐμοῖς οὐκ ἀπέρχομαι· εἰ δύνασθέ με οὕτως ἀπενεγκεῖν ἀπελεύσομαι· διομνὺς αὐτοῖς ὅτι Κεῖμαι ἕως ἑσπέρας· ἐὰν μή με σαλεύσετε, οὐ μὴ ὑμῶν ἀκούσω.

Ἐπὶ πολὺ οὖν πεσὼν ἀνέστη. Ἐπιγενομένης δὲ νυκτὸς πάλιν αὐτῷ ἐπέθεντο· καὶ σπυρίδα μοδίων δύο ψάμμου πληρώσας καὶ θεὶς ἐπὶ τῶν ὤμων, διεκίνει ἀνὰ τὴν ἔρημον. Συνήντησεν οὖν αὐτῷ Θεοσέβιος ὁ κοσμήτωρ, Ἀντιοχεὺς τῷ γένει, καὶ λέγει αὐτῷ· Τί βαστάζεις, ἀββᾶ; παραχώρησον ἐμοὶ τὸ φορτίον, καὶ μὴ σκύλλου· Ὁ δὲ λέγει αὐτῷ· Σκύλλω τὸν σκύλλοντά με· ἄνετος γὰρ ὢν ἀποδημίας μοι ὑποβάλλει. Ἐπὶ πολὺ οὖν διακινήσας εἰσῆλθεν εἰς τὴν κέλλαν, συντρίψας τὸ σῶμα.

Οὗτος ἡμῖν ὁ ἅγιος Μακάριος διηγήσατο, ἦν γὰρ πρεσβύτερος, ὅτι Ἐπεσημηνάμην κατὰ τὸν καιρὸν τῆς διαδόσεως τῶν μυστηρίων ὅτι Μάρκῳ τῷ ἀσκητῇ οὐδέποτε ἔδωκα ἐγὼ προσφοράν, ἀλλὰ ἄγγελος αὐτῷ ἐπεδίδου ἐκ τοῦ θυσιαστηρίου· μόνον δὲ τὸν ἀστράγαλον ἐθεώρουν τῆς χειρὸς τοῦ διδόντος. Μάρκος δὲ οὗτος νεώτερος ἦν, παλαιὰν καὶ καινὴν γραφὴν ἀποστηθίζων, πραῢς καθ᾽ ὑπερβολήν, σώφρων εἰ καί τις ἄλλος.

Μιᾶς οὖν τῶν ἡμερῶν εὐκαιρηθεὶς ἐγώ, εἰς τὸ ἔσχατον αὐτοῦ γῆρας, ἀπέρχομαι καὶ παρακαθέζομαι αὐτοῦ τῇ θύρᾳ νομίσας αὐτὸν ὑπὲρ ἄνθρωπον, ὡς ἅτε ἀρχαῖον, ἀκροώμενος τί λέγει ἢ τί διαπράττεται. Καὶ μονώτατος ὢν ἔνδον, περὶ τὰ ἑκατὸν ἐλάσας ἔτη ἤδη καὶ τοὺς ὀδόντας ἀπολέσας, ἑαυτῷ διεμάχετο καὶ τῷ διαβόλῳ, καὶ ἔλεγε· Τί θέλεις, κακόγηρε; Ἰδοὺ καὶ ἐλαίου ἥψω καὶ οἴνου μετέλαβες· λοιπὸν τί θέλεις, πολιόφαγε; ἑαυτὸν ὑβρίζων. Εἶτα καὶ τῷ διαβόλῳ· Μὴ ἀκμὴν τί σοι χρεωστῶ; οὐδὲν εὑρίσκεις· ἄπελθε ἀπ᾽ ἐμοῦ. Καὶ ὡς τερετίζων ἑαυτῷ διελέγετο· Δεῦρο, πολιόφαγε· ἕως πότε ἔσομαι μετὰ σοῦ;

Διηγεῖτο δὲ ἡμῖν Παφνούτιος ὁ μαθητὴς αὐτοῦ, ὅτι μιᾷ τῶν ἡμερῶν ὕαινα λαβοῦσα τὸν ἑαυτῆς σκύμνον, τυφλὸν ὄντα, ἤνεγκε τῷ Μακαρίῳ· καὶ τῇ κεφαλῇ κρούσασα τῆς αὐλῆς τὴν θύραν εἰσῆλθεν

ἔξω αὐτοῦ καθημένου, καὶ ἔρριψεν ὑπὸ τοὺς πόδας αὐτοῦ τὸν σκύμνον. Λαβὼν δὲ ὁ ἅγιος καὶ ἐπιπτύσας τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐπηύξατο, καὶ παραχρῆμα ἀνέβλεψε. Καὶ θηλάσασα αὐτὸν ἡ μήτηρ αὐτοῦ λαβοῦσα αὐτὸν ἀπῆλθε.

Καὶ τῇ ἄλλῃ ἡμέρᾳ κώδιον μεγάλου προβάτου ἐνήνοχε τῷ ἁγίῳ. Ὡς δὲ ἡ μακαρία Μελάνιόν μοι εἶπεν ὅτι Παρὰ τοῦ Μακαρίου ἐγὼ ἔλαβον τὸ κώδιον ἐκεῖνο ξένιον. Καὶ τί θαυμαστὸν εἰ ὁ τοὺς λέοντας τῷ Δανιὴλ ἡμερώσας, καὶ τὴν ὕαιναν ἐσυνέτισεν;

Ἔλεγε δὲ ὅτι ἀφ᾽ οὗ ἐβαπτίσθη οὐκ ἔπτυσε χαμαί, ἑξηκοστὸν ἔχων ἔτος ἀφ᾽ οὗ ἐβαπτίσθη.

Ἦν δὲ τὸ εἶδος αὐτοῦ ὑποκόλοβον, σπανόν, ἐπὶ τοῦ χείλους μόνον ἔχον τρίχας, καὶ εἰς τὸ ἄκρον τοῦ πώγωνος· ὑπερβολῇ γὰρ ἀσκήσεως οὐδὲ αἱ τρίχες τῆς γενειάδος αὐτοῦ ἐφύησαν.

Τούτῳ ἐγὼ προσῆλθόν ποτε ἀκηδιάσας, καὶ λέγω αὐτῷ· Ἀββᾶ, τί ποιήσω; ὅτι θλίβουσί με οἱ λογισμοὶ λέγοντες ὅτι Οὐδὲν ποιεῖς, ἄπελθε ἔνθεν. Καὶ λέγει μοι ὅτι Εἰπὲ αὐτοῖς· Ἐγὼ διὰ Χριστὸν τοὺς τοίχους τηρῶ.

Ταῦτα ἐκ τῶν πολλῶν ὀλίγα σοι ἐσήμηνα τοῦ ἁγίου Μακαρίου.

Περὶ Μωσέως τοῦ Αἰθίοπος

Μωσῆς οὕτω τις καλούμενος, Αἰθίοψ τῷ γένει, μέλας, οἰκέτης ὑπῆρχε πολιτευομένου τινός· ὃν διὰ πολλὴν δυστροπίαν καὶ λῃστείαν ἔρριψεν ὁ ἴδιος δεσπότης· ἐλέγετο γὰρ καὶ μέχρι φόνων φθάνειν· ἀναγκάζομαι γὰρ λέγειν αὐτοῦ τὰ τῆς πονηρίας, ἵνα δείξω αὐτοῦ τὴν ἀρετὴν τῆς μετανοίας. Διηγοῦντο γοῦν ὅτι καὶ ἀφηγούμενος ἦν λῃστηρίου ἑνός· οὗ καὶ τὸ ἔργον φαίνεται ἐν τοῖς λῃστρικοῖς, ὅτι ποιμένι τινὶ ἐμνησικάκησέ ποτε παρεμποδίσαντι αὐτῷ εἰς πρᾶγμά τι μετὰ τῶν κυνῶν ἐν νυκτί·

ὃν ἀποκτεῖναι θελήσας περινοστεῖ τὸν τόπον ἔνθα τὴν στάσιν εἶχε τὴν τῶν προβάτων· καὶ ἐμηνύθη αὐτῷ πέραν τοῦ Νείλου· καὶ πλημμυροῦντος τοῦ ποταμοῦ καὶ κρατοῦντος ὡσεὶ σημεῖον ἕν, δακὼν τὴν μάκαιραν ἐν τῷ στόματι καὶ τὸν χιτωνίσκον θεὶς τῇ κεφαλῇ διεπέρασεν οὕτω κολυμβήσας τὸν ποταμόν. Ἐν τῷ τοῦτον οὖν διακολυμβᾶν ἠδυνήθη ὁ ποιμὴν διαλαθεῖν αὐτόν, ἑαυτὸν καταχώσας εἰς τὴν ἄμμον. Τοὺς οὖν ἐξ ἐπιλογῆς τέσσαρας κριοὺς σφάξας καὶ δήσας σειρᾷ, διεκολύμβησεν αὖθις·

καὶ ἐλθὼν εἰς μικρὸν προαύλιον ἀπέδειρε, καὶ φαγὼν τὰ κάλλιστα τῶν κρεῶν καὶ εἰς οἶνον διαπωλήσας τὰ κώδια καὶ σαΐτην πιὼν ὡς

ἰταλικῶν δεκαοκτὼ ξεστῶν, πεντήκοντα σημεῖα ἀπῆλθεν ὅπου τὸ κολλήγιον εἶχεν.

Οὗτος ὁ τοσοῦτος ὀψέ ποτε κατανυγεὶς ἐκ περιστάσεώς τινος, ἐπέδωκεν ἑαυτὸν μοναστηρίῳ καὶ οὕτως προσῆλθε τῷ πράγματι τῆς μετανοίας ὡς καὶ αὐτὸν τὸν συμπράκτην αὐτοῦ τῶν κακῶν ἐκ νεότητος δαίμονα τὸν αὐτῷ συναμαρτόντα ἄντικρυς εἰς ἐπίγνωσιν ἀγαγεῖν τοῦ Χριστοῦ. Ἐν οἷς λέγεταί ποτε ὅτι λησταὶ τούτῳ ἐπέπεσον ἐν τῷ κελλίῳ καθημένῳ ἀγνοήσαντες τὸ τίς ἐστιν. Ἦσαν δὲ τέσσαρες·

οὓς δήσας πάντας καὶ καθάπερ ζαβέρναν ἐπιθεὶς ἀχύρου τῷ νώτῳ ἤνεγκεν εἰς τὴν ἐκκλησίαν τῶν ἀδελφῶν εἰπών· Ἐπειδὴ οὐκ ἔξεστί μοι ἀδικεῖν οὐδένα, τί κελεύετε περὶ τούτων; Οὕτως ἐκεῖνοι ἐξομολογησάμενοι, καὶ γνόντες ὅτι Μωσῆς ἐστὶν ἐκεῖνος, ὅ ποτε ὀνομαστὸς καὶ περιβόητος ἐν τοῖς λῃσταῖς, δοξάσαντες τὸν θεὸν κἀκεῖνοι ἀπετάξαντο διὰ τὴν τούτου μεταβολήν, λογισάμενοι ὅτι Εἰ οὗτος ὁ οὕτως ἱκανὸς καὶ δυνάμενος ἐν τοῖς λῃστρικοῖς τὸν θεὸν ἐφοβήθη, ἡμεῖς τί ἀναβαλλόμεθα τὴν σωτηρίαν;

Τούτῳ τῷ Μωσεῖ ἐπέθεντο δαίμονες εἰς τὴν ἀρχαίαν συνήθειαν τῆς ἀκολασίας τῆς πορνικῆς κατελαύνοντες· ὃς ἐπὶ τοσοῦτον ἐπειράσθη, ὡς αὐτὸς διηγεῖτο, ὡς μικροῦ δεῖν τῆς προθέσεως ἐξοκεῖλαι. Παραγενόμενος οὖν πρὸς τὸν μέγαν Ἰσίδωρον τὸν ἐν τῇ Σκήτει, ἀνήνεγκε τὰ τοῦ πολέμου. Καὶ λέγει αὐτῷ· Μὴ λυπηθῇς· ἀρχαὶ γάρ εἰσι, καὶ διὰ τοῦτο σφοδρότερόν σοι ἐπέθεντο ζητοῦντες τὴν συνήθειαν.

Ὥσπερ γὰρ κύων ἐν μακέλλῳ τῇ συνηθείᾳ οὐκ ἀφίσταται, ἂν δὲ κλεισθῇ τὸ μάκελλον καὶ μηδεὶς αὐτῷ μηδὲν δῷ, οὐκέτι ἐγγίζει· οὕτω καὶ σὺ ἐὰν ἐπιμείνῃς, ἀκηδιάσας ὁ δαίμων ἔχει σου ἀποστῆναι. Ἀναχωρήσας οὖν ἀπὸ τῆς ὥρας ἐκείνης σφοδρότερον ἠσκεῖτο, καὶ μάλιστα ἀπὸ βρωμάτων, οὐδενὸς μεταλαμβάνων πλὴν ἄρτου ξηροῦ ἐν δώδεκα οὐγκίαις, ἐργαζόμενος ἔργον πλεῖστον, καὶ πεντήκοντα προσευχὰς ἐκτελῶν. Κατατήξας οὖν αὐτοῦ τὸ σωμάτιον, ἔμεινε πυρούμενος ἔτι καὶ ἐνυπνιαζόμενος.

Πάλιν παρέβαλεν ἄλλῳ τινὶ τῶν ἁγίων καὶ λέγει αὐτῷ· Τί ποιήσω ὅτι σκοτίζουσί μου τὸν λογισμὸν τὰ ἐνύπνια τῆς ψυχῆς κατὰ συνήθειαν ἡδονῆς; Λέγει αὐτῷ· Ἐπειδὴ τὸν νοῦν σου οὐκ ἀπέστησας τῶν περὶ ταῦτα φαντασιῶν, τούτου χάριν ὑφίστασαι τοῦτο· δὸς ἑαυτὸν εἰς ἀγρυπνίαν καὶ προσεύχου νηφόντως καὶ ἐλευθεροῦσαι ἀπὸ τούτων

ταχέως. Ὃς ἀκούσας καὶ ταύτης τῆς ὑποθέσεως ἀπελθὼν ἐν τῇ κέλλῃ ἔδωκε λόγον μὴ κοιμηθῆναι διὰ πάσης νυκτός, μὴ κλῖναι γόνυ.

Μείνας οὖν ἐν τῷ κελλίῳ ἐπὶ ἔτη ἕξ, τὰς νύκτας πάσας εἰς τὸ μέσον τοῦ κελλίου ἵστατο προσευχόμενος, ὀφθαλμὸν μὴ καμμύων· καὶ τοῦ πράγματος περιγενέσθαι οὐκ ἠδυνήθη. Ὑπέθετο οὖν ἑαυτῷ πάλιν ἄλλην πολιτείαν, καὶ ἐξερχόμενος τὰς νύκτας ἀπῄει εἰς τὰς κέλλας τῶν γερόντων καὶ ἀσκητικωτέρων, καὶ λαμβάνων τὰς ὑδρίας αὐτῶν λεληθότως ἐπλήρου ὕδατος. Ἀπὸ μήκους γὰρ ἔχουσι τὸ ὕδωρ, οἱ μὲν ἀπὸ δύο, οἱ δὲ ἀπὸ πέντε σημείων, ἄλλοι ἀπὸ ἡμίσεος.

Μιᾶς οὖν τῶν νυκτῶν ἐπιτηρήσας ὁ δαίμων καὶ μὴ καρτερήσας, ἐγκύψαντι αὐτῷ εἰς τὸ φρέαρ δέδωκε κατὰ τῶν ψοῶν ῥοπάλῳ τινὶ καὶ ἀφῆκεν αὐτὸν νεκρόν, μὴ αἰσθανόμενον μήτε ὃ πέπονθε μήτε παρὰ τίνος. Τὴν ἄλλην οὖν ἡμέραν ἐλθών τις ἀντλῆσαι ὕδωρ εὗρεν αὐτὸν ἐκεῖ κείμενον, καὶ ἀνήγγειλε τῷ μεγάλῳ Ἰσιδώρῳ τῷ πρεσβυτέρῳ τῆς Σκήτεως. Λαβὼν οὖν αὐτὸν ἀνήνεγκεν εἰς τὴν ἐκκλησίαν· καὶ ἐπὶ ἔτος ἓν ἐνόσησεν ὡς μόλις γενέσθαι τὸ σῶμα αὐτοῦ καὶ τὴν ψυχὴν ἐν ἰσχύϊ.

Λέγει οὖν αὐτῷ ὁ μέγας Ἰσίδωρος· Παῦσαι φιλονεικῶν, Μωσῆ, τοῖς δαίμοσι· καὶ μὴ αὐτοῖς ἐπέμβαινε· μέτρα γάρ εἰσι καὶ τῆς ἀνδρείας τῆς ἐν τῇ ἀσκήσει. Ὁ δὲ λέγει αὐτῷ· Οὐ μὴ παύσωμαι μέχρις οὗ παύσηταί μου ἡ φαντασία τῶν δαιμόνων. Λέγει οὖν αὐτῷ· Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πέπαυταί σου τὰ ἐνύπνια· κοινώνησον οὖν μετὰ παρρησίας· ἵνα γὰρ μὴ καυχήσῃ ὡς περιγενόμενος πάθους, τούτου χάριν κατεδυναστεύθης πρὸς τὸ συμφέρον.

Καὶ ἀπῆλθε πάλιν ἐπὶ τὴν κέλλαν αὐτοῦ. Μετὰ ταῦτα ἐρωτηθεὶς παρὰ Ἰσιδώρου ὡς μετὰ μῆνας δύο, ἔλεγε μηκέτι μηδὲν πεπονθέναι. Κατηξιώθη δὲ οὗτος χαρίσματος κατὰ δαιμόνων οὕτως ὡς τὰς μυίας ταύτας ἡμᾶς φοβεῖσθαι μᾶλλον ἢ ἐκεῖνον τοὺς δαίμονας. Αὕτη ἡ πολιτεία Μωσέως τοῦ Αἰθίοπος, ὃς καὶ αὐτὸς ἦν ἐν τοῖς μεγάλοις τῶν πατέρων συναριθμούμενος. Τελευτᾷ οὖν ἐτῶν ἑβδομήκοντα πέντε ἐν τῇ Σκήτει γενόμενος πρεσβύτερος, καταλιπὼν καὶ μαθητὰς ἑβδομήκοντα.

Περὶ Παύλου

Ὄρος ἐστὶν ἐν τῇ Αἰγύπτῳ ἀπάγον ἐπὶ τὴν Σκῆτιν τὴν πανέρημον ὃ καλεῖται Φέρμη. Ἐν τούτῳ τῷ ὄρει καθέζονται ὡς πεντακόσιοι ἄνδρες ἀσκούμενοι· ἐν οἷς καὶ Παῦλός τις, οὕτω καλούμενος, ταύτην ἔσχε τὴν πολιτείαν· οὐκ ἔργου ἥψατο, οὐ πραγματείας, οὐκ ἔλαβε

παρά τινος παρεκτὸς οὗ ἤσθιεν. Ἔργον δὲ αὐτῷ καὶ ἄσκησις γέγονε τὸ ἀδιαλείπτως προσεύχεσθαι. Τετυπωμένας οὖν εἶχεν εὐχὰς τριακοσίας, τοσαῦτα οὖν ψηφία συνάγων καὶ ἐν τῷ κόλπῳ κατέχων, καὶ ῥίπτων καθ᾽ ἑκάστην εὐχὴν ἔξω τοῦ κόλπου μίαν ψῆφον.

Οὗτος παραβαλὼν συντυχίας ἕνεκεν τῷ ἁγίῳ Μακαρίῳ τῷ λεγομένῳ πολιτικῷ, λέγει αὐτῷ· Ἀββᾶ Μακάριε, θλίβομαι. Ἠνάγκασεν οὖν αὐτὸν εἰπεῖν διὰ ποίαν αἰτίαν. Ὁ δὲ λέγει αὐτῷ· Ἐν κώμῃ τινὶ παρθένος κατοικεῖ τις τριακοστὸν ἔτος ἔχουσα ἀσκουμένη· περὶ ἧς μοι διηγήσαντο ὅτι παρεκτὸς σαββάτου ἢ κυριακῆς οὐδέποτε γεύεται· ἀλλὰ τὸν χρόνον ὅλον ἕλκουσα τὰς ἑβδομάδας διὰ πέντε ἐσθίουσα ἡμερῶν ποιεῖ εὐχὰς ἑπτακοσίας. Καὶ ἀπευδόκησα ἐμαυτοῦ τοῦτο μαθὼν ὅτι ὑπὲρ τὰς τριακοσίας οὐκ ἠδυνήθην ποιῆσαι.

Ἀποκρίνεται αὐτῷ ὁ ἅγιος Μακάριος· Ἐγὼ ἑξηκοστὸν ἔτος ἔχω τεταγμένας ἑκατὸν εὐχὰς ποιῶν καὶ τὰ πρὸς τροφὴν ἐργαζόμενος καὶ τοῖς ἀδελφοῖς τὴν ὀφειλὴν τῆς συντυχίας ἀποδιδούς, καὶ οὐ κρίνει με ὁ λογισμὸς ὡς ἀμελήσαντα. Εἰ δὲ σὺ τριακοσίας ποιῶν ὑπὸ τοῦ συνειδότος κρίνῃ, δῆλος εἶ καθαρῶς αὐτὰς μὴ εὐχόμενος, ἢ δυνάμενος πλείονας εὔχεσθαι καὶ μὴ εὐχόμενος.

Περὶ Εὐλογίου καὶ τοῦ λελωβημένου

Κρόνιός μοι διηγήσατο ὁ πρεσβύτερος τῆς Νιτρίας ὅτι Νεώτερος ὢν καὶ ἀκηδίας χάριν φυγὼν ἐκ τῆς μονῆς τοῦ ἀρχιμανδρίτου μου, ἀλώμενος ἔφθασα ἕως τοῦ ὄρους τοῦ ἁγίου Ἀντωνίου. Ἐκάθητο δὲ μεταξὺ Βαβυλῶνος καὶ Ἡρακλέους εἰς τὴν πανέρημον τὴν φέρουσαν κατὰ θάλασσαν τὴν ἐρυθρὰν ὡς ἀπὸ τριάκοντα σημείων τοῦ ποταμοῦ. Ἐλθὼν οὖν αὐτοῦ εἰς τὸ μοναστήριον τὸ παρὰ τὸν ποταμόν, ἔνθα οἱ τούτου μαθηταὶ ἐκαθέζοντο εἰς τὸ λεγόμενον Πίσπιρ Μακάριος καὶ Ἀμάτας οἳ καὶ ἔθαψαν αὐτὸν κοιμηθέντα, ἐξεδεξάμην ἡμέρας πέντε ἵνα συντύχω τῷ ἁγίῳ Ἀντωνίῳ. Ἐλέγετο γὰρ παραβάλλειν τῷ μοναστηρίῳ τούτῳ, ποτὲ μὲν διὰ δέκα, ποτὲ δὲ διὰ εἴκοσι, ποτὲ δὲ διὰ πέντε ἡμερῶν, καθὼς ἂν αὐτὸν ὁ θεὸς ἦγεν ἐπ᾽ εὐεργεσίᾳ τῶν παρατυγχανόντων τῷ μοναστηρίῳ. Διάφοροι οὖν συνήχθησαν ἀδελφοί, διαφόρους ἔχοντες χρείας· ἐν οἷς καὶ Εὐλόγιός τις Ἀλεξανδρεὺς μονάζων καὶ ἄλλος λελωβημένος, οἳ καὶ παρεγένοντο δι᾽ αἰτίαν τοιάνδε.

Οὗτος ὁ Εὐλόγιος σχολαστικὸς ὑπῆρχεν ἐκ τῶν ἐγκυκλίων παιδευμάτων, ὃς ἔρωτι πληγεὶς ἀθανασίας ἀπετάξατο τοῖς θορύβοις, καὶ πάντα διασκορπίσας τὰ ὑπάρχοντα κατέλιπεν ἑαυτῷ βραχέα

νομίσματα, ἐργάσασθαι μὴ δυνάμενος. Ἀκηδιῶν οὖν καθ᾽ ἑαυτὸν καὶ μήτε εἰς συνοδίαν βουλόμενος εἰσελθεῖν μήτε μόνος πληροφορούμενος, εὗρέ τινα κατὰ τὴν ἀγορὰν ἐρριμμένον λελωβημένον ὃς οὔτε χεῖρας εἶχεν οὔτε πόδας. Τούτῳ μόνη ἡ γλῶττα ἀκατάτριπτος ὑπῆρχε πρὸς συμφορὰν τῶν ἐντυγχανόντων.

Ὁ οὖν Εὐλόγιος στὰς ἐνατενίζει αὐτῷ καὶ προσεύχεται τῷ θεῷ, καὶ τίθεται διαθήκην μετὰ τοῦ θεοῦ ὅτι "Κύριε, ἐπὶ τῷ ὀνόματί σου λαμβάνω τοῦτον τὸν λελωβημένον καὶ διαναπαύω αὐτὸν μέχρι θανάτου, ἵνα διὰ τούτου κἀγὼ σωθῶ. Χάρισαί μοι ὑπομονὴν τῆς τούτου ὑπηρεσίας". Καὶ προσελθὼν τῷ λελωβημένῳ λέγει αὐτῷ· "Θέλεις, ὁ μέγας, λαμβάνω σε εἰς τὴν οἰκίαν καὶ διαναπαύω σε;" Λέγει αὐτῷ· "Καὶ πάνυ". "Οὐκοῦν, φησί, φέρω ὄνον καὶ λαμβάνω σε;" Συνέθετο. Ἐνέγκας οὖν ὄνον ἦρεν αὐτόν, καὶ ἀπήνεγκεν εἰς τὸ ἴδιον ξενίδιον, καὶ ἦν αὐτοῦ ἐπιμελούμενος.

Διακαρτερήσας οὖν ὁ λελωβημένος ἐπὶ ἔτη δεκαπέντε ἐνοσοκομεῖτο παρ᾽ αὐτοῦ, λουόμενος καὶ θεραπευόμενος ταῖς χερσὶ τοῦ Εὐλογίου καὶ ἀξίως τρεφόμενος τῆς νόσου. Μετὰ δὲ τὰ δεκαπέντε ἔτη δαίμων ἐνέσκηψεν εἰς αὐτὸν καὶ ἀποστασιάζει πρὸς τὸν Εὐλόγιον· καὶ ἤρξατο τοσαύταις δυσφημίαις καὶ λοιδορίαις πλύνειν τὸν ἄνδρα, ἐπιλέγων· "Σχάστα, φυγοκύρι, ἀλλότρια χρήματα ἔκλεψας, καὶ δι᾽ ἐμοῦ θέλεις σωθῆναι. Ῥῖψόν με εἰς τὴν ἀγοράν· κρέα θέλω". Ἤνεγκεν αὐτῷ κρέα.

Πάλιν οὖν ἀνέκραξεν· "Οὐ πληροφοροῦμαι· ὄχλους θέλω· εἰς τὴν ἀγορὰν θέλω. Ὢ βία· ῥῖψόν με ὅπου με εὗρες". Ὡς εἰ εἶχε χεῖρας τάχα ἂν καὶ ἀπήγξατο, τοῦ δαίμονος αὐτὸν οὕτως ἀγριώσαντος. Ἀπέρχεται τοίνυν πρὸς τοὺς ἐκ γειτόνων ἀσκητὰς ὁ Εὐλόγιος καὶ λέγει αὐτοῖς· "Τί ποιήσω, ὅτι εἰς ἀπελπισμόν με ἤγαγεν ὁ λελωβημένος οὗτος; Ῥίψω αὐτόν; Θεῷ δεξιὰς ἔδωκα καὶ φοβοῦμαι. Ἀλλὰ μὴ ῥίψω αὐτόν; Κακάς μοι ἡμέρας καὶ νύκτας δίδωσι. Τί οὖν αὐτῷ ποιήσω οὐκ οἶδα".

Οἱ δὲ λέγουσιν αὐτῷ· "Ὡς ἔτι ζῇ ὁ μέγας", οὕτω γὰρ ἐκάλουν τὸν Ἀντώνιον, "ἄνελθε πρὸς αὐτὸν βαλὼν τὸν λελωβημένον εἰς πλοῖον, καὶ ἀνένεγκε αὐτὸν εἰς τὸ μοναστήριον καὶ ἔκδεξαι ἕως ἐξέλθῃ ἐκ τοῦ σπηλαίου καὶ ἀνένεγκε αὐτῷ τὸ κρῖμα· καὶ ὃ ἐάν σοι εἴπῃ, στοίχησον αὐτοῦ τῇ ἐπικρίσει, ὁ θεὸς γάρ σοι λαλεῖ δι᾽ αὐτοῦ". Καὶ ἠνέσχετο αὐτῶν, καὶ βαλὼν τὸν λελωβημένον εἰς σκαφίδιον βουκολικόν, ἐξῆλθεν ἐν νυκτὶ τῆς πόλεως, καὶ ἀνήνεγκεν αὐτὸν εἰς τὸ μοναστήριον τῶν μαθητῶν τοῦ ἁγίου Ἀντωνίου.

Συνέβη δὲ τὴν ἄλλην ἡμέραν ἐλθεῖν τὸν μέγαν ἑσπέραν βαθεῖαν, ὡς διηγήσατο ὁ Κρόνιος, ἐμπεφιβλωμένον χλανίδα δερματίνην. Ἐρχόμενος οὖν εἰς τὸ μοναστήριον αὐτῶν ταύτην εἶχε τὴν συνήθειαν καλεῖν τὸν Μακάριον καὶ ἐρωτᾶν αὐτόν· "Ἄδελφε Μακάριε, ἦλθόν τινες ἀδελφοὶ ὧδε;" Ἀπεκρίνατο· "Ναί." "Αἰγύπτιοί εἰσιν ἢ Ἱεροσολυμῖται;" Σημεῖον δὲ αὐτῷ δεδώκει ὡς "Ἐὰν ἀπραγοτέρους ἴδῃς, λέγε ὅτι Αἰγύπτιοί εἰσιν· ὅταν δὲ εὐλαβεστέρους καὶ λογιωτέρους, λέγε Ἱεροσολυμῖται".

Ἠρώτησεν οὖν αὐτῷ κατὰ τὸ εἰωθός· "Αἰγύπτιοί εἰσιν οἱ ἀδελφοί, ἢ Ἱεροσολυμῖται;" Ἀπεκρίνατο ὁ Μακάριος καὶ λέγει αὐτῷ· "Μίγμα εἰσίν". Ὅτε μὲν ἔλεγεν αὐτῷ· "Αἰγύπτιοί εἰσιν", ἔλεγε πρὸς αὐτὸν ὁ ἅγιος Ἀντώνιος· "Ποίησον φακὸν καὶ δὸς αὐτοῖς φαγεῖν"· καὶ ἐποίει αὐτοῖς εὐχὴν μίαν, καὶ ἀπέλυεν αὐτούς. Ὅτε δὲ ἔλεγεν ὅτι "Ἱεροσολυμῖταί εἰσιν", ἐκάθητο διὰ πάσης νυκτός, λαλῶν αὐτοῖς τὰ πρὸς σωτηρίαν.

Ἐν ἐκείνῃ οὖν τῇ ἑσπέρᾳ καθεσθείς, φησί, προσκαλεῖται πάντας, καὶ μηδενὸς μηδὲν αὐτῷ εἰρηκότος ὁποῖον ὄνομα ἔχει, σκοτίας οὔσης φωνεῖ καὶ λέγει· "Εὐλόγιε, Εὐλόγιε, Εὐλόγιε", ἐκ τρίτου. Ἐκεῖνος οὐκ ἀπεκρίνατο ὁ σχολαστικός, οἰόμενος ἄλλον Εὐλόγιον καλεῖσθαι. Λέγει αὐτῷ πάλιν· "Σοὶ λέγω, Εὐλόγιε, τῷ ἀπὸ Ἀλεξανδρείας ἐλθόντι". Λέγει αὐτῷ ὁ Εὐλόγιος· "Τί κελεύεις, δέομαί σου;" "Τί ἧκες;" Ἀποκρίνεται ὁ Εὐλόγιος καὶ λέγει αὐτῷ· "Ὁ ἀποκαλύψας σοι τὸ ὄνομά μου, καὶ τὸ πρᾶγμά σοι ἀπεκάλυψε".

Λέγει αὐτῷ ὁ Ἀντώνιος· "Οἶδα διὸ ἦλθες· ἀλλ᾽ ἐπὶ πάντων τῶν ἀδελφῶν εἰπέ, ἵνα καὶ αὐτοὶ ἀκούσωσι". Λέγει αὐτῷ ὁ Εὐλόγιος· "Τοῦτον τὸν λελωβημένον εὗρον ἐν τῇ ἀγορᾷ· καὶ δεξιὰς ἔδωκα τῷ θεῷ ἵνα αὐτὸν νοσοκομήσω, κἀγὼ σωθῶ δι᾽ αὐτοῦ, καὶ αὐτὸς δι᾽ ἐμοῦ. Ἐπεὶ οὖν μετὰ τοσαῦτα ἔτη εἰς ἄκρον με χειμάζει καὶ ἐνεθυμήθην αὐτὸν ῥῖψαι, τούτου χάριν ἦλθον πρὸς τὴν σὴν ἁγιωσύνην, ἵνα μοι συμβουλεύσῃς τί ὀφείλω ποιῆσαι, καὶ προσεύξῃ περὶ ἐμοῦ· δεινῶς γὰρ χειμάζομαι".

Λέγει αὐτῷ ὁ Ἀντώνιος ἐμβριθεῖ καὶ αὐστηρᾷ τῇ φωνῇ· "Ρίπτεις αὐτόν; Ἀλλ᾽ ὁ ποιήσας αὐτὸν οὐ ῥίπτει αὐτόν. Ρίπτεις αὐτὸν σύ; Ἐγείρει ὁ θεὸς τὸν καλλίονά σου καὶ συνάγει αὐτόν". Ἐφησυχάσας οὖν ὁ Εὐλόγιος κατέπτηξε. Καὶ καταλείψας πάλιν τὸν Εὐλόγιον ἄρχεται τῇ γλώττῃ μαστίζειν τὸν λελωβημένον καὶ ἀποβοᾶν·

”Λελωβημένε, πεπηρωμένε, ἀνάξιε τῆς γῆς καὶ τοῦ οὐρανοῦ, οὐ παύῃ θεομαχῶν; Οὐκ οἶδας ὅτι ὁ Χριστός ἐστιν ὁ ὑπηρετῶν σοι; Πῶς τολμᾷς κατὰ τοῦ Χριστοῦ τοιαῦτα φθέγγεσθαι; Οὐ διὰ τὸν Χριστὸν ἑαυτὸν ἐδούλωσεν εἰς τὴν σὴν ὑπηρεσίαν;” Στύψας οὖν καὶ τοῦτον ἀφῆκε. Καὶ διαλεχθεὶς τοῖς λοιποῖς πᾶσι τὰ πρὸς τὴν χρείαν ἀπολαμβάνεται τὸν Εὐλόγιον καὶ τὸν λελωβημένον καὶ λέγει αὐτοῖς· “Μὴ περιστραφῆτε μηδαμοῦ, ἀπέλθετε· μὴ χωρισθῆτε ἀπ᾽ ἀλλήλων, ἀλλ᾽ ἢ εἰς τὴν κέλλαν ὑμῶν εἰς ἣν ἐχρονίσατε. Ἤδη γὰρ ἀποστέλλει ὁ θεὸς ἐφ᾽ ὑμᾶς. Ὁ πειρασμὸς γὰρ οὗτος συνέβη ὑμῖν ἐπειδὴ ἀμφότεροι περὶ τὸ τέλος ἔχετε καὶ στεφάνων μέλλετε ἀξιοῦσθαι. Μὴ οὖν ἄλλο τι ποιήσητε, καὶ ἐλθὼν ὁ ἄγγελος μὴ εὕρῃ ὑμᾶς ἐν τῷ τόπῳ”. Θᾶττον οὖν ὁδεύσαντες ἦλθον εἰς τὴν κέλλαν ἑαυτῶν. Καὶ ἐντὸς τεσσαράκοντα ἡμερῶν τελευτᾷ ὁ Εὐλόγιος· ἐντὸς δὲ ἄλλων τριῶν ἡμερῶν τελευτᾷ ὁ λελωβημένος.

Χρονοτριβήσας δὲ ὁ Κρόνιος ἐν τοῖς περὶ τὴν Θηβαΐδα τόποις κατῆλθεν εἰς τὰ μοναστήρια Ἀλεξανδρείας. Καὶ συνέβη τοῦ μὲν τὰ τεσσαρακοστὰ ἐπιτελεῖσθαι, τοῦ δὲ τὰ τρίτα παρὰ τῆς ἀδελφότητος. Ἔμαθεν οὖν ὁ Κρόνιος καὶ ἐξέστη· καὶ λαβὼν εὐαγγέλιον καὶ θεὶς ἐν μέσῳ τῆς ἀδελφότητος διωμόσατο ἀφηγησάμενος τὸ συμβὰν ὅτι Τῶν λόγων τούτων ὅλων ἑρμηνεὺς γέγονα, τοῦ μακαρίου Ἀντωνίου ἑλληνιστὶ μὴ εἰδότος· ἐγὼ γὰρ ἠπιστάμην ἀμφοτέρας τὰς γλώσσας, καὶ ἡρμήνευσα αὐτοῖς, τοῖς μὲν ἑλληνιστί, ἐκείνῳ δὲ αἰγυπτιστί.

Καὶ τοῦτο δὲ διηγήσατο ὁ Κρόνιος, ὅτι Ἐν τῇ νυκτὶ ἐκείνῃ διηγήσατο ἡμῖν ὁ μακάριος Ἀντώνιος ὅτι “Ἐνιαυτὸν ὁλόκληρον ηὐξάμην ἀποκαλυφθῆναί μοι τὸν τόπον τῶν δικαίων καὶ τῶν ἁμαρτωλῶν. Καὶ ἐθεασάμην μακρόν τινα γίγαντα μέχρι τῶν νεφελῶν, μέλανα, τὰς χεῖρας ἐκτεταμένας ἔχοντα ἐπὶ τὸν οὐρανόν, καὶ ὑποκάτω αὐτοῦ λίμνην ἔχουσαν μέτρον θαλάσσης· καὶ ἑώρων ψυχὰς ἀνιπταμένας ὡς ὄρνεα.

Καὶ ὅσαι μὲν ὑπερίπταντο αὐτοῦ τῶν χειρῶν καὶ τῆς κεφαλῆς διεσώζοντο· ὅσαι δὲ παρὰ τῶν χειρῶν αὐτοῦ ἐκοσσίζοντο ἐνέπιπτον εἰς τὴν λίμνην. Ἦλθεν οὖν μοι φωνὴ λέγουσα· Ταύτας ἃς βλέπεις ὑπεριπταμένας ψυχὰς τῶν δικαίων αἱ ψυχαί εἰσιν αἳ εἰς τὸν παράδεισον σώζονται· αἱ δὲ ἄλλαι εἰσὶν αἱ εἰς τὸν ᾅδην ὑποσυρόμεναι, τοῖς θελήμασι τῆς σαρκὸς καὶ τῇ μνησικακίᾳ ἐξακολουθήσασαι”.

Περὶ Παύλου τοῦ ἁπλοῦ

Διηγεῖτο δὲ καὶ τοῦτο ὁ Κρόνιος καὶ ὁ ἅγιος Ἱέραξ καὶ πλείονες ἄλλοι περὶ ὧν μέλλω λέγειν, ὅτι Παῦλός τις ἄγροικος γεωργός, καθ᾽ ὑπερβολὴν ἄκακος καὶ ἁπλοῦς, ὡραιοτάτῃ ἐζεύχθη γυναικὶ κακοτρόπῳ τῇ γνώμῃ, ἥτις διελάνθανεν ἁμαρτάνουσα ἐπὶ μήκιστον χρόνον. Εἰσελθὼν οὖν ἐξ ἀγροῦ αἰφνίδιον ὁ Παῦλος εὗρεν αὐτοὺς αἰσχροπραγοῦντας, τῆς προνοίας εἰς τὸ συμφέρον ὁδηγούσης τὸν Παῦλον. Καὶ γελάσας σεμνὸν ἐπιφωνεῖ αὐτοῖς καὶ λέγει· Καλῶς, καλῶς· ἀληθῶς οὐ μέλει μοι. Μὰ τὸν Ἰησοῦν ἐγὼ αὐτὴν οὐκέτι αἴρω. Ὕπαγε, ἔχε αὐτὴν καὶ τὰ παιδία αὐτῆς· ἐγὼ γὰρ ὑπάγω γίνομαι μοναχός.

Καὶ μηδενὶ μηδὲν εἰρηκὼς ἀνατρέχει τὰς ὀκτὼ μονὰς καὶ ἀπέρχεται πρὸς τὸν μακάριον Ἀντώνιον καὶ κρούει τὴν θύραν. Ἐξελθὼν οὖν ἐρωτᾷ αὐτόν· Τί θέλεις; Λέγει αὐτῷ· Μοναχὸς θέλω γενέσθαι. Ἀποκρίνεται ὁ Ἀντώνιος καὶ λέγει αὐτῷ· Ἐτῶν ἑξήκοντα γέρων ἄνθρωπος ὧδε μοναχὸς οὐ δύνασαι γενέσθαι· ἀλλὰ μᾶλλον ἄπελθε εἰς κώμην καὶ ἐργάζου, καὶ ζῆθι ἐργατικὸν βίον εὐχαριστῶν τῷ θεῷ· ὑπομεῖναι γὰρ τὰς θλίψεις τῆς ἐρήμου οὐ δύνασαι. Ἀποκρίνεται ὁ γέρων πάλιν καὶ λέγει· Εἴ τι ἂν με διδάξῃς ἐκεῖνο ποιῶ. Λέγει αὐτῷ ὁ Ἀντώνιος· Εἴρηκά σοι ὅτι γέρων εἶ καὶ οὐ δύνασαι· ἄπελθε εἰ ἄρα θέλεις μοναχὸς γενέσθαι εἰς κοινόβιον πλειόνων ἀδελφῶν, οἵτινες δύνανταί σου τῆς ἀσθενείας ἀνέχεσθαι. Ἐγὼ γὰρ μόνος κάθημαι ὧδε διὰ πέντε ἐσθίων καὶ τοῦτο λιμῷ. Τούτοις καὶ τοῖς τοιούτοις ῥήμασιν ἀπεσόβει τὸν Παῦλον· καὶ ὡς οὐκ ἠνείχετο αὐτοῦ κλείσας τὴν θύραν ὁ Ἀντώνιος οὐκ ἐξῆλθεν ἐπὶ ἡμέρας τρεῖς δι᾽ αὐτόν, οὐδὲ πρὸς τὴν χρείαν. Ὁ δὲ οὐκ ἀνεχώρησε.

Τῇ δὲ τετάρτῃ ἡμέρᾳ χρείας αὐτὸν ἀναγκαζούσης ἀνοίξας ἐξῆλθε καὶ πάλιν λέγει αὐτῷ· Ἄπελθε ἐντεῦθεν, γέρον· τί με ὑποπιάζεις; Οὐ δύνασαι ὧδε μεῖναι. Λέγει αὐτῷ ὁ Παῦλος· Ἀμήχανόν μοί ἐστιν ἀλλαχοῦ τελευτῆσαι ἀλλ᾽ ἢ ὧδε. Περιβλεψάμενος οὖν ὁ Ἀντώνιος καὶ θεασάμενος ὅτι τὰ πρὸς τροφὴν οὐ βαστάζει, οὐκ ἄρτον, οὐχ ὕδωρ, καὶ τετάρτην ἔχει καρτερήσας νῆστις, Μήποτε καὶ ἀποθάνῃ, φησί, καὶ κηλιδώσῃ μου τὴν ψυχήν, εἰσδέχεται αὐτόν. Καὶ τοιαύτην ἀνέλαβεν ὁ Ἀντώνιος ἐν ταῖς ἡμέραις ἐκείναις πολιτείαν οἵαν οὐδέποτε ἐν νεότητι.

Καὶ βρέξας θαλλοὺς λέγει αὐτῷ· Δέξαι, πλέξον σειρὰν ὡς κἀγώ. Πλέκει ὁ γέρων ἕως ἐννάτης ὀργυίας δεκαπέντε μοχθήσας. Θεασάμενος οὖν ὁ Ἀντώνιος δυσηρεστήθη καὶ λέγει αὐτῷ· Κακῶς

ἔπλεξας· ἀπόπλεξον καὶ ἄνωθεν πλέξον· νήστει αὐτῷ ὄντι καὶ ἡλικιώτῃ ταύτην ἐπαγαγὼν τὴν σῆψιν, ἵνα δυσφορήσας ὁ γέρων φύγῃ τὸν Ἀντώνιον. Ὁ δὲ καὶ ἀπέπλεξε καὶ πάλιν ἔπλεξε τοὺς αὐτοὺς θαλλούς, εἰ καὶ δυσχερέστερον διὰ τὸ ἐρρυτιδῶσθαι. Θεασάμενος δὲ ὁ Ἀντώνιος ὅτι οὔτε ἐγόγγυσεν οὔτε ἐμικροψύχησεν οὔτε ἠγανάκτησε, κατενύγη.

Καὶ δύναντος τοῦ ἡλίου λέγει αὐτῷ· Θέλεις φάγωμεν ἄρτου κλάσμα; Λέγει αὐτῷ ὁ Παῦλος· Ὡς δοκεῖ σοι, ἀββᾶ. Καὶ τοῦτο πάλιν ἔκαμψε τὸν Ἀντώνιον, τὸ μὴ προσδραμεῖν προθύμως τῇ τῆς τροφῆς ἀγγελίᾳ ἀλλ᾽ αὐτῷ ἐπιρρῖψαι τὴν ἐξουσίαν. Θεὶς οὖν τὴν τράπεζαν φέρει ἄρτους. Καὶ θεὶς ὁ Ἀντώνιος τοὺς παξαμάδας ἔχοντας ἀνὰ ἓξ οὐγκιῶν, ἑαυτῷ μὲν ἔβρεξεν ἕνα, ξηροὶ γὰρ ἦσαν, ἐκείνῳ δὲ τρεῖς. Καὶ βάλλει ψαλμὸν ὁ Ἀντώνιος ὃν ᾔδει, καὶ δωδέκατον αὐτὸν ψάλας δωδέκατον ηὔξατο, ἵνα δοκιμάσῃ τὸν Παῦλον.

Ὁ δὲ πάλιν προθύμως συνηύχετο· ἡρεῖτο γὰρ ὡς οἶμαι σκορπίους ποιμᾶναι ἢ μοιχαλίδι γυναικὶ συζῆσαι. Μετὰ δὲ τὰς δώδεκα προσευχὰς ἐκαθέσθησαν φαγεῖν ἑσπέρας βαθείας. Φαγὼν οὖν ὁ Ἀντώνιος τὸν ἕνα παξαμᾶν ἄλλου οὐχ ἥψατο. Ὁ δὲ γέρων σχολαιότερον ἐσθίων ἔτι εἶχε τοῦ παξαμαδίου· ἐξεδέχετο ὁ Ἀντώνιος ἕως οὗ τελέσῃ καὶ λέγει αὐτῷ· Φάγε, παπία, καὶ ἄλλον παξαμᾶν. Λέγει αὐτῷ ὁ Παῦλος· Ἐὰν σὺ ἐσθίῃς, κἀγώ· σοῦ δὲ μὴ ἐσθίοντος οὐκ ἐσθίω. Λέγει αὐτῷ ὁ Ἀντώνιος· Ἐμοὶ ἐπαρκεῖ· μοναχὸς γάρ εἰμι.

Λέγει αὐτῷ ὁ Παῦλος· Ἀρκεῖ κἀμοί· κἀγὼ γὰρ θέλω μοναχὸς γενέσθαι. Ἐγείρεται πάλιν καὶ ποιεῖ δεκαδύο εὐχὰς καὶ δεκαδύο ψαλμοὺς ψάλλει. Καθεύδει μικρὸν τοῦ πρωτουπνίου, καὶ πάλιν ἐγείρεται ψάλλειν μεσονυκτίῳ ἕως ἡμέρας. Ὡς οὖν εἶδε τὸν γέροντα προθύμως ἐπακολουθήσαντα αὐτοῦ τῇ πολιτείᾳ λέγει αὐτῷ· Ἐὰν δύνασαι καθ᾽ ἡμέραν οὕτως, μένε μετ᾽ ἐμοῦ. Λέγει αὐτῷ ὁ Παῦλος· Ἐὰν μέν τί ποτε πλέον, οὐκ οἶδα· ἐπεὶ ταῦτα ἃ εἶδον ποιῶ εὐχερῶς. Λέγει αὐτῷ ὁ Ἀντώνιος τῇ ἑξῆς· Ἰδοὺ γέγονας μοναχός.

Πληροφορηθεὶς οὖν ὁ Ἀντώνιος μετὰ μῆνας ῥητοὺς ὅτι τελείας ἐστὶ ψυχῆς, λίαν ὢν ἁπλοῦς, τῆς χάριτος αὐτῷ συνεργούσης, ποιεῖ αὐτῷ κέλλαν ὡς ἀπὸ σημείων τριῶν ἢ τεσσάρων, καὶ λέγει αὐτῷ· Ἰδοὺ γέγονας μοναχός· μένε κατ᾽ ἰδίαν ἵνα καὶ πεῖραν δαιμόνων λάβῃς. Οἰκήσας οὖν ἔτος ἓν ὁ Παῦλος χάριτος ἠξιώθη κατὰ δαιμόνων καὶ νοσημάτων. Ἐν οἷς ποτὲ καθ᾽ ὑπερβολὴν δεινότατος ἤχθη τῷ

Ἀντωνίῳ δαιμονιῶν ἀρχοντικὸν ἔχων πνεῦμα, ὃς καὶ αὐτὸν τὸν οὐρανὸν ἐδυσφήμει.

Προσσχὼν οὖν ὁ Ἀντώνιος λέγει τοῖς ἀγαγοῦσιν· Οὐκ ἔστιν ἐμὸν τοῦτο τὸ ἔργον· κατὰ γὰρ τούτου τοῦ τάγματος τοῦ ἀρχοντικοῦ οὔπω ἠξιώθην χαρίσματος, ἀλλὰ τοῦτο Παύλου ἐστίν. Ἀπελθὼν οὖν Ἀντώνιος πρὸς τὸν Παῦλον ἀπάγει αὐτοὺς καὶ λέγει αὐτῷ· Ἀββᾶ Παῦλε, ἔκβαλε τὸ δαιμόνιον τοῦτο ἀπὸ τοῦ ἀνθρώπου ἵνα ὑγιαίνων ἀπέλθῃ εἰς τὰ ἴδια. Λέγει αὐτῷ ὁ Παῦλος· Σὺ γὰρ τί; Λέγει αὐτῷ ὁ Ἀντώνιος· Οὐ σχολάζω ἐγώ, ἄλλο ἔχω ἔργον. Καὶ καταλείψας αὐτὸν ὁ Ἀντώνιος πάλιν ἦλθεν εἰς τὴν ἰδίαν κέλλαν.

Ἀναστὰς οὖν ὁ γέρων καὶ προσευξάμενος ἐνεργῆ προσευχὴν προσλαλεῖ τῷ δαιμονιῶντι· Εἴρηκεν ὁ ἀββᾶς Ἀντώνιος ὅτι "Ἔξελθε ἀπὸ τοῦ ἀνθρώπου". Ὁ δὲ δαίμων μετὰ δυσφημίας ἔκραξε λέγων· Οὐκ ἐξέρχομαι, κακόγηρε. Λαβὼν οὖν τὴν μηλωτὴν αὐτοῦ κατὰ νώτου ἔτυπτεν αὐτὸν λέγων· "Ἔξελθε" εἴρηκεν ὁ ἀββᾶς Ἀντώνιος. Λοιδορεῖ καὶ τὸν Ἀντώνιον καὶ αὐτὸν πάλιν ὁ δαίμων σφοδρότερον. Τέλος λέγει αὐτῷ· Ἐκβαίνεις, ἢ ὑπάγω λέγω τῷ Χριστῷ. Μὰ τὸν Ἰησοῦν, ἐὰν οὐκ ἐκβαίνῃς ἤδη ἄρτι ὑπάγω λέγω τῷ Χριστῷ, καὶ οὐαί σοι ἔχει ποιῆσαι.

Προσεδυσφήμει πάλιν ὁ δαίμων κράζων· Οὐκ ἐξέρχομαι. Χολέσας οὖν ὁ Παῦλος κατὰ τοῦ δαίμονος ἐξῆλθεν ἔξω τῆς ξενίας κατ᾽ αὐτὴν τὴν σταθερὰν μεσημβρίαν· τῶν δὲ Αἰγυπτίων τὸ καῦμα συγγενές ἐστι τῆς καμίνου τῆς Βαβυλωνίας. Καὶ στὰς κατὰ πέτρας ἐν τῷ ὄρει προσεύχεται καὶ λέγει οὕτως· Σὺ βλέπεις, Ἰησοῦ Χριστέ, ὁ σταυρωθεὶς ἐπὶ Ποντίου Πιλάτου, ὅτι οὐ μὴ κατέλθω ἀπὸ τῆς πέτρας, οὐ φάγω οὐ πίω ἕως οὗ ἀποθάνω, ἐὰν μὴ ἐκβάλῃς τὸ πνεῦμα ἀπὸ τοῦ ἀνθρώπου καὶ ἐλευθερώσῃς τὸν ἄνθρωπον.

Πρὸ τοῦ δὲ τελεσθῆναι τοὺς λόγους τοῦ στόματος αὐτοῦ ἀνέκραξεν ὁ δαίμων λέγων· Ὢ βία, ἐλαύνομαι· ἡ ἁπλότης με τοῦ Παύλου ἐλαύνει, καὶ ποῦ ἀπέλθω; Καὶ παραχρῆμα ἐξῆλθε τὸ πνεῦμα καὶ εἰς δράκοντα μέγαν ἑβδομήκοντα πήχεων μετεβλήθη συρόμενος ἐπὶ τὴν θάλασσαν τὴν ἐρυθράν, ἵνα πληρωθῇ τὸ ῥηθέν· Ἐπιδεικνυμένην πίστιν ἀπαγγελεῖ δίκαιος. Τοῦτό ἐστι τὸ θαῦμα Παύλου ὃς ἐπεκλήθη ἁπλοῦς παρὰ πάσης τῆς ἀδελφότητος.

Περὶ Πάχωνος

Πάχων τις ὀνόματι ἀμφὶ τὸ ἑβδομηκοστὸν ἔτος ἐλάσας ἐκάθητο ἐν τῇ Σκήτει. Συνέβη δὲ ὀχληθέντα με ἐπιθυμίᾳ γυναικικῇ δυσφορεῖν

καὶ πρὸς τοὺς λογισμοὺς καὶ πρὸς τὰς φαντασίας τὰς νυκτερινάς· καὶ ἐγγὺς γενόμενος τοῦ ἐξελθεῖν τῆς ἐρήμου, ἐλαύνοντός με τοῦ πάθους, τοῖς μὲν γείτοσι τοῖς ἐμοῖς οὐκ ἀνεθέμην τὸ πρᾶγμα, οὔτε τῷ διδασκάλῳ μου Εὐαγρίῳ· λεληθότως δὲ παραβαλὼν εἰς τὴν πανέρημον, συνετύγχανον ἐπὶ ἡμέρας δεκαπέντε τοῖς κατὰ τὴν Σκῆτιν γηράσασι πατράσιν ἐν τῇ ἐρήμῳ·

ἐν οἷς περιέτυχον καὶ τῷ Πάχωνι. Εὑρὼν οὖν αὐτὸν ἀκεραιότερον καὶ ἀσκητικώτερον, ἐθάρρησα ἀναθέσθαι μου αὐτῷ τὰ τῆς διανοίας. Καὶ λέγει μοι οὗτος· Μὴ ξενίσῃ σε τὸ πρᾶγμα· οὐ γὰρ αὐτὸ πάσχεις ἀπὸ ῥᾳθυμίας· μαρτυρεῖ γάρ σοι καὶ ὁ τόπος καὶ διὰ τὴν σπάνιν τῶν χρειῶν καὶ διὰ τὸ μὴ εἶναι συντυχίας θηλειῶν· ἀλλὰ μᾶλλον ἀπὸ σπουδῆς. Τριπλοῦς γάρ ἐστιν ὁ πόλεμος ὁ πορνικός. Ποτὲ μὲν γὰρ ἡ σὰρξ ἡμῖν ἐπιτίθεται εὐρωστοῦσα· ποτὲ δὲ τὰ πάθη διὰ τῶν λογισμῶν· ποτὲ δὲ καὶ αὐτὸς ὁ δαίμων τῇ βασκανίᾳ. Ἐγὼ γὰρ πολλὰ παρατηρήσας εὕρηκα τοῦτο.

Ἰδοὺ ὡς ὁρᾷς με γέροντα ἄνθρωπον· τεσσαρακοστὸν ἔτος ἔχω ἐν ταύτῃ τῇ κέλλῃ φροντίζων τῆς ἐμαυτοῦ σωτηρίας· καὶ ταύτην ἄγων τὴν ἡλικίαν μέχρι τούτου πειράζομαι. Καὶ ὡς διώμνυτο ὅτι Ἐπὶ δώδεκα ἔτη μετὰ τὸ πεντηκοστὸν ἔτος οὐ νύκτα μοι συνεχώρησεν, οὐχ ἡμέραν, ἐπιτιθέμενος. Ὑπονοήσας οὖν ὅτι ἀπέστη μου ὁ θεός, διὸ καὶ καταδυναστεύομαι, ᾑρετισάμην ἀποθανεῖν ἀλόγως ἢ πάθει σώματος ἀσχημονῆσαι. Καὶ ἐξελθὼν καὶ περιελθὼν τὴν ἔρημον εὗρον σπήλαιον ὑαίνης· εἰς ὃ σπήλαιον ἔθηκα ἐμαυτὸν ἐν ἡμέρᾳ γυμνόν, ἵνα ἐξελθόντα φάγῃ με τὰ θηρία.

Ὡς οὖν ἐγένετο ἑσπέρα, κατὰ τὸ γεγραμμένον "Ἔθου σκότος καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ", ἐξελθόντες οἱ θῆρες, ὅ τε ἄρσην καὶ ἡ θήλεια, ὠσφράνθησάν μου ἀπὸ κεφαλῆς ἕως ποδῶν περιλείξαντες· καὶ ὡς προσεδόκων βρωθῆναι ἀνεχώρησαν ἀπ᾽ ἐμοῦ. Πεσὼν οὖν διὰ πάσης νυκτὸς οὐκ ἐβρώθην· λογισάμενος δὲ ὅτι ἐφείσατό μου ὁ θεός, αὖθις ὑποστρέφω εἰς τὴν κέλλαν. Καρτερήσας οὖν ὁ δαίμων ἡμέρας ὀλίγας πάλιν ἐπέθετό μοι σφοδρότερον τοῦ πρώτου, ὡς παρὰ μικρόν με καὶ βλασφημῆσαι.

Μετασχηματισθεὶς οὖν εἰς αἰθιόπισσαν κόρην, ἣν ἑωράκειν ποτὲ ἐν νεότητί μου εἰς τὸ θέρος καλαμωμένην, ἐπικάθηταί μου τοῖς γόνασι, καὶ ἐπὶ τοσοῦτόν με κεκίνηκεν ὡς νομίσαι με συγγενέσθαι αὐτῇ. Ἀπομανεὶς οὖν ἔδωκα αὐτῇ κόσσον καὶ γέγονεν ἄφαντος. Ἐπὶ διετίαν οὖν τῆς δυσωδίας τῆς χειρός μου ἀνασχέσθαι οὐκ ἠδυνάμην.

Μικροψυχήσας οὖν καὶ ἀπευδοκήσας ἐξῆλθον εἰς τὴν πανέρημον ἀλώμενος· καὶ εὑρὼν ἀσπίδα μικρὰν καὶ λαβὼν αὐτὴν προσφέρω τοῖς γεννητικοῖς μορίοις, ἵνα κἂν οὕτω δηχθεὶς ἀποθάνω. Καὶ προστρίψας τοῦ θηρίου τὴν κεφαλὴν τοῖς μορίοις, ὡς αἰτίοις μοι τοῦ πειρασμοῦ, οὐκ ἐδήχθην.

Ἤκουσα οὖν φωνῆς ἐλθούσης ἐν τῇ διανοίᾳ μου, ὅτι "Ἄπελθε, Πάχων, ἀγωνίζου· διὰ γὰρ τοῦτο ἀφῆκά σε καταδυναστευθῆναι, ἵνα μὴ μέγα φρονήσῃς ὡς δυνάμενος, ἀλλ᾽ ἐπιγνούς σου τὴν ἀσθένειαν μὴ θαρρήσῃς τῇ σῇ πολιτείᾳ, ἀλλὰ προσδράμῃς τῇ τοῦ θεοῦ βοηθείᾳ". Οὕτω πληροφορηθεὶς ἀνέκαμψα, καὶ μετὰ θάρρους καθίσας καὶ μηκέτι φροντίσας τοῦ πολέμου εἰρήνευσα τὰς ἐπιλοίπους ἡμέρας. Ὁ δὲ γνούς μου τὴν καταφρόνησιν οὐκέτι μοι ἤγγισεν.

Περὶ Στεφάνου τοῦ Λίβυος

Στέφανός τις Λίβυς τῷ γένει ἐκ πλαγίου τῆς Μαρμαρικῆς καὶ τοῦ Μαρεώτου ἐκαθέσθη ἐπὶ ἑξήκοντα ἔτη. Οὗτος εἰς ἄκρον γενόμενος ἀσκητὴς καὶ διακριτικὸς κατηξιώθη χαρίσματος ὥστε πάντα τὸν λυπούμενον οἱανδήποτε λύπην συντυχόντα αὐτῷ ἄλυπον ἀναχωρεῖν. Γνώριμος δὲ ἦν καὶ τῷ μακαρίῳ Ἀντωνίῳ· ἔφθασε δὲ καὶ μέχρι τῶν ἡμετέρων ἡμερῶν. Ὧ ἐγὼ μὲν οὐ συνέτυχον διὰ τὸ μῆκος τοῦ τόπου· οἱ δὲ περὶ τὸν ἅγιον Ἀμμώνιον καὶ Εὐάγριον συντυχόντες μοι διηγήσαντο ὅτι Κατελάβομεν αὐτὸν ἀρρωστίᾳ τοιαύτῃ περιπεσόντα κατ᾽ αὐτοὺς τοὺς τόπους τῶν διδύμων καὶ τῆς βαλάνου ἕλκος ποιήσαντα τὸ λεγόμενον φαγέδαιναν. Ὃν εὕρομεν τημελούμενον ὑπὸ ἰατροῦ τινός, καὶ ταῖς μὲν χερσὶν ἐργαζόμενον καὶ πλέκοντα θαλλοὺς καὶ λαλοῦντα ἡμῖν, τὸ δὲ λοιπὸν σῶμα χειριζόμενον· ὃς οὕτως ἦν διακείμενος ὡς ἄλλου τεμνομένου. Ἀποκοπέντων οὖν τῶν μελῶν καθάπερ τριχῶν, ἀναίσθητος ἦν ὑπερβολῇ παρασκευῆς θεϊκῆς.

Ἡμῶν δὲ τοῦτο μὲν ὑπολυπουμένων, τοῦτο δὲ καὶ σιαινομένων ὅτι τοιοῦτος βίος τοιούτῳ περιπέπτωκε πάθει καὶ χειρουργίαις τοιαύταις, λέγει ἡμῖν· "Τεκνία, μηδὲν βλαβῆτε ἀπὸ τοῦ πράγματος· οὐδὲν γὰρ ὧν ποιεῖ ὁ θεὸς κακίᾳ ποιεῖ, ἀλλὰ τέλει χρηστῷ. Ἴσως γὰρ καὶ ὑπεύθυνα ἦσαν τὰ μέλη κολάσεως, καὶ συμφέρον ἐστὶν αὐτὰ ὧδε δοῦναι τὴν δίκην ἢ μετὰ τὴν ἔξοδον τοῦ σταδίου". Οὕτως οὖν ἡμᾶς παρακαλέσας καὶ ὑποστηρίξας ᾠκοδόμησε. Ταῦτα δὲ διηγησάμην ἵνα μὴ ξενιζώμεθα ὅταν ἁγίους τινὰς ἴδωμεν τοιούτοις περιπεσόντας πάθεσιν.

Περὶ Οὐάλεντος

Οὐάλης τις γέγονε τῷ μὲν γένει Παλαιστῖνος, τῇ δὲ γνώμῃ Κορίνθιος· Κορινθίοις γὰρ προσῆψε τὸ πάθος τῆς φυσιώσεως ὁ ἅγιος Παῦλος. Οὗτος τὴν ἔρημον καταλαβὼν ᾤκησε μεθ᾽ ἡμῶν ἐπὶ πλείονα ἔτη· ὃς ἐπὶ τοσοῦτον ἤλασεν ὑπερηφανίας ὡς ὑπὸ δαιμόνων ἀπατηθῆναι. Ἐκ γὰρ τοῦ κατὰ μικρὸν ἀπατᾶσθαι αὐτὸν παρεσκεύασαν αὐτὸν μέγα φρονῆσαι, ὡς ἀγγέλων αὐτῷ συντυγχανόντων.

Μιᾶς γοῦν τῶν ἡμερῶν, ὡς διηγοῦντο, ὅτι ἐργαζόμενος ἐν τῇ σκοτίᾳ τὴν βελόνην ἀφῆκεν ἐν ᾗ κατέρραπτε τὴν σπυρίδα· καὶ μὴ εὑρόντος αὐτὴν αὐτοῦ, λαμπάδα ἐποίησεν ὁ δαίμων καὶ εὗρε τὴν βελόνην. Πάλιν φυσιωθεὶς ἐπὶ τούτῳ μέγα ἐφρόνει, καὶ ἐπὶ τοσοῦτον ἐφυσιώθη ὡς καὶ τῆς κοινωνίας τῶν μυστηρίων αὐτὸν καταφρονῆσαι. Συνέβη δὲ ἐλθόντας τινὰς ξένους τραγήματα ἐνεγκεῖν ἐν τῇ ἐκκλησίᾳ τῇ ἀδελφότητι.

Λαβὼν οὖν ὁ ἅγιος Μακάριος ὁ πρεσβύτερος ἡμῶν, ἀπέστειλεν ἡμῖν ἑκάστῳ εἰς τὴν κέλλαν πρὸς δράκα, ἐν οἷς καὶ τῷ Οὐάλεντι. Λαβὼν οὖν ὁ Οὐάλης τὸν ἀπενεγκόντα καὶ ὕβρισε καὶ ἐτύπτησε, καὶ λέγει αὐτῷ· Ἄπελθε καὶ εἰπὲ Μακαρίῳ· “Οὐκ εἰμί σου χείρων, ἵνα σὺ ἐμοὶ εὐλογίαν πέμψῃς”. Γνοὺς οὖν ὁ Μακάριος ὅτι ἐνεπαίχθη ἀπῆλθεν αὐτὸν παρακαλέσαι μετὰ μίαν ἡμέραν, καὶ λέγει αὐτῷ· Οὐάλη, ἐνεπαίχθης· παῦσαι. Καὶ ὡς οὐκ ἤκουσεν αὐτοῦ τῶν παραινέσεων ἀνεχώρησε.

Πληροφορηθεὶς οὖν ὁ δαίμων ὅτι εἰς ἄκρον αὐτοῦ ἐπείσθη τῇ πλάνῃ, ἀπέρχεται καὶ σχηματίζει ἑαυτὸν εἰς τὸν σωτῆρα, καὶ παραγίνεται ἐν νυκτὶ ἐν φαντασίᾳ ἀγγέλων χιλίων λαμπάδας ἐχόντων καὶ τροχὸν πύρινον, ἐν ᾧ ἔδοξε τὸν σωτῆρα σχηματίζειν, καὶ ἕνα προλαμβάνοντα καὶ λέγοντα· Ἠράσθη σου ὁ Χριστὸς τῇ πολιτείᾳ καὶ τῇ παρρησίᾳ τοῦ βίου, καὶ ἦλθεν ἰδεῖν σε. Ἔξελθε οὖν τῆς κέλλης, καὶ μηδὲν ἄλλο ποιήσῃς ἀλλ᾽ ἢ πόρρωθεν αὐτὸν ἰδὼν κύψας προσκύνησον, καὶ εἴσελθέ σου εἰς τὴν κέλλαν.

Ἐξελθὼν οὖν καὶ θεασάμενος τὴν παράταξιν λαμπαδηφόρον, ὡς ἀπὸ σταδίου δὲ τὸν ἀντίχριστον, πεσὼν προσεκύνησεν. Ἐπὶ τοσοῦτον οὖν πάλιν τὴν ἄλλην ἡμέραν ἐφρενοβλάβησεν, ὡς εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν, καὶ συνηγμένης τῆς ἀδελφότητος εἰπεῖν· Ἐγὼ κοινωνίας χρείαν οὐκ ἔχω· τὸν γὰρ Χριστὸν ἑώρακα σήμερον. Τότε δήσαντες αὐτὸν οἱ πατέρες καὶ σιδηρώσαντες ἐπὶ ἔτος ἓν ἀπεθεράπευσαν,

εὐχαῖς καὶ ἀδιαφορίᾳ καὶ ἀπραγοτέρῳ βίῳ τὸ οἴημα αὐτοῦ καθελόντες, καὶ ὡς λέγεται· Τὰ ἐναντία τοῖς ἐναντίοις ἰάματα.

Ἀναγκαῖον δέ ἐστι καὶ τοὺς τῶν τοιούτων βίους ἐνθεῖναι τῷ βιβλιδαρίῳ πρὸς ἀσφάλειαν τῶν ἐντυγχανόντων, καθάπερ καὶ ἁγίοις φυτοῖς τοῦ παραδείσου τὸ ξύλον τὸ γνωστὸν καλοῦ καὶ πονηροῦ· ἵνα εἴ ποτε αὐτοῖς συμβαίη κατόρθωμά τι, μὴ μέγα φρονήσωσιν ἐπὶ τῇ ἀρετῇ. Πολλάκις γὰρ καὶ ἀρετὴ ὑπόθεσις γίνεται πτώσεως, ὅταν μὴ σκοπῷ ὀρθῷ ἐπιτελεσθῇ· γέγραπται γάρ· Εἶδον δίκαιον ἀπολλύμενον ἐν δικαιώματι αὐτοῦ· καί γε τοῦτο ματαιότης.

Περὶ Ἥρωνος

Ἥρων τις γέγονε γειτνιῶν μοι, Ἀλεξανδρεὺς τῷ γένει ἀστεῖος νεώτερος, εὐφυὴς τὴν διάνοιαν, καθαρὸς τὸν βίον· ὃς καὶ αὐτὸς μετὰ πόνους πολλοὺς τύφῳ βληθεὶς ἐξετραχηλιάσθη καὶ κατὰ τῶν πατέρων ἐφρόνησε μέγα, ὑβρίσας καὶ τὸν μακάριον Εὐάγριον, λέγων ὅτι Οἱ πειθόμενοι τῇ διδασκαλίᾳ σου ἀπατῶνται· οὐ χρὴ γὰρ διδασκάλοις ἑτέροις προσέχειν παρεκτὸς τοῦ Χριστοῦ. Ἀπεχρήσατο δὲ καὶ τῇ μαρτυρίᾳ πρὸς τὸν σκοπὸν τῆς ἑαυτοῦ μωρίας, καὶ ἔλεγεν ὅτι Αὐτὸς ὁ σωτὴρ εἶπε· “Μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς”.

Ὃς ἐπὶ τοσοῦτον καὶ αὐτὸς ἐσκοτώθη ὡς καὶ αὐτὸν ὕστερον σιδηρωθῆναι, μὴ θέλοντα μηδὲ τοῖς μυστηρίοις προσέρχεσθαι. Φίλη δὲ ἡ ἀλήθεια. Καθ᾽ ὑπερβολὴν ἦν λεπτὸς τῇ πολιτείᾳ, ὡς πολλοὺς διηγεῖσθαι τοὺς ἐν συνηθείᾳ ὅτι πολλάκις διὰ τριῶν μηνῶν ἐσθίει, ἀρκούμενος τῇ κοινωνίᾳ τῶν μυστηρίων καὶ εἴ που ἂν φανῇ ἀγριολάχανον. Πεῖραν δὲ αὐτοῦ εἴληφα κἀγὼ μετὰ τοῦ μακαρίου Ἀλβανίου ἀπιὼν ἐπὶ τὴν Σκῆτιν.

Ἀπεῖχε δὲ ἡμῶν ἡ Σκῆτις τεσσαράκοντα σημεῖα· ἐν τούτοις τοῖς τεσσαράκοντα σημείοις ἡμεῖς δεύτερον βεβρώκαμεν καὶ τρίτον ἐπίομεν ὕδωρ, ἐκεῖνος δὲ μηδενὸς γευσάμενος πεζὸς βαδίζων ἀπεστήθισε δεκαπέντε ψαλμούς, εἶτα τὸν μέγαν, εἶτα τὴν πρὸς Ἑβραίους ἐπιστολήν, εἶτα τὸν Ἠσαΐαν καὶ μέρος τι τοῦ Ἱερεμίου, εἶτα Λουκᾶν τὸν εὐαγγελιστήν, εἶτα τὰς παροιμίας. Καὶ τούτων οὕτως ἐχόντων καταλαμβάνειν αὐτὸν οὐκ ἠδυνάμεθα βαδίζοντα.

Οὗτος τελευταῖον ὡς ὑπὸ πυρὸς ἐλαυνόμενος ἐν τῇ κέλλῃ μὲν αὐτοῦ καθεσθῆναι οὐκ ἠδυνήθη· ἀπελθὼν δὲ εἰς τὴν Ἀλεξάνδρειαν κατ᾽ οἰκονομίαν, τὸ δὴ λεγόμενον, ἥλῳ τὸν ἧλον ἐξέκρουσε. Περιέπεσε γὰρ ἑκουσίως τῇ ἀδιαφορίᾳ, ἐς ὕστερον ἀκούσιον εὑράμενος σωτηρίαν. Παρέβαλε γὰρ θεάτρῳ καὶ ἱπποδρομίαις καὶ τὰς διατριβὰς

εἶχεν ἐν καπηλείοις· οὕτως δὲ γαστριμαργῶν καὶ οἰνοφλυγῶν ἐνέπεσεν εἰς τὸν βόρβορον τῆς γυναικείας ἐπιθυμίας.

Καὶ ὡς ἐσκέπτετο ἁμαρτῆσαι, μιμάδι τινὶ συντυχὼν τὰ πρὸς τὸ ἕλκος αὐτοῦ διελέγετο. Τούτων οὕτως διαπραττομένων γέγονεν αὐτῷ ἄνθραξ κατ᾽ αὐτῆς τῆς βαλάνου, καὶ ἐπὶ τοσοῦτον ἐνόσησεν ἑξαμηνιαῖον χρόνον ὡς κατασαπῆναι αὐτοῦ τὰ μόρια καὶ ἀποπεσεῖν. Ὕστερον δὲ ὑγιάνας ἄνευ τῶν μελῶν ἐκείνων καὶ ἐπανελθὼν εἰς φρόνημα θεϊκόν, ἦλθεν ἐξομολογούμενος ταῦτα πάντα τοῖς πατράσιν· ἐνεργῆσαι δὲ μὴ φθάσας ἐκοιμήθη μετ᾽ ὀλίγας ἡμέρας.

Περὶ Πτολεμαίου

Ἄλλος πάλιν Πτολεμαῖος ὀνόματι δυσδιήγητον ἢ ἀνεκδιήγητον ζήσας βίον· ᾤκησε γὰρ ἐπέκεινα τῆς Σκήτεως εἰς τὴν λεγομένην Κλίμακα· τόπος δέ ἐστιν οὕτω καλούμενος εἰς ὃν οἰκῆσαι οὐδεὶς δύναται ἐν τῷ ἀπὸ δεκαοκτὼ σημείων εἶναι τὸ φρέαρ τῶν ἀδελφῶν. Βαστάσας οὖν ἐκεῖνος κεράμια κιλικίσια πολλὰ ἀπήνεγκε, καὶ τῷ δεκεμβρίῳ καὶ ἰαννουαρίῳ μηνὶ συνάγων τὴν δρόσον -δροσίζει γὰρ ἐν ἐκείνοις τοῖς μέρεσι τότε πολλά- σπόγγῳ ἐκ τῶν λίθων, διήρκεσεν ἐπὶ ἔτη δεκαπέντε οἰκήσας ἐκεῖ. Ὃς ἀποξενωθεὶς διδασκαλίας καὶ συντυχίας ἀνδρῶν ὁσίων καὶ ὠφελείας, καὶ συνεχοῦς κοινωνίας τῶν μυστηρίων, ἐπὶ τοσοῦτον ἐξέστη τῆς εὐθείας ὡς λέγειν μηδὲν εἶναι τὰ πράγματα, ἀλλ᾽ ἢ φέρεσθαι μετέωρον ἄχρι τῆς δεῦρο ἀλώμενον ἐν Αἰγύπτῳ καὶ ἔκδοτον ἑαυτὸν δεδωκότα γαστριμαργίᾳ καὶ οἰνοφλυγίᾳ, μηδενὶ μηδὲν ὁμιλοῦντα. Καὶ αὕτη δὲ ἡ συμφορὰ συνέβη Πτολεμαίῳ ἐκ τῆς ἀλόγου οἰήσεως, κατὰ τὸ γεγραμμένον· Οἷς μὴ ὑπάρχει κυβέρνησις πίπτουσιν ὥσπερ φύλλα.

Περὶ ἐκπεσούσης παρθένου

Παρθένον πάλιν ἔγνων ἐν Ἱεροσολύμοις σακκοφοροῦσαν ἐπὶ ἑξαετίαν καὶ ἐγκεκλεισμένην, μηδενὸς τῶν εἰς ἡδονὴν συντεινόντων λαμβάνουσαν· ἥτις ἐς ὕστερον ἐγκαταλειφθεῖσα ὑπερβολῇ ὑπερηφανίας περιέπεσε πτώσει. Καὶ ἀνοίξασα τὴν θυρίδα εἰσεδέξατο τὸν ὑπηρετούμενον καὶ αὐτῷ συνεφύρη ἐν τῷ μὴ κατὰ θεϊκὴν πρόθεσιν καὶ ἀγάπην θεοῦ ἐσχηκέναι τὴν ἄσκησιν, ἀλλὰ κατὰ σκηνὴν ἀνθρωπίνην, ὅ ἐστι κενοδοξίας καὶ σαθρᾶς προαιρέσεως. Τῶν γὰρ λογισμῶν αὐτῆς ἀπασχοληθέντων εἰς τὸ καταγινώσκειν τῶν ἄλλων, οὐκ ἦν ὁ φύλαξ τῆς σωφροσύνης.

Περὶ Ἠλία

Ἠλίας τις ἀσκητὴς σφόδρα γέγονε φιλοπάρθενος· εἰσὶ γὰρ τοιαῦται ψυχαὶ αἷς μαρτυρεῖ τὸ τέλος κατὰ ἀρετήν. Ὃς κατοικτειρήσας τὸ τάγμα τῶν ἀσκητριῶν, ἐν Ἀθριβῇ τῇ πόλει ἔχων ἀναλώματα ᾠκοδόμησε μέγα μοναστήριον, καὶ συνήγαγε πάσας τὰς ἀλωμένας ἐν τῷ μοναστηρίῳ ἀκολούθως αὐτῶν φροντίζων, ποιήσας αὐταῖς ἀνάπαυσιν πᾶσαν καὶ κήπους καὶ χρηστήρια καὶ ὧν ἀπαιτεῖ ὁ βίος. Αὗται ἐκ διαφόρων βίων ἠγμέναι συνεχεῖς ἐποίουν μάχας μετ᾽ ἀλλήλων.

Ἐπεὶ οὖν ἐχρῆν αὐτὸν καὶ διακούειν καὶ εἰρηνεύειν, συνήγαγε γὰρ ὡς τριακοσίας, ἀνάγκην εἶχε μεσιτεύειν ἐπὶ δύο ἔτη. Νέαν ἄγων τὴν ἡλικίαν, ἦν γὰρ ὡς τριάκοντα ἐτῶν ἢ τεσσαράκοντα, οὗτος ἐπειράσθη καθ᾽ ἡδονήν· καὶ ἀναχωρήσας τοῦ μοναστηρίου νῆστις ἐπλανᾶτο ἀνὰ τὴν ἔρημον ἐπὶ ἡμέρας δύο, τοῦτο δεόμενος ὅτι Κύριε, ἢ ἀπόκτεινόν με ἵνα μὴ ἴδω αὐτὰς θλιβομένας, ἢ τὸ πάθος μου λαβὲ ἵνα φροντίζω αὐτῶν κατὰ λόγον.

Ἑσπέρας οὖν γενομένης ὕπνωσεν ἐν τῇ ἐρήμῳ καὶ ἐλθόντες πρὸς αὐτὸν ἄγγελοι τρεῖς, ὡς αὐτὸς διηγεῖτο, κατέσχον αὐτὸν καὶ λέγουσι· Τί ἐξῆλθες τοῦ μοναστηρίου τῶν γυναικῶν; Οἷς διηγεῖτο τὸ πρᾶγμα· Ὅτι ἐφοβήθην μήποτε κἀκείνας βλάψω καὶ ἐμαυτόν. Λέγουσιν αὐτῷ· Οὐκοῦν ἐάν σε τοῦ πάθους ἀπαλλάξωμεν ἀπέρχῃ καὶ φροντίζεις αὐτῶν; Ἐπὶ τούτοις συνέθετο. Εἰσπράττονται αὐτὸν ὅρκον.

Τὸν δὲ ὅρκον ἔλεγε τοιοῦτον εἶναι· Ὄμοσον ἡμῖν ὅτι Μὰ τὸν φροντίζοντά μου φροντίζω αὐτῶν. Καὶ ὤμοσεν αὐτοῖς· τότε κατέσχον αὐτοῦ εἴς τὰς χεῖρας καὶ εἴς τοὺς πόδας, καὶ ὁ τρίτος λαβὼν ξυρὸν ἐξέτεμεν αὐτοῦ τοὺς διδύμους, οὐ κατὰ ἀλήθειαν ἀλλὰ κατὰ φαντασίαν. Ἔδοξεν οὖν τῇ ἐκστάσει, ὡς ἂν εἴποι τις, καὶ ἀποτεθεραπεῦσθαι. Ἐπερωτῶσιν αὐτόν· Ἠσθήθης ὠφελείας; Λέγει αὐτοῖς· Σφόδρα ἐκουφίσθην καὶ πέπεισμαι ἀπηλλάχθαι τοῦ πάθους. Λέγουσιν αὐτῷ· Ἄπελθε οὖν. Καὶ ὑποστρέψας μετὰ πέντε ἡμέρας πενθοῦντος τοῦ μοναστηρίου εἰσῆλθε καὶ ἔνδον ἔμεινεν ἔκτοτε ἐν κελλίῳ πλαγίῳ, ἐξ οὗ ἐγγύτερος ὢν συνεχῶς αὐτὰς διωρθοῦτο τὸ ὅσον ἐπ᾽ αὐτῷ. Ἔζησε δὲ ἄλλα τεσσαράκοντα ἔτη διαβεβαιούμενος τοῖς πατράσιν ὅτι Εἰς τὴν διάνοιάν μου οὐκ ἀναβαίνει πάθος. Τοῦτο τὸ χάρισμα τοῦ ἁγίου ἐκείνου ὃς οὕτως ἐφρόντισε τοῦ μοναστηρίου.

Περὶ Δωροθέου

Ὃν διαδέχεται Δωρόθεος, ἀνὴρ δοκιμώτατος γηράσας ἐν βίῳ χρηστῷ καὶ ἐμπράκτῳ· μὴ δυνηθεὶς μὲν οὕτως ἐν αὐτῷ τῷ

μοναστηρίῳ μεῖναι, ἐν ἀνώγεῳ δὲ ἀποκεκλεισμένος θυρίδα ἐποίησεν ὁρῶσαν ἐπὶ τὸ μοναστήριον τῶν γυναικῶν, ἣν καὶ ἔκλειε καὶ ἤνοιγεν· ἀδιαλείπτως οὖν παρεκαθέζετο τῇ θυρίδι τὴν ἀμαχίαν αὐταῖς μνηστευόμενος. Καὶ οὕτως ἐπεγήρασεν ἄνω εἰς τὸ ἀνώγεων, μήτε τῶν γυναικῶν ἄνω ἀνερχομένων μήτε ἐκείνου δυναμένου κάτω κατελθεῖν· οὐ γὰρ είστήκει κλῖμαξ.

Περὶ Πιαμοῦν

Πιαμοῦν γέγονε παρθένος ἥτις τὰ ἔτη τῆς ζωῆς αὐτῆς ἔζησε μετὰ τῆς μητρὸς τῆς ἰδίας μίαν παρὰ μίαν ἐσθίουσα ἐν ἑσπέρᾳ καὶ νήθουσα λίνον. Αὕτη κατηξιώθη χαρίσματος προρρήσεων. Ἐν οἷς συνέβη ποτὲ ἐν Αἰγύπτῳ τῆς ἀναβάσεως οὔσης κώμην κώμῃ ἐπιθέσθαι· μάχονται γὰρ εἰς τὰς ὑδρομερισίας, ὡς καὶ φόνους παρακολουθεῖν καὶ κατακοπάς. Δυνατωτέρα οὖν κώμη ἐπέθετο τῇ ταύτης κώμῃ, καὶ ἤρχοντο ἄνδρες ἐν πλήθει μετὰ δοράτων καὶ ῥοπάλων κόψαι τὴν κώμην αὐτῆς.

Παρέστη δὲ αὐτῇ ἄγγελος ἀποκαλύπτων αὐτῇ τὴν ἐπίθεσιν τούτων. Καὶ μεταστειλαμένη τοὺς πρεσβυτέρους τῆς κώμης λέγει· Ἐξέλθατε καὶ ἀπαντήσατε τοῖς ἐρχομένοις ἐκ τῆσδε τῆς κώμης καθ᾽ ὑμῶν, ἵνα μὴ καὶ ὑμεῖς συναπόλησθε τῇ κώμῃ, καὶ παρακαλέσατε αὐτοὺς λωφῆσαι τῆς ἀηδίας. Φοβηθέντες δὲ οἱ πρεσβύτεροι πίπτουσιν εἰς τοὺς πόδας αὐτῆς παρακαλοῦντες καὶ λέγοντες αὐτῇ ὅτι Ἡμεῖς οὐ τολμῶμεν συναντῆσαι αὐτοῖς· οἴδαμεν γὰρ αὐτῶν τὴν μέθην καὶ τὴν ἀπόνοιαν.

Ἀλλ᾽ εἰ ποιεῖς ἔλεος καὶ ἐπὶ πᾶσαν τὴν κώμην καὶ ἐπὶ τὸν οἶκον τὸν σόν, ἐξελθοῦσα αὐτὴ αὐτοῖς συνάντησον. Ἐκείνη τοῦτο μὴ συνθεμένη, ἀνελθοῦσα εἰς τὸ δωμάτιον τὸ ἴδιον ἐν νυκτὶ ἔστη διὰ παντὸς εὐχομένη καὶ μὴ κλίνουσα γόνυ καὶ δεομένη τοῦ θεοῦ ὅτι Κύριε ὁ κρίνων τὴν γῆν, ᾧ οὐδὲν τῶν ἀδίκων ἀρέσκει, τῆς προσευχῆς ταύτης ἐλθούσης πρὸς σὲ ἡ δύναμίς σου ἡλωσάτω αὐτοὺς εἰς τὸν τόπον ὅπου ἂν αὐτοὺς καταλάβῃ.

Καὶ περὶ ὥραν πρώτην ἀπὸ τριῶν μιλίων ἡλωθέντες εἰς τὸν τόπον σαλευθῆναι οὐκ ἠδυνήθησαν· ἀπεκαλύφθη δὲ κἀκείνοις ὅτι πρεσβείαις αὐτῆς γέγονεν αὐτοῖς τὸ ἐμπόδιον· καὶ ἀποστείλαντες εἰς τὴν κώμην ᾐτήσαντο εἰρήνην, δηλώσαντες ὅτι Εὐχαριστήσατε τῷ θεῷ καὶ ταῖς εὐχαῖς Πιαμοῦν αἳ καὶ συνεπόδισαν ἡμᾶς.

Περὶ Παχωμίου καὶ τῶν Ταβεννησιωτῶν

Ταβέννησίς ἐστι τόπος ἐν τῇ Θηβαΐδι οὕτω καλούμενος, ἐν ᾧ Παχώμιός τις γέγονεν, ἀνὴρ τῶν εἰς εὐθεῖαν βεβιωκότων ὡς καταξιωθῆναι καὶ προρρήσεων καὶ ὀπτασιῶν ἀγγελικῶν. Οὗτος εἰς ἄγαν ἐγένετο φιλάνθρωπός τε καὶ φιλάδελφος. Καθεζομένῳ οὖν αὐτῷ ἐν τῷ σπηλαίῳ ὤφθη ἄγγελος καὶ λέγει αὐτῷ· Τὰ κατὰ σαυτὸν κατώρθωσας· περιττῶς οὖν καθέζῃ ἐν τῷ σπηλαίῳ· δεῦρο καὶ ἐξελθὼν συνάγαγε πάντας τοὺς νέους μοναχοὺς καὶ οἴκησον μετ᾽ αὐτῶν, καὶ κατὰ τὸν τύπον ὃν δίδωμί σοι οὕτως αὐτοῖς νομοθέτησον. Καὶ ἐπέδωκεν αὐτῷ δέλτον χαλκῆν ἐν ᾗ ἐγέγραπτο ταῦτα·

Συγχωρήσεις ἑκάστῳ κατὰ δύναμιν φαγεῖν καὶ πιεῖν· καὶ πρὸς τὰς δυνάμεις τῶν ἐσθιόντων ἀνάλογα καὶ τὰ ἔργα αὐτοῖς ἐγχείρισον· καὶ μήτε νηστεῦσαι κωλύσῃς μήτε φαγεῖν. Οὕτω μέντοι τὰ ἰσχυρὰ τοῖς ἰσχυροτέροις καὶ ἐσθίουσι, καὶ τὰ ἄτονα τοῖς ἀτονωτέροις καὶ ἀσκητικωτέροις ἐγχείριζε ἔργα. Ποίησον δὲ κέλλας διαφόρους ἐν τῇ αὐλῇ, καὶ τρεῖς κατὰ κέλλαν μενέτωσαν. Ἡ δὲ τροφὴ πάντων ὑπὸ ἕνα οἶκον ἐξεταζέσθω.

Καθευδέτωσαν δὲ μὴ ἀνακείμενοι, ἀλλὰ θρόνους οἰκοδομητοὺς ὑπτιωτέρους πεποιηκότες καὶ θέντες αὐτῶν ἐκεῖ τὰ στρώματα καθευδέτωσαν καθήμενοι. Φορείτωσαν δὲ ἐν ταῖς νυξὶ λεβιτῶνας λινοῦς ἐζωσμένοι. Ἕκαστος αὐτῶν ἐχέτω μηλωτὴν αἰγείαν εἰργασμένην, ἧς ἄνευ μὴ ἐσθιέτωσαν. Ἀπιόντες δὲ εἰς τὴν κοινωνίαν κατὰ σάββατον καὶ κυριακὴν τὰς ζώνας λυέτωσαν, τὴν μηλωτὴν ἀποτιθέσθωσαν, καὶ μετὰ κουκουλίου μόνου εἰσιέτωσαν. Κουκούλια δὲ αὐτοῖς ἐτύπωσεν ἄμαλλα ὡς παιδίοις, ἐν οἷς καὶ καυτῆρα τύπον σταυροῦ διὰ πορφυρίου ἐκέλευσεν ἐντίθεσθαι.

Ἐκέλευσε δὲ εἰκοσιτέσσαρα τάγματα εἶναι καὶ ἑκάστῳ τάγματι ἐπέθηκε στοιχεῖον ἑλληνικὸν ἀπὸ ἄλφα καὶ βῆτα καὶ γάμμα καὶ δέλτα καὶ τῶν καθ᾽ ἑξῆς. Ἐν τῷ οὖν αὐτὸν ἐρωτᾶν καὶ φιλοπραγμονεῖν εἰς τοσοῦτον πλῆθος ἠρώτα τὸν δεύτερον ὁ μειζότερος· Πῶς ἔχει τὸ τάγμα τοῦ ἄλφα; ἤ· Πῶς ἔχει τὸ ζῆτα; πάλιν· Ἄσπασαι τὸ ῥῶ, ἰδίῳ τινὶ σημείῳ γραμμάτων ἀκολουθοῦντες. Καὶ τοῖς μὲν ἁπλουστέροις καὶ ἀκεραιοτέροις ἐπιθήσεις τὸ ἰῶτα, τοῖς δὲ δυσχερεστέροις καὶ σκολιωτέροις προσάξεις τὸ ξῖ.

Καὶ οὕτως κατ᾽ ἀναλογίαν τῆς καταστάσεως τῶν προαιρέσεων καὶ τῶν τρόπων καὶ τῶν βίων, ἑκάστῳ τάγματι τὸ στοιχεῖον ἐφήρμοσε, μόνων τῶν πνευματικῶν εἰδότων τὰ σημαινόμενα. Ἐγέγραπτο δὲ ἐν τῇ δέλτῳ ὅτι Ξένος ἄλλου μοναστηρίου ἄλλον ἔχοντος τύπον μὴ

συμφάγῃ τούτοις, μὴ συμπίῃ, μὴ εἰσέλθῃ εἰς τὴν μονὴν ἐκτὸς εἰ μὴ ἐν ὁδῷ εὑρεθῇ. Τὸν μέντοι εἰσελθόντα συμμεῖναι αὐτοῖς ἐπὶ τριετίαν εἴσω τῶν ἀδύτων οὐ δέχονται· ἀλλ᾽ ἐργατικώτερα ἔργα ποιήσας, οὕτως εἰσβαίνει μετὰ τριετίαν.

Ἐσθίοντες δὲ τὰς κεφαλὰς καλυπτέτωσαν τοῖς κουκουλίοις ἵνα μὴ ἀδελφὸς ἀδελφὸν μασώμενον ἴδῃ. Οὐκ ἔστι λαλῆσαι ἐσθίοντα, οὐδὲ ἐκτὸς τοῦ πίνακος ἢ τῆς τραπέζης ἀλλαχοῦ προσέχειν τῷ ὀφθαλμῷ. Ἐτύπωσε δὲ διὰ πάσης τῆς ἡμέρας ποιεῖν αὐτοὺς εὐχὰς δώδεκα, καὶ ἐν τῷ λυχνικῷ δώδεκα, καὶ ἐν ταῖς παννυχίσι δώδεκα, καὶ ἐννάτην ὥραν τρεῖς· ὅτε δὲ μέλλει τὸ πλῆθος ἐσθίειν ἑκάστῃ εὐχῇ ψαλμὸν προᾴδεσθαι τυπώσας.

Προσαντιλέγοντος δὲ τοῦ Παχωμίου τῷ ἀγγέλῳ ὅτι ὀλίγαι εἰσὶν αἱ εὐχαί, λέγει αὐτῷ ὁ ἄγγελος· Ταῦτα διετύπωσα ὡς φθάνειν καὶ τοὺς μικροὺς ἐπιτελεῖν τὸν κανόνα καὶ μὴ λυπεῖσθαι. Οἱ δὲ τέλειοι νομοθεσίας χρείαν οὐκ ἔχουσι· καθ᾽ ἑαυτοὺς γὰρ ἐν ταῖς κέλλαις ὅλον ἑαυτῶν τὸ ζῆν τῇ τοῦ θεοῦ θεωρίᾳ παρεχώρησαν. Τούτοις δὲ ἐνομοθέτησα ὅσοι οὐκ ἔχουσι νοῦν ἐπιγνώμονα, ἵνα κἂν ὡς οἰκέται τὴν σύνταξιν πληροῦντες τῆς πολιτείας διατεθῶσιν ἐν παρρησίᾳ.

Ἔστιν οὖν ταῦτα τὰ μοναστήρια πλείονα κρατήσαντα τοῦτον τὸν τύπον, συντείνοντα εἰς ἑπτακισχιλίους ἄνδρας. Ἔστι δὲ τὸ πρῶτον καὶ μέγα μοναστήριον ἔνθα αὐτὸς ὁ Παχώμιος ᾤκει, τὸ καὶ τὰ ἄλλα ἀποκυῆσαν μοναστήρια, ἔχον ἄνδρας χιλίους τριακοσίους. Ἐν οἷς καὶ ὁ καλὸς Ἀφθόνιος ὁ φίλος μου γενόμενος γνήσιος, τὸ νῦν δευτερεύων ἐν τῷ μοναστηρίῳ· ὃν ὡς ἀσκανδάλιστον ἀποστέλλουσιν ἐν Ἀλεξανδρείᾳ ἐπὶ τὸ διαπωλῆσαι μὲν αὐτῶν τὰ ἔργα, συνωνήσασθαι δὲ τὰς χρείας.

Ἔστι δὲ ἄλλα μοναστήρια ἀπὸ διακοσίων καὶ τριακοσίων· ἐν οἷς καὶ εἰς Πανὸς τὴν πόλιν εἰσελθὼν εὗρον ἄνδρας τριακοσίους. [Ἐν τούτῳ τῷ μοναστηρίῳ ἑώρακα ῥάπτας δεκαπέντε, χαλκεῖς ἑπτά, τέκτονας τέσσαρας, καμηλαρίους δώδεκα, κναφεῖς δεκαπέντε.] Ἐργάζονται δὲ πᾶσαν τέχνην, καὶ ἐκ τῶν περιττευμάτων οἰκονομοῦντες καὶ τὰ τῶν γυναικῶν μοναστήρια καὶ φυλακάς.

[Τρέφουσι δὲ καὶ χοίρους· ἐμοῦ δὲ ψέγοντος τὸ πρᾶγμα, ἔλεγον ὅτι Ἐν τῇ παραδόσει παρελάβομεν ὅτι τρεφέσθωσαν μὲν διὰ τὰ σινιάσματα, διὰ τὰ ἀποκαθαρίσματα τῶν λαχάνων, διὰ τὰ ῥιπτόμενα περιττώματα, ἵνα μὴ ζημιῶνται. Καὶ θυέσθωσαν οἱ χοῖροι, καὶ τὸ κρέας μὲν πιπρασκέσθω, τὰ δὲ ἄκρα τοῖς νοσοῦσι καὶ τοῖς γέρουσιν

ἀναλισκέσθωσαν, τῷ μετρίαν εἶναι τὴν χώραν καὶ πολυάνθρωπον· τὸ γὰρ ἔθνος τῶν Βλεμμύων αὐτοῖς παροικεῖ.]

Ἀναστάντες δὲ οἱ ἐφημερευταὶ ὄρθριοι οἱ μὲν περὶ τὸ μαγειρεῖον οἱ δὲ περὶ τὰς τραπέζας γίνονται. Ἵστωσιν οὖν αὐτὰς μέχρι τῆς ὥρας ἀπαρτίσαντες, ἐπιθέντες κατὰ τράπεζαν ἄρτους, λαψάνας συνθέτας, ἐλαίας, τυροὺς βοῶν, [τὰ τῶν κρεῶν ἄκρα,] καὶ λεπτολάχανα. Εἰσὶν οὖν οἱ εἰσερχόμενοι ἕκτην ὥραν καὶ ἐσθίοντες, ἄλλοι ἑβδόμην, ἄλλοι ὀγδόην, ἄλλοι ἐννάτην, ἄλλοι ἑνδεκάτην, ἄλλοι ἑσπέραν βαθεῖαν, ἄλλοι διὰ δύο, ὡς ἕκαστον στοιχεῖον τὴν ἰδίαν ὥραν γνωρίζειν.

Οὕτως ἦν αὐτῶν καὶ τὰ ἔργα· ὁ μὲν ἐργάζεται γῆν γεωργῶν, ἄλλος κῆπον, ἄλλος χαλκεῖον, ἄλλος ἀρτοκοπεῖον, ἄλλος τεκτονεῖον, ἄλλος γναφεῖον, ἄλλος πλέκων σπυρίδας τὰς μεγάλας, ἄλλος βυρσεῖον, ἄλλος σκυτοτομεῖον, ἄλλος καλλιγραφεῖον, ἄλλος πλέκων τὰ μαλάκια· ἀποστηθίζουσι δὲ πάσας τὰς γραφάς.

Περὶ τοῦ μοναστηρίου τῶν γυναικῶν

Τούτοις ἔστι καὶ μοναστήριον γυναικῶν ὡς τετρακοσίων, τὴν αὐτὴν ἔχον διατύπωσιν, τὴν αὐτὴν πολιτείαν, ἐκτὸς τῆς μηλωτῆς· καὶ αἱ μὲν γυναῖκες πέραν τοῦ ποταμοῦ, οἱ δὲ ἄνδρες ἀντιπέρα. Ὅταν οὖν τελευτήσῃ παρθένος, ἐνταφιάσασαι αὐτὴν αἱ παρθένοι φέρουσι καὶ τιθέασι παρὰ τὴν ὄχθην τοῦ ποταμοῦ· περάσαντες δὲ οἱ ἀδελφοὶ μετὰ πορθμείου, μετὰ βαίων καὶ κλάδων ἐλαιῶν, μετὰ ψαλμῳδίας φέρουσιν αὐτὴν εἰς τὸ πέραν, θάπτοντες εἰς τὰ ἴδια μνήματα.

Παρεκτὸς μέντοι τοῦ πρεσβυτέρου καὶ τοῦ διακόνου οὐδεὶς περᾷ εἰς τὸ μοναστήριον τῶν γυναικῶν, καὶ τοῦτο κατὰ κυριακήν.

Ἐν τούτῳ τῷ μοναστηρίῳ τῶν γυναικῶν συνέβη πρᾶγμα τοιοῦτον· ῥάπτης κοσμικὸς περάσας κατὰ ἄγνοιαν ἐζήτει ἔργον· καὶ ἐξελθοῦσα νεωτέρα μία, ἔρημος γάρ ἐστιν ὁ τόπος, συνέτυχεν αὐτῷ ἀκουσίως καὶ δέδωκεν αὐτῷ ἀπόκρισιν ὅτι Ἡμεῖς ἔχομεν ἡμετέρους ῥάπτας.

Ἄλλη ἑωρακυῖα τὴν συντυχίαν, χρόνου παρελθόντος καὶ γενομένης μάχης, ἐξ ὑπονοίας διαβολικῆς ἀπὸ πολλῆς πονηρίας καὶ ζέσεως θυμοῦ, ἐσυκοφάντησε ταύτην ἐπὶ τῆς ἀδελφότητος· ᾗ συνέδραμον καὶ ἄλλαι ὀλίγαι τῇ κακίᾳ. Ἀπολυπηθεῖσα οὖν ἐκείνη ὡς ὑποστᾶσα τοιαύτην συκοφαντίαν τὴν μήτε εἰς ἔννοιαν αὐτῆς ἐλθοῦσαν, καὶ μὴ ἐνεγκοῦσα ἔβαλεν ἑαυτὴν εἰς τὸν ποταμὸν λάθρα καὶ ἐτελεύτησεν.

Οὕτως ἡ συκοφαντήσασα, γνοῦσα ὅτι ἐσυκοφάντησεν ἀπὸ πονηρίας καὶ εἰργάσατο τὸ ἄγος τοῦτο, λαβοῦσα ἀπήγξατο καὶ αὐτὴ μὴ στέξασα τὸ πρᾶγμα. Ἐλθόντι οὖν τῷ πρεσβυτέρῳ ἀνήγγειλαν τὸ πρᾶγμα αἱ λοιπαὶ ἀδελφαί· καὶ ἐκέλευσε τούτων μὲν μηδὲ μιᾶς προσφορὰν ἐπιτελεσθῆναι· τὰς δὲ μὴ εἰρηνευσάσας αὐτάς, ὡς συνειδυίας τῇ συκοφαντησάσῃ καὶ πιστευσάσας τοῖς εἰρημένοις, ἑπταετίαν ἀφώρισεν ἀκοινωνήτους ποιήσας.

## Περὶ τῆς ὑποκρινομένης μωρίαν

Ἐν τούτῳ τῷ μοναστηρίῳ ἄλλη γέγονε παρθένος ὑποκρινομένη μωρίαν καὶ δαίμονα· καὶ ἐπὶ τοσοῦτον αὐτὴν ἐβδελύξαντο ὡς μηδὲ συνεσθίειν αὐτῇ, τοῦτο ἐκείνης αἱρησαμένης. Ἀλωμένη οὖν ἀνὰ τὸ μαγειρεῖον πᾶσαν ἐποίει ὑπηρεσίαν, καὶ ἦν, τὸ δὴ λεγόμενον, σπόγγος τῆς μονῆς, ἔργῳ πληροῦσα τὸ γεγραμμένον· Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ἡμῖν ἐν τῷ αἰῶνι τούτῳ μωρὸς γενέσθω ἵνα γένηται σοφός. Αὕτη ῥάκος ἐπὶ τῆς κεφαλῆς δήσασα -αἱ γὰρ ἄλλαι πᾶσαί εἰσι κεκαρμέναι, ἔχουσαι κουκούλια- οὕτως ἦν ὑπηρετοῦσα.

Ταύτην μασωμένην οὐκ εἶδεν οὐδεμία τῶν τετρακοσίων τὰ ἔτη τῆς ζωῆς αὐτῆς· ἐπὶ τραπέζης οὐκ ἐκαθέσθη, οὐ κλάσματος μετέλαβεν ἄρτου, ἀλλὰ τὰς ψῖχας σπογγίζουσα τῶν τραπεζῶν καὶ τὰς χύτρας περιπλύνουσα τούτοις ἠρκεῖτο· μὴ ὑβρίσασά ποτέ τινα, μὴ γογγύσασα, μὴ λαλήσασα μικρὸν ἢ μέγα, καίπερ κονδυλιζομένη καὶ ὑβριζομένη καὶ καταρωμένη καὶ μυσαττομένη.

Παρέστη οὖν ἄγγελος τῷ ἁγίῳ Πιτηροῦμ ἐν τῷ Πορφυρίτῃ καθεζομένῳ ἀναχωρητῇ ἀνδρὶ δοκιμωτάτῳ, καὶ λέγει αὐτῷ· Διὰ τί μέγα φρονεῖς ἐπὶ σεαυτῷ ὡς εὐλαβής, καὶ ἐν τοιούτῳ καθεζόμενος τόπῳ; Θέλεις ἰδεῖν εὐλαβεστέραν σου γυναῖκα; Ἄπελθε εἰς τὸ μοναστήριον τῶν γυναικῶν τῶν Ταβεννησιωτῶν, καὶ ἐκεῖ εὑρήσεις μίαν διάδημα ἔχουσαν ἐπὶ τῆς κεφαλῆς· αὕτη σου ἀμείνων ἐστί.

Τοσούτῳ γὰρ ὄχλῳ πυκτεύουσα, τὴν καρδίαν αὐτῆς οὐδέποτε ἀπέστησε τοῦ θεοῦ· σὺ δὲ καθεζόμενος ὧδε, ἀνὰ τὰς πόλεις πλανᾶσαι τῇ διανοίᾳ. Καὶ ὁ μηδέποτε ἐξελθὼν ἀπῆλθεν ἕως τοῦ μοναστηρίου ἐκείνου, καὶ παρακαλεῖ τοὺς διδασκάλους εἰσελθεῖν εἰς τὸ μοναστήριον τῶν γυναικῶν. Ἐκεῖνοι ὡς ἐπίδοξον καὶ γεγηρακότα ἐθάρρησαν αὐτὸν εἰσαγαγεῖν.

Καὶ εἰσελθὼν ἐπεζήτησε πάσας ἰδεῖν. Ἐκείνη οὐ παρεφαίνετο. Τέλος λέγει αὐταῖς· Φέρετέ μοι πάσας· λείπει γὰρ καὶ ἄλλη. Λέγουσιν αὐτῷ· Μίαν ἔχομεν σαλὴν ἔνδον ἐν τῷ μαγειρείῳ· -οὕτω γὰρ καλοῦσι τὰς πασχούσας. Λέγει αὐταῖς· Ἀγάγετέ μοι κἀκείνην· ἄφετε αὐτὴν ἴδω. Ἀπῆλθον αὐτῇ φωνῆσαι· αὕτη οὐχ ὑπήκουσεν, ἴσως αἰσθομένη τοῦ πράγματος, ἢ καὶ ἀποκαλυφθεῖσα. Σύρουσι βίᾳ καὶ λέγουσιν αὐτῇ· Ὁ ἅγιος Πιτηροῦμ σε θέλει ἰδεῖν. Ἦν γὰρ ὀνομαστός.

Ἐλθούσης οὖν αὐτῆς ἐθεάσατο τὸ ῥάκος τὸ ἐπὶ τοῦ μετώπου αὐτῆς, καὶ πεσὼν εἰς τοὺς πόδας αὐτῆς λέγει αὐτῇ· Εὐλόγησόν με. Ὁμοίως κἀκείνη ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ λέγουσα· Σύ με εὐλόγησον, κύριε. Ἐξέστησαν πᾶσαι καὶ λέγουσιν αὐτῷ· Ἀββᾶ, μὴ πάσχε ὕβριν· σαλή ἐστι. Λέγει αὐταῖς πάσαις ὁ Πιτηροῦμ· Ὑμεῖς ἐστὲ σαλαί· αὕτη γὰρ καὶ ἐμοῦ καὶ ὑμῶν ἀμμᾶς ἐστίν -οὕτως γὰρ καλοῦσι τὰς πνευματικάς·- καὶ εὔχομαι ἄξιος αὐτῆς εὑρεθῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Ἀκούσασαι ταῦτα ἔπεσον αὐτοῦ εἰς τοὺς πόδας, ἐξομολογούμεναι πᾶσαι διαφόρως· ἡ μὲν ὡς τὸ ἀπόπλυμα τοῦ πίνακος ἐπιχέασα αὐτῇ· ἄλλη ὡς κονδύλοις ἐπιτριψαμένη· ἄλλη ὡς τὴν ῥῖνα αὐτῆς σιναπίσασα· καὶ ἁπλῶς πᾶσαι διαφόρους ὕβρεις ἀπήγγειλαν. Εὐξάμενος οὖν ὑπὲρ αὐτῶν ἀπῆλθε. Καὶ μεθ᾽ ἡμέρας ὀλίγας μὴ ἐνεγκοῦσα ἐκείνη τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἀδελφῶν, καὶ ταῖς ἀπολογίαις βαρυνθεῖσα, ἐξῆλθε τοῦ μοναστηρίου· καὶ ποῦ ἀπῆλθεν, ἢ ποῦ κατέδυ, ἢ πῶς ἐτελεύτησεν, ἔγνω οὐδείς.

Περὶ Ἰωάννου τοῦ ἐν Λυκῷ τῇ πόλει

Γέγονέ τις Ἰωάννης ἐν Λυκῷ τῇ πόλει, ὃς ἐν παιδίῳ μὲν ἔμαθε τὴν τεκτονικήν· ᾧ ἀδελφὸς ὑπῆρχε βαφεύς. Ἐς ὕστερον δὲ γενόμενος ὡς ἐτῶν εἰκοσιπέντε ἀπετάξατο· καὶ διατρίψας ἐν διαφόροις μοναστηρίοις πέντε ἔτη ἀνεχώρησε μόνος εἰς τὸ ὄρος τῆς Λυκώ, εἰς αὐτὴν τὴν ἀκρώρειαν ποιήσας ἑαυτῷ τρεῖς θόλους καὶ εἰσελθὼν ἀνῳκοδόμησεν ἑαυτόν. Ἦν οὖν ὁ εἷς θόλος εἰς τὰς χρείας τῆς σαρκός, καὶ ὁ εἷς ἔνθα εἰργάζετο καὶ ἤσθιε, καὶ ὁ ἄλλος ἔνθα προσηύχετο.

Οὗτος τριάκοντα πληρώσας ἔτη ἐγκεκλεισμένος καὶ διὰ θυρίδος λαμβάνων παρὰ τοῦ διακονοῦντος αὐτῷ τὰς χρείας κατηξιώθη χαρίσματος προρρήσεων. Ἐν οἷς καὶ τῷ μακαρίῳ Θεοδοσίῳ τῷ βασιλεῖ διαφόρους ἀπέστειλε προρρήσεις, περί τε Μαξίμου τοῦ τυράννου, ὅτι νικήσας αὐτὸν ὑποστρέψει τῶν Γαλλίων· ὁμοίως δὲ καὶ

περὶ Εὐγενίου τοῦ τυράννου εὐηγγελίσατο. Τούτου ἐξῆλθε φήμη πολλὴ ὡς ἐναρέτου.

Ὄντες οὖν ἡμεῖς ἐν τῇ ἐρήμῳ τῆς Νιτρίας, ἐγώ τε καὶ οἱ περὶ τὸν μακάριον Εὐάγριον, ἐζητοῦμεν μαθεῖν τὴν ἀκρίβειαν, τίς ἡ ἀρετὴ τοῦ ἀνδρός. Λέγει οὖν ὁ μακάριος Εὐάγριος· Ἡδέως ἐμάνθανον παρά του εἰδότος δοκιμάζειν νοῦν καὶ λόγον, ποταπὸς εἴη ὁ ἀνήρ· ἐὰν γὰρ ἐγὼ αὐτὸς ἰδεῖν αὐτὸν μὴ δυνηθῶ, τὰ δὲ τῆς πολιτείας αὐτοῦ ἀκοῦσαι ἀκριβῶς δυνηθῶ ἄλλου διηγουμένου, οὐκ ἀπέρχομαι ἕως τοῦ ὄρους. Ἀκούσας ἐγὼ καὶ μηδενὶ μηδὲν εἰρηκὼς ἡσύχασα μίαν ἡμέραν· τὴν δὲ ἄλλην ἀποκλείσας μου τὸ κέλλιον καὶ θεῷ παραθέμενος ἑαυτὸν καὶ αὐτὸ ἐσκύλην ἕως Θηβαΐδος.

Καὶ ἔφθασα δι᾽ ἡμερῶν δεκαοκτώ, τὰ μὲν πεζεύσας, τὰ δὲ καὶ πλεύσας ἐν τῷ ποταμῷ. Ὁ καιρὸς δὲ ἦν τῆς ἀναβάσεως, ἐν ᾧ νοσοῦσι πολλοί· ὃ δὴ καὶ ὑπέστην. Ἀπελθὼν οὖν εὗρον αὐτοῦ κεκλεισμένον τὸ προεισοδικόν· ὕστερον γὰρ προσῳκοδόμησαν οἱ ἀδελφοὶ προεισοδικὸν μέγιστον, ἐν ᾧ χωροῦσιν ἄνδρες ὡς ἑκατόν· καὶ κλειδίῳ ἀποκλείοντες κατὰ σάββατον καὶ κυριακὴν ἤνοιγον. Μαθὼν οὖν τὴν αἰτίαν δι᾽ ἣν ἐγκέκλειστο, ἡσύχασα ἕως τοῦ σαββάτου. Καὶ παραγενόμενος ὥραν δευτέραν ἐν τῇ συντυχίᾳ εὗρον αὐτὸν ἐν τῇ θυρίδι παρακαθεζόμενον, δι᾽ ἧς ἐδόκει παρακαλεῖν τοὺς παρατυγχάνοντας.

Ἀσπασάμενος οὖν με ἔλεγε δι᾽ ἑρμηνέως· Πόθεν εἶ, καὶ τί παραγέγονας; Στοχάζομαι γάρ σε τῆς συνοδίας εἶναι τῆς Εὐαγρίου. Εἶπον ὅτι Ξένος ἐκ Γαλατίας ὡρμημένος· ὡμολόγησα δὲ ὅτι καὶ τῆς ἑταιρείας Εὐαγρίου. Ἐν τῷ μεταξὺ λαλούντων ἡμῶν ἐπεισῆλθεν ὁ ἡγεμὼν τῆς χώρας, Ἀλύπιος ὀνόματι· ᾧ προσδραμὼν ἀφῆκε τὴν ἐμὴν ὁμιλίαν. Ἀναχωρήσας οὖν ὀλίγον δέδωκα αὐτοῖς τόπον ἑστὼς πόρρωθεν. Ἐπὶ πολὺ δὲ συνομιλούντων αὐτῶν ἠκηδίασα, καὶ ἀκηδιάσας κατεγόγγυσα τοῦ καλογήρου, ὡς ἐμοῦ μὲν καταφρονήσαντος τιμήσαντος δὲ ἐκεῖνον.

Καὶ ἐπὶ τούτῳ σιανθεὶς τὴν διάνοιαν ἐσκεπτόμην ἀναχωρῆσαι καταφρονήσας αὐτοῦ. Προσκαλεσάμενος δὲ τὸν ἑρμηνέα, Θεόδωρον ὀνόματι, λέγει αὐτῷ· Ἄπελθε, εἰπὲ τῷ ἀδελφῷ ἐκείνῳ· “Μὴ μικροψύχει· ἄρτι ἀπολύω τὸν ἡγεμόνα καὶ λαλῶ σοι”. Ἔδοξα οὖν ὡς πνευματικῷ αὐτῷ προσσχὼν προσκαρτερεῖν. Καὶ ἐξελθόντος τοῦ ἡγεμόνος προσκαλεῖταί με καὶ λέγει μοι· Διὰ τί ἐβλάβης κατ᾽ ἐμοῦ; Τί ἄξιον βλάβης εὗρες, ὅτι ἐκεῖνα ἐλογίσω ἅπερ οὔτε ἐμοὶ πρόσεστιν

οὔτε σοι ἔπρεπεν; Ἢ οὐκ οἶδας ὅτι γέγραπται· "Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ ἀλλ᾽ οἱ κακῶς ἔχοντες"; Σὲ ὅτε θέλω εὑρίσκω, καὶ σὺ ἐμέ. Καὶ ἐὰν μὴ ἐγώ σε παρακαλέσω, ἄλλοι σε ἀδελφοὶ παρακαλοῦσι καὶ ἄλλοι πατέρες. Οὗτος δέ ἐστιν ἐκδεδομένος τῷ διαβόλῳ διὰ τῶν κοσμικῶν πραγμάτων, καὶ βραχεῖαν ἀναπνεύσας ὥραν, ὡς δραπετεύσας οἰκέτης δεσπότην, παρεγένετο ὠφεληθῆναι· ἄτοπον οὖν ἦν καταλείψαντας αὐτὸν σοὶ προσδιατρίψαι, σοῦ ἀδιαλείπτως τῇ σωτηρίᾳ σχολάζοντος. Παρακαλέσας οὖν αὐτὸν εὔξασθαι ὑπὲρ ἐμοῦ ἐπληροφορήθην ὅτι ἀνὴρ ἦν πνευματικός.

Τότε χαριεντιζόμενος τῇ δεξιᾷ χειρὶ εἰς τὴν ἀριστεράν μου σιαγόνα ἠρέμα κοσσίσας, λέγει μοι· Πολλαί σε μένουσι θλίψεις, καὶ πολλὰ ἐπολεμήθης ἐξελθεῖν τῆς ἐρήμου· καὶ ἐδειλάνθης καὶ ὑπερέθου· Εὐλαβεῖς δέ σοι προφάσεις καὶ εὐλόγους φέρων ὁ δαίμων ἀναρριπίζει. Ὑπέθετο γάρ σοι καὶ τὴν τοῦ πατρός σου ἐπιθυμίαν, καὶ τὴν κατήχησιν τοῦ ἀδελφοῦ σου καὶ τῆς ἀδελφῆς εἰς τὸν μονήρη βίον.

Ἰδὲ οὖν σοι εὐαγγελίζομαι· Ἀμφότεροι ἐσώθησαν· ἀπετάξαντο γάρ. Καὶ ὁ πατήρ σου ζῆσαι ἔχει ἀκμὴν ἄλλα ἔτη. Ἐγκαρτέρει οὖν ἐν τῇ ἐρήμῳ, καὶ μὴ τούτων χάριν θελήσῃς ἀπελθεῖν ἐν τῇ πατρίδι σου· γέγραπται γάρ· "Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα ἐπ᾽ ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν". Ὠφεληθεὶς οὖν ἐκ τῶν ῥημάτων τούτων καὶ στυφθεὶς ἱκανῶς, ηὐχαρίστησα τῷ θεῷ τὰς ἐλαυνούσας με προφάσεις ἠνυσμένας μαθών.

Εἶτα πάλιν λέγει μοι χαριεντιζόμενος· Θέλεις ἐπίσκοπος γενέσθαι; Εἶπον αὐτῷ ὅτι Εἰμί. Καὶ λέγει μοι· Ποῦ; Εἶπον ὅτι Εἰς τὰ μαγειρεῖα, εἰς τὰ καπηλεῖα, εἰς τὰς τραπέζας, εἰς τὰ κεράμια· ἐπισκοπῶ αὐτά, καὶ ἐὰν ᾖ οἰνάριον ὄξινον ἀφορίζω αὐτό, τὸ δὲ χρηστὸν πίνω· ὁμοίως ἐπισκοπῶ καὶ τὴν χύτραν, καὶ ἐὰν λείπῃ ἅλας ἤ τι τῶν ἀρτυμάτων βάλλω καὶ ἀρτύω, καὶ οὕτως αὐτὴν ἐσθίω. Αὕτη μού ἐστιν ἡ ἐπισκοπή· ἐχειροτόνησε γάρ με ἡ γαστριμαργία.

Λέγει μοι οὗτος μειδιάσας· Ἄφες τὰ παίγνια· ἐπίσκοπος ἔχεις χειροτονηθῆναι καὶ πολλὰ καμεῖν καὶ θλιβῆναι· εἰ τοίνυν φεύγεις τὰς θλίψεις, μὴ ἐξέλθῃς τῆς ἐρήμου· ἐν γὰρ τῇ ἐρήμῳ ἐπίσκοπόν σε οὐδεὶς ἔχει χειροτονῆσαι.

Ἀναχωρήσας οὖν αὐτοῦ ἦλθον ἐπὶ τὴν ἔρημον εἰς τὸν τόπον μου τὸν συνήθη, αὐτὰ ταῦτα διηγησάμενος τοῖς μακαρίοις πατράσιν· οἵτινες μετὰ δύο μῆνας πλεύσαντες ἦλθον καὶ συνέτυχον αὐτῷ. Ἐγὼ

δὲ τῶν ῥημάτων αὐτοῦ ἐπελαθόμην. Μετὰ γὰρ τρία ἔτη ἠρρώστησα ἀρρωστίαν τὴν ἀπὸ σπληνὸς καὶ στομάχου·

ἐκεῖθεν ἀπεστάλην ἐπὶ τὴν Ἀλεξάνδρειαν παρὰ τῶν ἀδελφῶν, ὕδρωπα μελετήσας. Ἀπὸ τῆς Ἀλεξανδρείας συμβουλεύσαντες οἱ ἰατροί, τῶν ἀέρων ἕνεκεν, καταλαμβάνειν με τὴν Παλαιστίνην· ἔχει γὰρ λεπτοὺς ἀέρας, ὡς πρὸς τὴν κρᾶσιν τὴν ἡμετέραν· ἀπὸ τῆς Παλαιστίνης κατέλαβον τὴν Βιθυνίαν· καὶ ἐν ταύτῃ -οὐκ οἶδα πῶς, εἴτε ἐξ ἀνθρωπίνης σπουδῆς, εἴτε ἐξ εὐδοκίας τοῦ κρείττονος· θεὸς ἂν εἰδείη- κατηξιώθην τῆς ὑπὲρ ἐμὲ χειροτονίας κοινωνήσας τῇ περιστάσει τῇ κατὰ τὸν μακάριον Ἰωάννην·

καὶ ἐπὶ ἕνδεκα μῆνας ἐν ζοφερῷ κελλίῳ κρυπτόμενος ἐμνήσθην τοῦ μακαρίου ἐκείνου, ὅτι ταῦτά μοι προειρήκει ἅπερ ὑπέστην. Καὶ τοῦτο δέ μοι διηγεῖτο ὡς ὀφείλων με διὰ τοῦ διηγήματος ἀγαγεῖν εἰς ὑπομονὴν τῆς ἐρήμου, ὅτι Τεσσαρακονταοκτὼ ἔτη ἔχω ἐν τῇ κέλλῃ ταύτῃ· οὐ γυναικὸς πρόσωπον εἶδον, οὐ νομίσματος ἰδέαν· οὐ μασώμενόν τινα εἶδον· οὐκ ἐσθίοντα, οὐ πίνοντά με εἶδέ τις.

Οὗτος καὶ τῇ δούλῃ τοῦ θεοῦ Ποιμενίῃ παραβαλούσῃ ἱστορίας χάριν οὐ συντετύχηκε μέν, ἐδήλωσε δὲ αὐτῇ τινὰ καὶ τῶν ἀπορρήτων. Παρήγγειλε δὲ αὐτῇ κατερχομένῃ ἀπὸ Θηβαΐδος μὴ ἐκνεῦσαι εἰς τὴν Ἀλεξάνδρειαν, Ἐπεὶ πειρασμοῖς ἔχεις περιπεσεῖν. Ἡ δὲ παραλογισαμένη ἢ ἐπιλαθομένη ἐξένευσεν ἐπὶ τὴν Ἀλεξάνδρειαν ἱστορῆσαι τὴν πόλιν. Κατὰ δὲ τὴν ὁδὸν πλησίον Νικίους τῆς πόλεως παρέβαλεν αὐτῆς τὰ πλοῖα ἀναπαύσεως χάριν.

Ἐξελθόντες οὖν οἱ παῖδες ἐξ ἀταξίας τινὸς συνέβαλον μάχην μετὰ τῶν ἐπιχωρίων, ἀνδρῶν ἀπονενοημένων· οἵτινες ἑνὸς μὲν εὐνούχου δάκτυλον ἦραν, ἄλλον δὲ ἐφόνευσαν, Διονύσιον δὲ τὸν ἁγιώτατον ἐπίσκοπον καὶ εἰς τὸν ποταμὸν ἔβαψαν ἀγνοήσαντες, κἀκείνην αὐτὴν λοιδορίαις καὶ ἀπειλαῖς συνέτριψαν, τοὺς λοιποὺς πάντας τραυματίσαντες παῖδας.

Περὶ Ποσειδωνίου

Τὰ κατὰ Ποσειδώνιον τὸν Θηβαῖον πολλὰ μὲν καὶ δυσδιήγητα, πῶς τε ἦν πραΰς καὶ ὅπως ἀσκητικώτατος, καὶ πόσην τινὰ εἶχεν ἐν ἑαυτῷ τὴν ἀκακίαν, οὐκ οἶδα εἰ συντετύχηκά τινι. Συνέζησα γὰρ τούτῳ ἐπὶ ἔτος ἓν ἐν Βηθλεὲμ ὁπηνίκα ἐκαθέσθη ἐπέκεινα τοῦ Ποιμενίου, καὶ πολλὰς αὐτοῦ κατεῖδον ἀρετάς·

ἐν οἷς μοι αὐτὸς διηγεῖτο μιᾶς τῶν ἡμερῶν ὅτιπερ Εἰς τὸν Πορφυρίτην τόπον οἰκήσας ἔτος ἓν ἀνθρώπῳ οὐ συντετύχηκα ὅλῳ τῷ

ἔτει, οὐχ ὁμιλίας ἀκήκοα, οὐκ ἄρτου ἡψάμην· ἀλλ᾽ ἢ βραχέσι φοινικίοις διεγενόμην καὶ εἴ που βοτάνας εὗρον ἀγρίας. Ἐν οἷς ποτὲ ἐκλειπόντων μου τῶν βρωμάτων, ἐξῆλθον τοῦ σπηλαίου ἐπὶ τὸ ἐλθεῖν εἰς τὴν οἰκουμένην.

Καὶ περιπατήσας διὰ πάσης τῆς ἡμέρας μόλις ἀπέσχον τοῦ σπηλαίου σημεῖα δύο. Περιβλεψάμενος οὖν ὁρῶ ἱππέα στρατιώτου ἔχοντα σχῆμα, τιαρηφόρον κράνος ἔχοντα ἐπὶ τῆς κεφαλῆς· καὶ προσδοκήσας αὐτὸν εἶναι στρατιώτην ὥρμησα ἕως τοῦ σπηλαίου, καὶ εὗρον κάρταλον σταφυλῶν καὶ συκῶν νεαροτμήτων· ὃν λαβὼν καὶ περιχαρὴς γενόμενος εἰσῆλθον εἰς τὸ σπήλαιον, ἐπὶ μῆνας δύο ἔχων ἐκεῖνα τὰ βρώματα παραμυθίαν.

Τοῦτο δὲ πεποίηκε τὸ θαῦμα ἐν Βηθλεέμ· γυνή τις ἐγκύμων πνεῦμα εἶχεν ἀκάθαρτον, καὶ ἐν αὐτῷ τῷ μέλλειν γεννᾶν ἐδυστόκει, τοῦ πνεύματος συντρίβοντος αὐτήν. Τῆς γυναικὸς οὖν δαιμονιζομένης ὁ ἀνὴρ αὐτῆς ἐπέστη καὶ παρεκάλει τὸν ἅγιον ἐκεῖνον παραγενέσθαι. Εἰσελθόντων οὖν ἡμῶν ἅμα εὔξασθαι, στὰς καὶ προσευξάμενος μετὰ δευτέραν γονυκλισίαν ἐξέβαλε τὸ πνεῦμα.

Ἀναστὰς οὖν λέγει ἡμῖν· Εὔξασθε, ἄρτι γὰρ ἐξελαύνει τὸ πνεῦμα τὸ ἀκάθαρτον· σημεῖον δέ τι ἔχει ὑπάρξαι ἵνα πληροφορηθῶμεν. Ἐξερχόμενος οὖν ὁ δαίμων ἀπὸ θεμελίου τὸν τοῖχον τῆς αὐλῆς ὅλον ἔβαλε κάτω. Ἦν δὲ τὸ γύναιον ἑξαετίαν μὴ λαλῆσαν· μετὰ οὖν τὸ ἐξελθεῖν τὸν δαίμονα ἔτεκε καὶ ἐλάλησεν.

Τοῦ ἀνδρὸς τούτου καὶ προφητείαν ἔγνων ταύτην· Ἱερώνυμός τις πρεσβύτερος ᾤκει εἰς τοὺς τόπους ἐκείνους, ἀρετῇ λόγων ῥωμαϊκῶν κεκοσμημένος καὶ εὐφυΐᾳ· τοσαύτην δὲ εἶχε βασκανίαν ὡς ὑπὸ ταύτης καλύπτεσθαι τῶν λόγων τὴν ἀρετήν. Συγχρονίσας οὖν αὐτῷ ὁ Ποσειδώνιος ἡμέρας πλείους λέγει μοι πρὸς τὸ οὖς ὅτι Ἡ μὲν ἐλευθέρα Παῦλα, ἡ φροντίζουσα αὐτοῦ, προτελευτήσει, ἀπαλλαγεῖσα αὐτοῦ τῆς βασκανίας, ὡς οἶμαι.

Χάριν δὲ τούτου τοῦ ἀνδρὸς οὐ μὴ οἰκήσει ἅγιος ἀνὴρ εἰς τοὺς τόπους τούτους, ἀλλὰ φθάσει αὐτοῦ ὁ φθόνος καὶ μέχρι τοῦ ἰδίου ἀδελφοῦ. Ἐν οἷς καὶ συνέβη τὸ πρᾶγμα. Καὶ γὰρ καὶ Ὀξυπερέντιον τὸν μακάριον ἤλασε τὸν Ἰταλόν, καὶ Πέτρον ἄλλον τινὰ Αἰγύπτιον, καὶ Συμεῶνα, θαυμασίους ἄνδρας, οὓς τέως ἐγὼ ἐπεσημηνάμην. Οὗτός μοι διηγεῖτο ὁ Ποσειδώνιος ὡς ἄρτου πεῖραν μὴ ἔχων ἀπὸ ἔτους τεσσαρακοστοῦ, μήτε μὴν μνησικακήσας τινὶ μέχρι ἡμισείας ἡμέρας.

Περὶ Σαραπίωνος

Ἄλλος Σαραπίων τις γέγονεν, ἐπεκέκλητο δὲ σινδόνιος, παρεκτὸς γὰρ σινδονίου οὐδέποτε οὐδὲν περιεβάλλετο· ὃς πολλὴν ἐξήσκησεν ἀκτημοσύνην, εὐγράμματος δὲ ὢν ἀπεστήθιζε πάσας τὰς γραφάς· καὶ ἀπὸ πολλῆς ἀκτημοσύνης καὶ μελέτης γραφῶν οὐδὲ ἠρεμῆσαι ἴσχυσεν ἐν κελλίῳ, μὴ περισπώμενος ὕλῃ, ἀλλὰ περιερχόμενος τὴν οἰκουμένην ταύτην κατώρθωσε τὴν ἀρετήν· ταύτης γὰρ ἐγεγόνει καὶ τῆς φύσεως· διαφοραὶ γάρ εἰσιν φύσεων, οὐκ οὐσιῶν.

Διηγοῦντο οὖν οἱ πατέρες ὅτι λαβών τινα συμπαίκτην ἀσκητὴν πέπρακεν ἑαυτὸν μίμοις Ἕλλησιν ἐν πόλει τινὶ εἴκοσι νομισμάτων. Καὶ σφραγίσας τὰ νομίσματα ἐφύλαττε παρ᾽ ἑαυτῷ. Ἐπὶ τοσοῦτον οὖν παρέμεινε καὶ ἐδούλευσε τοῖς ἀγοράσασιν αὐτὸν μίμοις μέχρις οὗ καὶ χριστιανοὺς αὐτοὺς ἐποίησε καὶ τοῦ θεάτρου ἀπέστησε, παρεκτὸς ἄρτου καὶ ὕδατος οὐδενὸς λαμβάνων, οὐδὲ ἡσυχάζων τῷ στόματι ἀπὸ μελέτης γραφῶν.

Τῷ μακρῷ χρόνῳ πρῶτος κατενύγη ὁ ἀνήρ, εἶτα ἡ μιμάς, εἶτα ὁ σύμπας οἶκος αὐτῶν. Ἐλέγετο δὲ ὅτι εἰς ὅσον αὐτὸν ἠγνόουν ἀμφοτέρων ἔνιπτε τοὺς πόδας. Ἀμφότεροι οὖν βαπτισθέντες ἀπέστησαν τοῦ θεατρίζειν, καὶ ἐπὶ τὸν σεμνὸν καὶ θεοσεβῆ ἐλάσαντες βίον σφόδρα ᾐδοῦντο τὸν ἄνδρα καὶ λέγουσιν αὐτῷ· Δεῦρο, ἄδελφε, ἐλευθερώσωμέν σε, ἐπειδὴ αἰσχρᾶς ἡμᾶς δουλείας ἠλευθέρωσας αὐτός. Λέγει αὐτοῖς· Ἐπειδὴ ἐνήργησεν ὁ θεὸς καὶ ἐσώθη ὑμῶν ἡ ψυχή, εἴπω ὑμῖν τὸ μυστήριον τοῦ δράματος·

ἐγὼ κατοικτειρήσας ὑμῶν τὴν ψυχήν, ἐλεύθερος ὢν ἀσκητὴς τῷ γένει Αἰγύπτιος, τούτου χάριν πέπρακα ἐμαυτὸν ἵνα σώσω ὑμᾶς. Ἐπειδὴ δὲ τοῦτο πεποίηκεν ὁ θεὸς καὶ ἐσώθη ὑμῶν ἡ ψυχὴ διὰ τῆς ἐμῆς ταπεινώσεως, λάβετε ὑμῶν τὸν χρυσὸν ἵνα ἀπέλθω καὶ ἄλλοις βοηθήσω. Οἱ δὲ πολλὰ παρακαλέσαντες αὐτὸν καὶ διαβεβαιωσάμενοι ὅτι Ὡς πατέρα σε ἕξομεν καὶ δεσπότην, μόνον μεῖνον μεθ᾽ ἡμῶν· οὐκ ἴσχυσαν αὐτὸν πεῖσαι. Τότε λέγουσιν αὐτῷ· Δὸς τὸ χρυσίον πτωχοῖς, ἀρραβὼν γὰρ ἡμῖν γέγονε σωτηρίας· ἀλλὰ κἂν δι᾽ ἐνιαυτοῦ ἡμᾶς ὅρα.

Οὗτος ταῖς συνεχέσιν ἀποδημίαις κατήντησεν εἰς Ἑλλάδα, καὶ διατρίψας τριῶν ἡμερῶν ἐν Ἀθήναις οὐκ ἠξιώθη παρά τινος ἄρτου· οὔτε γὰρ κέρμα ἐβάσταζεν, οὐ πήραν, οὐ μηλωτήν, οὐδὲν τῶν τοιούτων. Τετάρτης οὖν ἐπιλαβομένης ἡμέρας σφόδρα ἐπείνασε· δεινὴ γὰρ ἡ ἀκούσιος πεῖνα, συνήγορον ἔχουσα τὴν ἀπιστίαν. Καὶ στὰς ἐπὶ γεωλόφου τῆς πόλεως, ἔνθα οἱ ἐν τέλει ἦσαν

συναθροιζόμενοι τῆς πόλεως, ἤρξατο ἀποδύρεσθαι βίαν μετὰ κρότου χειρῶν καὶ κράζειν· Ἄνδρες Ἀθηναῖοι, βοηθεῖτε.

Καὶ προσδραμόντες ἅπαντες, τριβωνοφόροι τε καὶ βιρροφόροι, λέγουσιν αὐτῷ· Τί ἔχεις; Καὶ πόθεν εἶ; Καὶ τί πάσχεις; Λέγει αὐτοῖς· Τῷ μὲν γένει εἰμὶ Αἰγύπτιος· ἀφ᾽ οὗ δὲ τῆς ἀληθινῆς μου πατρίδος ἀπέστην τρισὶ δανεισταῖς περιέπεσα· καὶ οἱ μὲν δύο μου ἀπηλλάγησαν πληρωθέντες τὸ χρέος, οὐκ ἔχοντες ὃ ἐγκαλέσουσιν· ὁ δὲ εἷς μου οὐκ ἀπαλλάττεται. Φιλοπραγμονοῦντες οὖν ἐκεῖνοι τοὺς δανειστὰς ἵνα αὐτοὺς πληροφήσωσιν, ἠρώτων αὐτόν· Ποῦ εἰσί, καὶ τίνες εἰσί; Τίς ἐστιν ὁ ὀχλῶν σοι; δεῖξον ἡμῖν αὐτὸν ἵνα σοι βοηθήσωμεν.

Τότε λέγει αὐτοῖς· Ὤχλησάν μοι ἐκ νεότητος φιλαργυρία καὶ γαστριμαργία καὶ πορνεία· τῶν δύο ἀπηλλάγην, φιλαργυρίας καὶ πορνείας· οὐκέτι μοι ὀχλοῦσι· γαστριμαργίας δὲ ἀπαλλαγῆναι οὐ δύναμαι. Τετάρτην γὰρ ἔχω ἡμέραν μὴ φαγών, καὶ παραμένει μοι ὀχλοῦσα ἡ γαστὴρ καὶ ζητοῦσα τὸ σύνηθες χρέος οὗ ἄνευ ζῆσαι οὐ δύναμαι. Τότε τινὲς τῶν φιλοσόφων ὑπονοήσαντες εἶναι αὐτὸ σκηνήν, διδόασιν αὐτῷ νόμισμα· καὶ δεξάμενος ἔθηκεν ἐν ἀρτοπωλείῳ, καὶ λαβὼν ἕνα ἄρτον ἀνεχώρησε παραχρῆμα ὁδεύσας τῆς πόλεως καὶ μηκέτι ὑποστρέψας εἰς αὐτήν.

Τότε ἔγνωσαν οἱ φιλόσοφοι ὅτι ἀληθῶς ἐνάρετος ἦν, καὶ δόντες τῷ ἀρτοπώλῃ τὴν τιμὴν τοῦ ἄρτου ἔλαβον τὸ νόμισμα. Ἐλθὼν δὲ εἰς τοὺς περὶ Λακεδαίμονας τόπους ἤκουσέ τινα τῶν πρώτων τῆς πόλεως Μανιχαῖον εἶναι ἅμα παντὶ τῷ οἴκῳ αὐτοῦ, ἐνάρετον ὄντα τὰ ἄλλα. Τούτῳ πάλιν πέπρακεν ἑαυτὸν κατὰ τὸ πρῶτον δρᾶμα· καὶ ἐντὸς δύο ἐτῶν ἀποστήσας αὐτὸν τῆς αἱρέσεως καὶ τὴν τούτου ἐλευθέραν προσήγαγε τῇ ἐκκλησίᾳ. Τότε αὐτὸν ἀγαπήσαντες οὐκέτι ὡς οἰκέτην ἀλλ᾽ ὡς γνήσιον ἀδελφὸν ἢ πατέρα εἶχον καὶ ἐδόξαζον τὸν θεόν.

Οὗτος ἔβαλεν ἑαυτόν ποτε εἰς πλοῖον ὡς ὀφείλοντα πλεῦσαι ἐπὶ τὴν Ρώμην· οἱ ναυτικοὶ ὑπονοήσαντες ὅτι ἢ δαπάνας εἰσήνεγκεν ἢ ἐν χρυσῷ κέκτηται τὰ ἀναλώματα, ἀπεριέργως αὐτὸν ἐδέξαντο, ἄλλος ἄλλον νομίσαντες εἰληφέναι αὐτοῦ τὰ σκεύη. Ἐν τῷ ἀποπλεῦσαι αὐτοὺς καὶ γενέσθαι ἀπὸ σταδίων πεντακοσίων Ἀλεξανδρείας ἤρξαντο οἱ ἐπιβάται περὶ δυσμὰς ἡλίου ἐσθίειν, τῶν ναυτικῶν προφαγόντων.

Εἶδον οὖν αὐτὸν ὅτι οὐκ ἐσθίει τὴν πρώτην ἡμέραν, καὶ προσεδόκησαν διὰ τὸν πλοῦν· ὁμοίως καὶ τὴν δευτέραν, καὶ τὴν

τρίτην, καὶ τὴν τετάρτην. Τῇ πέμπτῃ ἡμέρᾳ βλέπουσιν αὐτὸν καθεζόμενον ἡσυχῇ ἐν τῷ πάντας ἐσθίειν, καὶ λέγουσιν αὐτῷ· Διὰ τί οὐκ ἐσθίεις, ἄνθρωπε; Λέγει αὐτοῖς· Ὅτι οὐκ ἔχω. Περιειργάσαντο οὖν πρὸς ἀλλήλους· Τίς αὐτοῦ ἔλαβε τὰ σκεύη ἢ τὰ ἀναλώματα; Καὶ ὡς εὗρον ὅτι οὐδείς, ἤρξαντο διαμάχεσθαι αὐτῷ καὶ λέγειν· Πῶς εἰσῆλθες ἄνευ ἀναλωμάτων; Πόθεν ἡμῖν ἔχεις δοῦναι τὸ ναῦλον; Ἢ πόθεν ἔχεις τραφῆναι; Λέγει αὐτοῖς· Ἐγὼ πρᾶγμα οὐκ ἔχω· ἀπενέγκατέ με καὶ ῥίψατε ὅπου με εὕρατε. Ἐκεῖνοι δὲ οὐδὲ ἑκατὸν χρυσίνων ἡδέως ἂν ἔλυον, ἀλλ᾽ ἤνυον τὸν σκοπὸν αὐτῶν. Οὕτως οὖν ἦν ἐν τῷ πλοίῳ καὶ εὑρέθησαν τρέφοντες αὐτὸν ἕως Ῥώμης.

Ἐλθὼν οὖν ἐν τῇ Ῥώμῃ περιειργάζετο τίς εἴη μέγας ἀσκητὴς ἢ ἀσκήτρια ἐν τῇ πόλει. Ἐν οἷς περιέτυχε καὶ Δομνίνῳ τινὶ μαθητῇ Ὠριγένους, οὗ ἡ κλίνη μετὰ θάνατον νοσοῦντας ἰάσατο. Περιτυχὼν οὖν αὐτῷ καὶ ὠφεληθεὶς παρ᾽ αὐτοῦ, ἀνὴρ γὰρ ἦν τετορνευμένος ἔν τε ἤθει καὶ γνώσει, μαθὼν παρ᾽ αὐτοῦ τίς ἄλλος εἴη, ἀσκητὴς ἢ ἀσκήτρια, ἔγνω περὶ ἡσυχαζούσης τινὸς παρθένου ἥτις οὐδενὶ συνετύγχανε.

Καὶ μαθὼν ποῦ μένει ἀπῆλθε καὶ λέγει τῇ ὑπηρετούσῃ αὐτῇ γραΐδι· Εἶπον τῇ παρθένῳ ὅτι “Ἀναγκαίως σοι ἔχω συντυχεῖν, ὁ θεὸς γάρ με ἀπέστειλε”. Παραμείνας οὖν δύο ἢ τρεῖς ἡμέρας ὕστερον αὐτῇ συνέτυχε καὶ λέγει αὐτῇ· Τί καθέζῃ; Λέγει αὐτῷ· Οὐ καθέζομαι ἀλλὰ ὁδεύω. Λέγει αὐτῇ· Ποῦ ὁδεύεις; Λέγει αὐτῷ· Πρὸς τὸν θεόν. Λέγει αὐτῇ· Ζῇς ἢ ἀπέθανες; Λέγει αὐτῷ· Πιστεύω εἰς τὸν θεὸν ὅτι ἀπέθανον· ζῶν γὰρ σαρκί τις οὐ μὴ ὁδεύσῃ. Λέγει αὐτῇ· Οὐκοῦν ἵνα με πληροφορήσῃς ὅτι ἀπέθανες ποίησον ὃ ποιῶ. Λέγει αὐτῷ· Δυνατά μοι ἐπίταξον καὶ ποιῶ.

Ἀπεκρίνατο αὐτῇ· Νεκρῷ πάντα ἐστὶ δυνατά, παρεκτὸς τοῦ ἀσεβῆσαι. Τότε λέγει αὐτῇ· Ἔξελθε καὶ πρόελθε. Ἀπεκρίνατο αὐτῷ ἐκείνη· Εἰκοστὸν πέμπτον ἔτος ἔχω καὶ οὐ προῆλθον· καὶ ἵνα τί προέλθω; Λέγει αὐτῇ· Εἰ ἀπέθανες τῷ κόσμῳ καί σοι ὁ κόσμος, ταὐτόν σοί ἐστι καὶ προελθεῖν καὶ μὴ προελθεῖν· πρόελθε οὖν. Προῆλθε· καὶ μετὰ τὸ προελθεῖν αὐτὴν ἔξω καὶ ἐλθεῖν ἕως ἐκκλησίας τινὸς λέγει αὐτῇ ἐν τῇ ἐκκλησίᾳ· Οὐκοῦν εἰ θέλεις με πληροφορῆσαι ὅτι ἀπέθανες καὶ οὐκέτι ζῇς ἀνθρώποις ἀρέσκουσα, ποίησον ὃ ποιῶ, καὶ οἶδα ὅτι ἀπέθανες.

Ἐκδυσαμένη κατ᾽ ἐμὲ πάντα σου τὰ ἱμάτια ἐπὶ τῶν ὤμων θὲς καὶ πάρελθε μέσην τὴν πόλιν ἐμοῦ προλαμβάνοντος τῷ σχήματι τούτῳ.

Λέγει αὐτῷ ἐκείνη· Σκανδαλίζω πολλοὺς ἐπὶ τῷ ἀσχήμῳ τοῦ πράγματος, καὶ ἔχουσι λέγειν ὅτι Ἐξέστη καὶ δαιμονιῶσά ἐστιν. Ἀπεκρίθη αὐτῇ· Καί σοι τί μέλει ἐὰν εἴπωσιν ὅτι Ἐξέστη καὶ δαιμονιῶσά ἐστι; Σὺ γὰρ αὐτοῖς ἀπέθανες. Τότε λέγει αὐτῷ ἐκείνη· Εἴ τι ἄλλο θέλεις ποιῶ· εἰς τοῦτο γὰρ τὸ μέτρον οὐδὲ εὔχομαι ἐλθεῖν.

Τότε λέγει αὐτῇ· Ἴδε οὖν μηκέτι μέγα φρόνει ἐπὶ σεαυτῇ ὡς πάντων εὐλαβεστέρα καὶ ἀποθανοῦσα τῷ κόσμῳ· ἐγὼ γάρ σου νεκρότερός εἰμι, καὶ ἔργῳ δείκνυμι ὅτι ἀπέθανον τῷ κόσμῳ· ἀπαθῶς γὰρ καὶ ἀνεπαισχύντως τοῦτο ποιῶ. Τότε καταλείψας αὐτὴν ἐν ταπεινοφροσύνῃ καὶ κλάσας αὐτῆς τὸν τῦφον ἀνεχώρησε.

Πολλὰ δέ ἐστι καὶ ἄλλα ἃ πεποίηκε θαυμαστὰ πράγματα τὰ συντείνοντα εἰς ἀπάθειαν. Οὗτος τελευτᾷ ἑξηκοστὸν ἄγων ἔτος τῆς ἡλικίας, ἐν αὐτῇ τῇ Ῥώμῃ ταφείς.

Περὶ Εὐαγρίου

Τὰ κατὰ Εὐάγριον τὸν ἀοίδιμον διάκονον, ἄνδρα βεβιωκότα κατὰ τοὺς ἀποστόλους, οὐ δίκαιον ἡσυχάσαι, ἀλλὰ ταῦτα γραφῇ παραδοῦναι εἰς οἰκοδομὴν τῶν ἐντυγχανόντων καὶ δόξαν τῆς ἀγαθότητος τοῦ σωτῆρος ἡμῶν, ἄξιον ἡγησάμενος ἄνωθεν ἐκτιθέναι, πῶς τε ἦλθεν ἐπὶ τὸν σκοπόν, καὶ ὅπως αὐτὸν ἐξασκήσας ἀξίως τελευτᾷ πεντήκοντα τεσσάρων ἐτῶν ἐν τῇ ἐρήμῳ, κατὰ τὸ γεγραμμένον· Ἐν ὀλίγῳ χρόνῳ ἐπλήρωσεν ἔτη πολλά.

Οὗτος τῷ μὲν γένει ἦν Ποντικὸς πόλεως Ἰβορῶν, υἱὸς χωρεπισκόπου· ἀναγνώστης κεχειροτόνηται παρὰ τοῦ ἁγίου Βασιλείου τοῦ ἐπισκόπου τῆς ἐκκλησίας Καισαρέων. Μετὰ οὖν τὸν θάνατον τοῦ ἁγίου Βασιλείου προσσχὼν αὐτοῦ τῇ ἐπιτηδειότητι ὁ σοφώτατος καὶ ἀπαθέστατος καὶ παιδείᾳ διαλάμπων Γρηγόριος ὁ Ναζιανζηνὸς ἐπίσκοπος προχειρίζεται διάκονον. Ἐκεῖθεν ἐν τῇ μεγάλῃ συνόδῳ τῇ κατὰ Κωνσταντινούπολιν καταλιμπάνει αὐτὸν τῷ μακαρίῳ Νεκταρίῳ τῷ ἐπισκόπῳ διαλεκτικώτατον ὄντα κατὰ πασῶν τῶν αἱρέσεων. Ἤνθει δὲ ἐν τῇ μεγάλῃ πόλει λόγοις νεανιευόμενος κατὰ πάσης αἱρέσεως.

Συνέβη οὖν τοῦτον σφοδρῶς παρὰ πάσης τῆς πόλεως τιμώμενον, εἰδώλῳ περιπαγῆναι γυναικικῆς ἐπιθυμίας, ὡς αὐτὸς ἡμῖν διηγήσατο, ὕστερον ἐλευθερωθεὶς τὸ φρονοῦν. Ἀντηράσθη τούτου πάλιν τὸ γύναιον· ἦν δὲ τῶν μεγιστάνων. Ὁ οὖν Εὐάγριος τὸν θεὸν φοβούμενος καὶ τὸ ἑαυτοῦ αἰδούμενος συνειδός, καὶ πρὸ ὀφθαλμῶν θέμενος τὸ μέγεθος τῆς αἰσχημοσύνης καὶ τὸ ἐπιχαιρεσίκακον τῶν

αἱρέσεων, ηὔξατο τὸν θεὸν ἱκετεύων ὅπως παρ᾽ αὐτοῦ ἐμποδισθῇ. Τῆς οὖν γυναικὸς ἐπικειμένης καὶ λυττώσης θέλων ἀναχωρῆσαι οὐκ ἴσχυε, δεσμοῖς τῆς θεραπείας ταύτης κατεχόμενος.

Μετ᾽ οὐ πολὺ δὲ τῆς εὐχῆς αὐτοῦ προκοψάσης πρὸ τῆς τοῦ πράγματος πείρας, ἐπέστη αὐτῷ ἀγγελικὴ ὀπτασία ἐν σχήματι στρατιωτῶν τοῦ ὑνάρχου, καὶ ἁρπάζει αὐτὸν καὶ ἄγει ὡς ἐν δικαστηρίῳ καὶ βάλλει αὐτὸν εἰς τὴν λεγομένην κουστωδίαν, κλοιοῖς σιδηροῖς καὶ ἁλύσεσιν αὐχένα καὶ χεῖρας καταδησάντων, τῶν ἐπ᾽ αὐτὸν ἐλθόντων δῆθεν τὴν αἰτίαν οὐ λεγόντων. Αὐτὸς δὲ τῇ συνειδήσει ᾔδει ὅτι χάριν ταύτης ὑφίσταται ταῦτα, προσδοκήσας τὸν ἄνδρα αὐτῆς ἐντετυχηκέναι.

Ἐν τῷ οὖν λίαν αὐτὸν ἀγωνιᾶν ἄλλης δίκης πραττομένης καὶ βασανιζομένων ἑτέρων ἐπὶ ἐγκλήματι, ἔμενε σφόδρα ἀγωνιῶν. Μετασχηματίζεται δὲ ὁ ἄγγελος ὁ τὴν ὀπτασίαν παρασχὼν εἰς παρουσίαν γνησίου φίλου, καὶ λέγει αὐτῷ δεδεμένῳ μεταξὺ σειρᾶς τεσσαράκοντα καταδίκων· Τίνος ἕνεκεν κατέχῃ ἐνταῦθα, κῦρι διάκονε; Λέγει αὐτῷ· Κατὰ μὲν ἀλήθειαν οὐκ ἐπίσταμαι, ὑπόνοια δέ με ἔχει ὅτι ὁ δεῖνα ὁ ἀπὸ ὑπάρχων ἐνέτυχε κατ᾽ ἐμοῦ ἀλόγῳ ζηλοτυπίᾳ πληγείς· καὶ δέδοικα μήποτε χρήμασιν ὁ ἄρχων διαφθαρεὶς τιμωρίᾳ με ὑποβάλλῃ.

Λέγει αὐτῷ· Εἰ ἀκούεις τοῦ φίλου σου, οὐ συμφέρει σοι ἐν τῇ πόλει ταύτῃ διάγειν. Λέγει αὐτῷ ὁ Εὐάγριος· Ἐὰν ὁ θεός με ταύτης τῆς συμφορᾶς ἀπαλλάξῃ καὶ ἴδῃς με ἐν Κωνσταντινουπόλει, γνῶθι ὅτι εὐλόγως ὑφίσταμαι ταύτην τὴν τιμωρίαν. Λέγει αὐτῷ ἐκεῖνος· Φέρω τὸ εὐαγγέλιον καὶ ὄμοσόν μοι ἐν αὐτῷ ὅτι ἀναχωρεῖς τῆς πόλεως ταύτης καὶ φροντίζεις σου τῆς ψυχῆς, καὶ ἀπαλλάττω σε τῆς ἀνάγκης ταύτης.

Ἤνεγκεν οὖν τὸ εὐαγγέλιον καὶ ὤμοσεν αὐτῷ κατὰ τοῦ εὐαγγελίου ὅτι Παρεκτὸς μιᾶς ἡμέρας, ἵνα φθάσω ἐμβαλεῖν εἰς τὸ πλοῖον τὰ ἱμάτιά μου, οὐ μὴ παραμείνω. Τοῦ ὅρκου οὖν προχωρήσαντος ἐπανῆλθεν ἀπὸ τῆς ἐκστάσεως τῆς γενομένης αὐτῷ ἐν τῇ νυκτί· καὶ ἀναστὰς ἐλογίσατο ὅτι Εἰ καὶ ἐν ἐκστάσει γέγονεν ὁ ὅρκος ἀλλ᾽ ὅμως ὤμοσα. Βαλὼν οὖν πάντα τὰ αὐτοῦ εἰς πλοῖον ἔρχεται εἰς Ἱεροσόλυμα.

Κἀκεῖ δεξιοῦται παρὰ τῆς μακαρίας Μελανίου τῆς Ρωμαίας. Πάλιν δὲ τοῦ διαβόλου σκληρύναντος αὐτοῦ τὴν καρδίαν καθάπερ τοῦ Φαραώ, ὡς νέῳ καὶ σφριγῶντι τὴν ἡλικίαν γέγονεν ἐνδυασμός τις καὶ

ἐδιψύχησε μηδενὶ μηδὲν εἰρηκώς, κἀκεῖσε πάλιν ἐξαλλάσσων τοῖς ἱματίοις καὶ ἐν τῇ διαλέκτῳ ἐκάρου αὐτὸν ἡ κενοδοξία. Ὁ δὲ ἐμποδιστὴς τῆς πάντων ἡμῶν ἀπωλείας θεὸς ἐνέβαλεν αὐτὸν εἰς περίστασιν πυρετοῦ, κἀκεῖθεν εἰς νόσον μακρὰν ἑξαμηνιαίῳ χρόνῳ ταριχεύσας αὐτοῦ τὸ σαρκίον, δι᾽ οὗ ἐνεποδίζετο.

Τῶν ἰατρῶν δὲ ἀπορούντων καὶ τρόπον θεραπείας μὴ εὑρισκόντων, λέγει αὐτῷ ἡ μακαρία Μελάνιον· Οὐκ ἀρέσκει μοι, υἱέ, ἡ σὴ μακρονοσία. Εἰπὲ οὖν μοι τὰ ἐν τῇ διανοίᾳ σου. Οὐκ ἔστι γὰρ ἀθεής σου ἡ νόσος αὕτη. Τότε ὡμολόγησεν αὐτῇ τὸ πρᾶγμα σύμπαν. Ἡ δὲ λέγει αὐτῷ· Δός μοι λόγον ἐπὶ κυρίου, ὅτι ἔχῃ τοῦ σκοποῦ τοῦ μονήρους βίου· καὶ εἰ καὶ ἁμαρτωλὴ τυγχάνω, προσεύχομαι ἵνα δοθῇ σοι κομίατος ζωῆς. Ὁ δὲ συνέθετο. Ἐντὸς οὖν ὀλίγων ἡμερῶν ὑγίανε· καὶ ἀναστὰς παρ᾽ αὐτῆς ἐκείνης μετημφιάσθη, καὶ ἐξέρχεται ἐκδημήσας εἰς τὸ ὄρος τῆς Νιτρίας τὸ ἐν Αἰγύπτῳ.

Ἐν ᾧ οἰκήσας δεύτερον ἔτος τὸ τρίτον εἰσβάλλει εἰς τὴν ἔρημον. Ζήσας οὖν δεκατέσσαρα ἔτη ἐν τοῖς λεγομένοις Κελλίοις ἤσθιε μὲν λίτραν ἄρτου, ἐν τριμηνιαίῳ δὲ ξέστην ἐλαίου, ἀνὴρ ἀπὸ ἁβροτάτου καὶ τρυφηλοῦ βίου καὶ ὑγροτάτου ἠγμένος. Ἐποίει δὲ εὐχὰς ἑκατόν, γράφων τοῦ ἔτους τὴν τιμὴν μόνον ὧν ἤσθιεν· εὐφυῶς γὰρ ἔγραφε τὸν ὀξύρυγχον χαρακτῆρα. Ἐντὸς οὖν δεκαπέντε ἐτῶν καθαρεύσας εἰς ἄκρον τὸν νοῦν κατηξιώθη χαρίσματος γνώσεως καὶ σοφίας καὶ διακρίσεως πνευμάτων. Συντάττει οὖν οὗτος τρία βιβλία ἱερὰ μοναχῶν ἀντιρρητικὰ οὕτω λεγόμενα, πρὸς τοὺς δαίμονας ὑποτιθέμενος τέχνας. Τούτῳ ὤχλησεν εἰς βάρος ὁ τῆς πορνείας δαίμων, ὡς καὶ αὐτὸς ἡμῖν διηγεῖτο· καὶ διὰ πάσης νυκτὸς γυμνὸς ἔστη ἐν τῷ φρέατι χειμῶνος ὄντος, ὡς καὶ παγῆναι αὐτοῦ τὰς σάρκας. Ἄλλοτε πάλιν ὤχλησεν αὐτῷ πνεῦμα βλασφημίας· καὶ ἐν τεσσαράκοντα ἡμέραις ὑπὸ στέγην οὐκ εἰσῆλθεν, ὡς αὐτὸς ἡμῖν διηγήσατο, ὡς καὶ τὸ σῶμα αὐτοῦ καθάπερ τῶν ἀλόγων ζῴων κρότωνας ἐκβράσαι. Τούτῳ τρεῖς ἐπέστησαν ἐν ἡμέρᾳ δαίμονες ἐν σχήματι κληρικῶν περὶ πίστεως συζητοῦντες· καὶ ὁ μὲν ἔλεγεν ἑαυτὸν Ἀρειανόν, ὁ δὲ Εὐνομιανόν, ὁ δὲ Ἀπολιναριανόν· καὶ τούτων περιεγένετο τῇ σοφίᾳ αὐτοῦ διὰ βραχέων λόγων.

Πάλιν μιᾶς τῶν ἡμερῶν τῆς κλειδὸς ἀπολομένης τῆς ἐκκλησίας, σφραγίσας τὸ πρόσωπον τοῦ ἡλωταρίου καὶ τῇ χειρὶ ὤσας ἤνοιξεν, ἐπικαλεσάμενος τὸν Χριστόν. Τοσαῦτα ἐμαστιγώθη οὗτος ὑπὸ δαιμόνων καὶ τοσαύτην ἔλαβε πεῖραν δαιμόνων ὧν ἀριθμὸς οὐκ

ἔστιν. Ἑνὶ δὲ τῶν ἑαυτοῦ μαθητῶν τὰ μετὰ δεκαοκτὼ ἔτη συμβησόμενα αὐτῷ εἶπε, πάντα κατ᾿ εἶδος προφητεύσας αὐτῷ. Ἔλεγε δὲ ὅτι Ἀφ᾿ οὗ κατέλαβον τὴν ἔρημον οὐ θριδακίου ἡψάμην, οὐχ ἑτέρου λαχάνου τινὸς χλωροῦ, οὐκ ὀπώρας, οὐ σταφυλῆς, οὐ κρεῶν, οὐ λουτροῦ.

Ἐς ὕστερον δὲ τῷ ἑξκαιδεκάτῳ ἔτει τῆς πολιτείας τῆς ἄνευ ἑψήματος, χρείαν ἐχούσης αὐτοῦ τῆς σαρκὸς διὰ τὴν ἀσθένειαν τοῦ στομάχου τοῦ μεταλαμβάνειν διὰ πυρός, ἄρτου μὲν ἥψατο οὐκέτι, λαχάνων δὲ μεταλαμβάνων ἢ πτισάνης ἢ ὀσπριδίων ἐπὶ δύο ἔτη, ἐν αὐτοῖς τελευτᾷ, κοινωνήσας εἰς τὰ Ἐπιφάνια εἰς τὴν ἐκκλησίαν. Ἀφηγεῖτο οὖν ἡμῖν περὶ τὸν θάνατον ὅτι Τρίτον ἔτος ἔχω μὴ ὀχλούμενος ὑπὸ ἐπιθυμίας σαρκικῆς, -μετὰ τοσοῦτον βίον καὶ κόπον καὶ πόνον καὶ προσευχὴν ἀδιάλειπτον. Τούτῳ ἐμηνύθη ἡ τελευτὴ τοῦ πατρὸς καὶ λέγει τῷ ἀναγγείλαντι· Παῦσαι βλασφημῶν· ὁ γὰρ ἐμὸς πατὴρ ἀθάνατός ἐστιν.

Περὶ Πίωρ

Πίωρ τις Αἰγύπτιος νέος ἀποταξάμενος ἐξῆλθε τοῦ οἴκου τοῦ πατρικοῦ, καὶ λόγον ἔδωκε τῷ θεῷ δι᾿ ὑπερβολὴν ζήλου μηκέτι ἰδεῖν τινα τῶν ἰδίων. Μετὰ οὖν πεντήκοντα ἔτη ἡ ἀδελφὴ τούτου γηράσασα καὶ ἀκούσασα ὅτι ζῇ, εἰς ἔκστασιν ἤλαυνεν ἐὰν μὴ αὐτὸν ἴδῃ. Ἐλθεῖν δὲ μὴ δυναμένη ἐν τῇ πανερήμῳ, ἱκέτευσε τὸν κατὰ τὸν τόπον ἐπίσκοπον γράψαι τοῖς πατράσι τοῖς ἐν τῇ ἐρήμῳ, ἵνα αὐτὸν ἀποστείλωσι καὶ ἴδῃ αὐτόν. Βίας οὖν αὐτῷ πολλῆς περιτεθείσης ἔδοξεν ἄλλον ἕνα παραλαβεῖν καὶ ὑπάγειν.

Καὶ ἐσήμανεν ἐν τῷ οἴκῳ τῆς ἀδελφῆς ὅτι Ὁ ἀδελφός σου Πίωρ παρεγένετο. Στὰς οὖν ἔξω καὶ τοῦ ψόφου τῆς θύρας αἰσθόμενος ὅτι ἐξῆλθεν εἰς συνάντησιν ἡ γραῦς, καμμύσας τοὺς ὀφθαλμοὺς ἐβόησεν πρὸς αὐτήν· Ἡ δεῖνα, ἡ δεῖνα, ἐγώ εἰμι Πίωρ ὁ ἀδελφός σου, ἐγώ εἰμι· βλέπε με ὅσον θέλεις. Πληροφορηθεῖσα οὖν ἐκείνη καὶ δοξάσασα τὸν θεόν, καὶ μὴ πείσασα αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτῆς, ὑπέστρεψεν εἰς τὴν ἰδίαν οἰκίαν· ὁ δὲ εὐχὴν ποιήσας εἰς τὰς φλιὰς ἀπεδήμησε πάλιν ἐν τῇ ἐρήμῳ.

Τοῦτο δὲ αὐτοῦ τὸ θαῦμα φέρεται, ὅτι εἰς τὸν τόπον ὃν ᾤκησεν ὀρύξας εὗρεν ὕδωρ πικρότατον· καὶ μέχρις οὗ ἐτελεύτησεν ἐκεῖ παρέμεινε, στοιχήσας τῇ πικρότητι τοῦ ὕδατος ἵνα δείξῃ τὴν ἑαυτοῦ ὑπομονήν. Πολλοὶ οὖν τῶν μοναχῶν μετὰ τὸν θάνατον αὐτοῦ

φιλονεικήσαντες μεῖναι ἐν τῷ κελλίῳ αὐτοῦ ἐνιαυτὸν οὐκ ἴσχυσαν ἐκτελέσαι· ἔστι γὰρ φοβερὸς ὁ τόπος καὶ ἀπαράκλητος.

Μωσῆς ὁ Λίβυς, ἀνὴρ πραότατος λίαν καὶ ἀγαπητικώτατος, κατηξιώθη χαρίσματος ἰαμάτων. Οὗτός μοι διηγήσατο ὅτι Ἐν τῷ μοναστηρίῳ ὢν νέος φρέαρ ὠρύξαμεν μέγιστον, εἴκοσι ποδῶν πλάτος· ἐν τούτῳ τρεῖς ἡμέρας ἐκχοίσαντες ἄνδρες ὀγδοήκοντα καὶ τὴν συνήθη καὶ ὕποπτον φλέβα παρελθόντες ὡς πῆχυν, οὐχ εὕρομεν ὕδωρ. Πάνυ οὖν λυπηθέντες ἐσκεπτόμεθα ἀναχωρῆσαι τοῦ ἔργου· καὶ ἐπιστὰς ὁ Πίωρ ἐκ τῆς πανερήμου ἐν αὐτῇ τῇ ἕκτῃ τοῦ καύματος, γέρων περιβεβλημένος τὴν μηλωτήν, ἠσπάσατο ἡμᾶς καὶ λέγει μετὰ τὸν ἀσπασμόν· “Τί ἐμικροψυχήσατε, ὀλιγόπιστοι; Ἑώρακα γὰρ ὑμᾶς ἀπὸ ἐχθὲς μικροψυχοῦντας”.

Καὶ κατελθὼν ἐν τῇ κλίμακι εἰς τὸ ὄρυγμα τοῦ φρέατος ποιεῖ εὐχὴν σὺν αὐτοῖς· καὶ λαβὼν τὸν ὄρυγα λέγει κατενεγκὼν τρίτην πληγήν· “Ὁ θεὸς τῶν ἁγίων πατριαρχῶν, μὴ ἀχρειώσῃς τὸν πόνον τῶν δούλων σου, ἀλλὰ ἀπόστειλον αὐτοῖς τὴν τῶν ὑδάτων χρείαν”. Καὶ παραχρῆμα ἐξεπήδησεν ὕδωρ ὡς ῥαντισθῆναι ὅλους. Πάλιν οὖν προσευξάμενος ᾤχετο. Ἀναγκαζόντων οὖν αὐτὸν φαγεῖν οὐκ ἠνέσχετο εἰπών· “Δι᾽ ὃ ἀπεστάλην ἠνύσθη· δι᾽ ἐκεῖνο δὲ οὐκ ἀπεστάλην”.

Περὶ Ἐφραίμ

Τὰ κατὰ Ἐφραὶμ τὸν διάκονον τῆς Ἐδεσηνῶν ἐκκλησίας πάντως ἀκήκοας· γέγονε γὰρ εἷς τῶν μνημονεύεσθαι ἀξίων παρὰ τῶν ὁσίων. Οὗτος ἀξίως τὴν τοῦ πνεύματος ὁδὸν ἐξανύσας καὶ μὴ ἐκτραπεὶς τῆς εὐθείας κατηξιώθη χαρίσματος γνώσεως φυσικῆς, ἣν διαδέχεται θεολογία καὶ ἐσχάτη μακαριότης. Τὸν ἥσυχον οὖν ἀεὶ ἐξασκήσας βίον καὶ τοὺς παρατυγχάνοντας οἰκοδομῶν ἐπὶ ἔτη ἱκανά, ἐς ὕστερον προῆλθε τῆς κέλλης ἐξ αἰτίας τοιᾶσδε· λιμοῦ καταλαβόντος μεγάλου τὴν Ἐδεσηνῶν πόλιν κατοικτειρήσας πᾶσαν τὴν ἀγροικίαν διαφθειρομένην προσῆλθε τοῖς ἁδροῖς ἐν ὕλῃ καὶ λέγει αὐτοῖς· Τίνος ἕνεκεν οὐκ ἐλεᾶτε τὴν ἀνθρωπίνην φύσιν διαφθειρομένην, ἀλλὰ τὸν πλοῦτον ὑμῶν σήπετε εἰς κατάκριμα τῶν ψυχῶν ὑμῶν; Σκεψάμενοι οὖν λέγουσιν αὐτῷ ὅτι Οὐκ ἔχομεν τίνι πιστεύσομεν πρὸς τὸ διακονῆσαι τοῖς λιμώττουσι· πάντες γὰρ καπηλεύουσι τὰ πράγματα. Λέγει αὐτοῖς· Τί ὑμῖν δοκῶ ἐγώ; Εἶχε δὲ μεγάλην ὑπόληψιν παρὰ πᾶσιν, οὐ ψευδῶς ἀλλ᾽ ἀληθῶς.

Λέγουσιν αὐτῷ· Ἄνθρωπόν σε οἴδαμεν θεοῦ. Οὐκοῦν ἐμοί, φησίν, ἐμπιστεύσατε· ἰδοὺ δι᾽ ὑμᾶς χειροτονῶ ἐμαυτὸν ξενοδόχον. Καὶ λαβὼν ἀργύρια καὶ διαφράξας τοὺς ἐμβόλους καὶ στήσας κλίνας ὡς τριακοσίας ἐνοσοκόμει τοὺς λιμώττοντας, τοὺς μὲν ἐκλιμπάνοντας θάπτων, τοὺς δὲ ἐλπίδα ἔχοντας ζωῆς νοσοκομῶν, καὶ ἁπλῶς πᾶσι τοῖς ἐπιχωριάζουσι τοῦ λιμοῦ ἕνεκεν ξενοδοχίαν καὶ ὑπηρεσίαν καθ᾽ ἡμέραν παρέχων ἐκ τῶν χορηγουμένων αὐτῷ.

Πληρωθέντος οὖν τοῦ ἐνιαυτοῦ καὶ διαδεξαμένης τῆς εὐθηνίας καὶ πάντων οἴκοι πορευομένων, μηκέτι ἔχων ὃ πράξει εἰσῆλθεν εἰς τὴν ἑαυτοῦ κέλλαν καὶ ἐτελεύτησε μετὰ μῆνα, τοῦ θεοῦ παρασχόντος αὐτῷ τὴν ἀφορμὴν ταύτην στεφάνου τρόπον εἰς τὰ ἔσχατα αὐτοῦ. Κατέλιπε δὲ καὶ συντάγματα ὧν τὰ πλεῖστα σπουδῆς ἄξια.

Περὶ γυναικῶν ἁγίων

Ἀναγκαῖον δέ ἐστι καὶ γυναικῶν ἀνδρείων μνημονεῦσαι ἐν τῷ βιβλίῳ, αἷς καὶ ὁ θεὸς τὰ ἴσα τοῖς ἀνδράσι τῶν ἄθλων ἐχαρίσατο, ὑπὲρ τοῦ μὴ προφασίζεσθαι αὐτὰς ὡς ἀσθενεστέρας οὔσας πρὸς κατόρθωσιν τῆς ἀρετῆς. Πολλὰς μὲν οὖν ἑώρακα, καὶ πολλαῖς ἀστείαις συντετύχηκα παρθένοις τε καὶ χήραις·

[ἐν αἷς καὶ Παύλῃ τῇ Ῥωμαίᾳ τῇ μητρὶ Τοξοτίου, γυναικὶ εἰς τὴν πνευματικὴν πολιτείαν ἀστειοτάτῃ· ἧς ἐμπόδιον γέγονεν Ἱερώνυμός τις ἀπὸ Δαλματίας· δυναμένην γὰρ αὐτὴν ὑπερπτῆναι πασῶν, εὐφυεστάτην οὖσαν, προσενεπόδισε τῇ ἑαυτοῦ βασκανίᾳ ἑλκύσας αὐτὴν πρὸς τὸν ἴδιον αὐτοῦ σκοπόν. Ἧς θυγάτηρ ἐστί, καὶ νῦν ἀσκεῖται, Εὐστόχιον ὀνόματι ἐν Βηθλεέμ· ἧς ἐγὼ ἐν συντυχίᾳ οὐ γέγονα, λέγεται δὲ σφόδρα εἶναι σωφρονεστάτη, συνοδίαν ἔχουσα πεντήκοντα παρθένων.

Ἔγνων δὲ καὶ Βενερίαν τὴν Βαλλοβίκου τοῦ κόμητος, καλῶς διασκορπίσασαν τὸ τῆς καμήλου φορτίον, καὶ ἀπαλλαγεῖσαν τῶν ἐκ τῆς ὕλης τραυμάτων· καὶ Θεοδώραν τὴν τοῦ τριβούνου, τὴν ἐπὶ τοσοῦτον ἀκτημοσύνης ἐλάσασαν ὡς ἐλεημοσύνην λαβοῦσαν οὕτω τελευτῆσαι ἐν τῷ μοναστηρίῳ τοῦ Ἡσυχᾶ παρὰ θάλατταν. Ἔγνων Ὁσίαν ὀνόματι, τὰ ὅλα καὶ σεμνοτάτην γυναῖκα· καὶ τὴν ταύτης ἀδελφὴν Ἀδολίαν, οὐκ ἀξίως μὲν ταύτης, ἐπαξίως δὲ τῆς δυνάμεως ἑαυτῆς ζήσασαν.

Ἔγνων ἐγὼ καὶ Βασιανίλλαν, τὴν Κανδιδιανοῦ τοῦ στρατηλάτου, προθύμως καὶ εὐλαβῶς τὴν ἀρετὴν ἐξασκήσασαν, καὶ ἐχομένην εἰσέτι καὶ νῦν τῶν ἀγώνων σφοδρῶς· καὶ Φωτεινὴν παρθένον

σεμνοτάτην εἰς ἄκρον, θυγατέρα Θεοκτίστου τοῦ πρεσβυτέρου τοῦ κατὰ Λαοδίκειαν. Συνέτυχον δὲ καὶ ἐν Ἀντιοχείᾳ σεμνοτάτῃ γυναικὶ καὶ τῷ θεῷ προσομιλούσῃ, τῇ διακονίσσῃ Σαβινιανῇ, θείᾳ Ἰωάννου τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως. Εἶδον δὲ καὶ ἐν Ῥώμῃ τὴν καλὴν Ἀσέλλαν τὴν παρθένον γεγηρακυῖαν ἐν τῷ μοναστηρίῳ, σφόδρα πραϋτάτην γυναῖκα καὶ ἀνεχομένην συνοδίας.

Ἐν οἷς ἐθεασάμην ἄνδρας τε καὶ γυναῖκας νεοκατηχήτους· ἐθεασάμην καὶ Ἀβίταν τὴν τοῦ θεοῦ ἀξίαν σὺν τῷ ταύτης ἀνδρὶ Ἀπρονιανῷ καὶ τῇ τούτων θυγατρὶ Εὐνομίῃ, εὐαρεστοῦντας τῷ θεῷ, ὡς ἄντικρυς μετατεθῆναι ἐπὶ τὴν ἐνάρετον καὶ ἐγκρατῆ πολιτείαν, καταξιωθέντες ἐν τούτοις καὶ τῆς ἐν Χριστῷ κοιμήσεως, ἐλευθερωθέντες μὲν πάσης ἁμαρτίας ἐντὸς δὲ καὶ γνώσεως γενόμενοι, ἐν μνήμῃ ἀγαθῇ τὸν βίον ἑαυτῶν καταλείψαντες.]

Περὶ Ἰουλιανοῦ

[Ἀκήκοα περὶ Ἰουλιανοῦ τινὸς ἐν τοῖς μέρεσι τῶν Ἐδεσηνῶν, ἀνδρὸς ἀσκητικωτάτου· ὃς καθ᾽ ὑπερβολὴν κατατήξας αὐτοῦ τὸ σαρκίον ὀστέα καὶ δέρμα περιέφερε μόνον. Οὗτος εἰς τὰ ἔσχατα τοῦ τέλους κατηξιώθη τιμῆς χαρίσματος ἰαμάτων.]

Περὶ Ἀδολίου

Ἔγνων τινὰ πάλιν εἰς τὰ Ἱεροσόλυμα ὀνόματι Ἀδόλιον, Ταρσέα τῷ γένει, ὃς παραγενόμενος ἐν τοῖς Ἱεροσολύμοις λίαν τὴν ἄτριπτον ὥδευσεν ὁδόν, οὐχ ἣν οἱ πολλοὶ ἐβαδίσαμεν, ἀλλὰ ξένην τινὰ ἀνατεμὼν ἑαυτῷ πολιτείαν· ὑπὲρ ἄνθρωπον γὰρ ἤσκησεν, ὡς καὶ αὐτοὺς τοὺς δαίμονας φρίξαντας αὐτοῦ τὸ αὐστηρὸν μηδὲ τολμῆσαι αὐτῷ προσεγγίσαι. Δι᾽ ὑπερβολὴν γὰρ ἐγκρατείας καὶ ἀγρυπνίας ὑπενοήθη καὶ φάσμα εἶναι.

Ἐν μὲν γὰρ τῇ τεσσαρακοστῇ ἤσθιε διὰ πέντε, τὸν δὲ ἄλλον ὅλον καιρὸν μίαν παρὰ μίαν. Τὸ δὲ μέγα αὐτοῦ τοῦτο ἦν· ἀφ᾽ ἑσπέρας μέχρις ὅτε πάλιν ἡ ἀδελφότης συνήγετο εἰς τοὺς εὐκτηρίους οἴκους, ἐν τῷ Ἐλαιῶνι εἰς τὸν τῆς ἀναλήψεως βουνὸν ὅθεν ἀνελήφθη ὁ Ἰησοῦς, ἑστὼς καὶ ψάλλων καὶ προσευχόμενος διετέλει· καὶ εἴτε ἔνιφεν εἴτε ἔβρεχεν εἴτε ἐπάχνιζεν, ἀσάλευτος ἔμενε. Πληρώσας οὖν τὸν συνήθη καιρὸν τῷ ἐξυπνιστικῷ σφυρίῳ τὰς πάντων ἔκρουε κέλλας, συνάγων αὐτοὺς εἰς τοὺς εὐκτηρίους οἴκους, καὶ καθ᾽ ἕκαστον οἶκον συμψάλλων αὐτοῖς ἓν ἢ δεύτερον ἀντίφωνον, καὶ συνευχόμενος, οὕτως ἀπῄει πρὸ ἡμέρας εἰς τὸ κελλίον ἑαυτοῦ, ὡς ἐπὶ τῆς ἀληθείας πολλάκις ἐκδιδυσκόντων αὐτὸν τῶν ἀδελφῶν καὶ

ἀποσφιγγόντων αὐτοῦ τὰ ἱμάτια ὡς ἀπὸ πλύτρας, καὶ ἄλλα περιβαλλόντων. Οὕτως οὖν πάλιν ἀναπαεὶς μέχρι τῆς ὥρας τῆς ψαλμῳδίας προσεῖχεν ἕως ἑσπέρας. Καὶ αὕτη τοίνυν ἡ ἀρετὴ Ἀδολίου τοῦ Ταρσέως τοῦ τελειωθέντος ἐν Ἱεροσολύμοις κἀκεῖ κοιμηθέντος.

Περὶ Ἰννοκεντίου

Τὰ κατὰ τὸν μακάριον Ἰννοκέντιον τὸν πρεσβύτερον τοῦ Ἐλαιῶνος παρὰ πολλῶν μὲν ἀκήκοας, οὐδὲν δὲ ἧττον καὶ παρ᾿ ἡμῶν τῶν συζησάντων αὐτῷ τρία ἔτη ἀκούσῃ. Οὗτος ἁπλούστατος ἦν καθ᾿ ὑπερβολήν· γενόμενος δὲ τῶν ἐπιδόξων ἐν τῷ παλατίῳ ἐν ταῖς ἀρχαῖς Κωνσταντίου τοῦ βασιλέως ἀπετάξατο ὁρμώμενος ἀπὸ γάμου, ἐν οἷς εἶχε καὶ υἱὸν Παῦλον ὀνόματι δομέστικον στρατευόμενον.

Τούτου ἁμαρτήσαντος πρὸς θυγατέρα πρεσβυτέρου ἐπαράσατο ὁ Ἰννοκέντιος τῷ ἰδίῳ υἱῷ, παρακαλέσας τὸν θεὸν καὶ εἰπὼν ὅτι Κύριε, δὸς αὐτῷ τοιοῦτον πνεῦμα ἵνα μηκέτι εὕρῃ καιρὸν τοῦ ἐξαμαρτῆσαι τὸ σαρκίον· ἄμεινον ἡγησάμενος δαιμονίῳ αὐτὸν πυκτεύειν ἢ ἀκολασίᾳ. Ὃ δὴ καὶ γεγένηται. Ὃς ἔτι καὶ νῦν ἐστὶν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν σιδηροφορῶν καὶ παιδευόμενος ὑπὸ τοῦ πνεύματος.

Οὗτος ὁ Ἰννοκέντιος οἷος μὲν γέγονεν ἐλεήμων λῆρος ὀφθήσομαι τἀληθῆ διηγούμενος, ὡς πολλάκις κλέπτειν αὐτὸν ἀπὸ τῶν ἀδελφῶν καὶ διδόναι τοῖς δεομένοις. Καθ᾿ ὑπερβολὴν δὲ γέγονεν ἄκακος καὶ ἁπλοῦς, καὶ χαρίσματος ἠξιώθη κατὰ δαιμόνων. Ἐν οἷς ποτὲ ἠνέχθη αὐτῷ νεανίσκος ὁρώντων ἡμῶν ὑπὸ πνεύματος ληφθεὶς καὶ παρέσεως, ὡς ἐμὲ θεασάμενον ἄντικρυς θελῆσαι διῶξαι τὴν μητέρα τοῦ ἀχθέντος, ἀπευδοκήσαντα τῆς θεραπείας.

Συνέβη οὖν ἐν τῷ μεταξὺ ἐλθόντα τὸν γέροντα θεάσασθαι αὐτὴν παρεστῶσαν καὶ κλαίουσαν καὶ ὀδυρομένην ἐπὶ τῇ ἀνεκδιηγήτῳ συμφορᾷ τοῦ υἱοῦ. Δακρύσας οὖν ὁ καλόγηρος καὶ ἐπισπλαγχνισθεὶς λαβὼν τὸν νεανίσκον εἰσῆλθεν εἰς τὸ μαρτύριον ἑαυτοῦ ὃ ᾠκοδομήκει αὐτός, ἐν ᾧ λείψανα κατακεῖται Ἰωάννου τοῦ βαπτιστοῦ. Καὶ ἐπευξάμενος αὐτῷ μέχρις ἐννάτης ὥρας ἀπὸ τρίτης ὥρας, ὑγιῆ ἀπέδωκε τὸν νεανίσκον τῇ αὐτοῦ μητρὶ τῇ αὐτῇ ἡμέρᾳ, καὶ τὴν πάρεσιν αὐτοῦ καὶ τὸν δαίμονα ἐξελάσας· τοιαύτη δὲ ἦν ἡ πάρεσις αὐτοῦ ὡς πτύοντα τὸν παῖδα ἐπὶ τὸν νῶτον πτύειν, οὕτως ἦν ἐκστραφείς.

Πρόβατον ἀπολέσασα γραῦς τις προσῆλθεν αὐτῷ κλαίουσα· καὶ ἀκολουθήσας αὐτῇ λέγει· Δεῖξόν μοι τὸν τόπον ἔνθα ἀπώλεσας. Ἀπάγει αὐτὸν εἰς τοὺς περὶ τὸ Λαζάριον τόπους. Στὰς οὖν

προσηύξατο. Οἱ δὲ κλέψαντες νεώτεροι προφθάσαντες ἔσφαξαν αὐτό. Ἐν τῷ οὖν προσεύξασθαι αὐτὸν μηδενὸς ὁμολογοῦντος, κεκρυμμένου τοῦ κρεαδίου ἐν τῷ ἀμπελῶνι, ποθὲν κόραξ ἐλθὼν ἐπέστη καὶ λαβὼν κόπαιον πάλιν ἀπέστη. Καὶ προσσχὼν ὁ μακάριος εὗρε τὸ θῦμα· καὶ οὕτω προσπεσόντες αὐτῷ οἱ νεώτεροι ὡμολόγησαν οἱ σφάξαντες αὐτό, ἀπαιτηθέντες τὸ ἄξιον τίμημα.

Περὶ Φιλορώμου

[Περιετύχομεν ἐν Γαλατίᾳ καὶ συνεχρονίσαμεν μακρῷ χρόνῳ τῷ πρεσβυτέρῳ Φιλορώμῳ ἀνδρὶ ἀσκητικωτάτῳ καὶ καρτερικωτάτῳ· ὃς ὥρμητο μὲν ἐξ οἰκέτιδος μητρὸς ἐλευθέρου δὲ πατρός· τοσαύτην δὲ εὐγένειαν εἰς τὴν κατὰ Χριστὸν ἐνεδείξατο πολιτείαν, ὡς καὶ αὐτοὺς τοὺς ἀνικήτους ἐν γένει αἰδεῖσθαι αὐτοῦ τὴν ζωὴν καὶ τὴν ἀρετήν. Οὗτος ἀπετάξατο ἐν ταῖς ἡμέραις Ἰουλιανοῦ τοῦ δυσωνύμου βασιλέως, καὶ μετὰ παρρησίας διελέχθη τούτῳ. Ὃν ξυρισθῆναι ἐκέλευσε καὶ ὑπὸ παιδαρίων κοσσισθῆναι· ὃς ἐγκαρτερήσας τῷ πράγματι, καὶ χάριτας αὐτῷ ὡμολόγησεν, ὡς αὐτὸς ἡμῖν διηγήσατο.

Τούτῳ ἐπέθετο ἐν προοιμίοις ὁ τῆς πορνείας πόλεμος καὶ τῆς γαστριμαργίας· ὃς τὸ πάθος ἐξήλασεν ἐγκλεισμῷ τε καὶ σιδηροφορίᾳ, καὶ ἀποχῇ σιτίνου ἄρτου καὶ πάντων τῶν ἑψομένων διὰ πυρός. Διακαρτερήσας ἐν τούτοις ἐπὶ δεκαοκτὼ ἔτεσιν ᾖσε τὸν ἐπινίκιον ὕμνον τῷ Χριστῷ. Οὗτος ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας διαφόρως πολεμηθεὶς ἐνεκαρτέρησεν ἐν ἑνὶ μοναστηρίῳ τεσσαράκοντα ἔτη. Ἀφηγεῖτο δὲ οὗτος ὅτι Ἐπὶ τριάκοντα καὶ δύο ἔτη οὐδεμιᾶς ὀπώρας ἡψάμην. Δειλίας δέ ποτε πολεμησάσης πρὸς τὸ ταύτης περιγενέσθαι μνήματι ἑαυτὸν καθεῖρξεν ἐπὶ ἔτη ἕξ.

Τούτου πάνυ ἐκήδετο ὁ μακάριος Βασίλειος ὁ ἐπίσκοπος ἡδόμενος αὐτοῦ τῇ αὐστηρίᾳ καὶ τῇ στυφότητι· ὃς εἰσέτι καὶ νῦν τοῦ καλάμου καὶ τῆς τετράδος τοῦ γράφειν οὐκ ἀνεχώρησεν, ὀγδοηκοστόν που ἄγων ἔτος. Οὗτος ἔφησεν ὅτι Ἀφ᾽ οὗ ἐμυσταγωγήθην καὶ ἀνεγεννήθην μέχρι τῆς σήμερον ἡμέρας, ἄρτον ἀλλότριον δωρεὰν οὐ βέβρωκα, ἀλλ᾽ ἐκ τῶν ἰδίων πόνων· ὡς ἐπὶ θεοῦ ἡμᾶς ἔπεισεν ὅτι διακόσια πεντήκοντα νομίσματα ἐκ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ λελωβημένοις δέδωκεν, οὐδέποτε ἀδικήσας οὐδένα.

Ὃς πεζῇ τῇ πορείᾳ καὶ μέχρις αὐτῆς Ῥώμης ἀπῆλθεν εὐξόμενος εἰς τὸ μαρτύριον τοῦ μακαρίου Πέτρου· ἔφθασε δὲ καὶ μέχρις Ἀλεξανδρείας, εὐξόμενος εἰς τὸ μαρτύριον τοῦ Μάρκου. ? Ἦλθε ? δὲ καὶ δεύτερον εἰς Ἱεροσολύμους, ἰδίοις ἀπελθὼν ποσὶ καὶ ἀναλώμασιν

ἑαυτῷ ἐπαρκέσας. Ἔλεγεν δὲ οὗτος ὅτι Οὐ μέμνημαί ποτε ἀποστὰς κατὰ νοῦν τοῦ θεοῦ μου.]

Περὶ τῆς γραὸς Μελανίου

Ἡ τρισμακαρία Μελάνιον Σπανὴ γέγονε τὸ γένος, εἰτοῦν Ρωμαία· θυγάτηρ μὲν γέγονε Μαρκελλίνου τοῦ ἀπὸ ὑπάτων, ἀνδρὸς δέ τινος τῶν ἀπὸ ἀξιωμάτων γυνή, οὗ καλῶς οὐκ ἐπιμέμνημαι. Αὕτη χηρεύσασα εἰκοστὸν δεύτερον ἄγουσα ἔτος ἔρωτος θείου κατηξιώθη, καὶ μηδενὶ μηδὲν εἰρηκυῖα, -ἐκωλύετο γάρ- ἐν τοῖς καιροῖς Οὐάλεντος ἀρχὴν ἔχοντος ἐν τῇ βασιλείᾳ, ποιήσασα ἐπίτροπον τοῦ υἱοῦ αὐτῆς ὀνομασθῆναι, τὰ κινητὰ πάντα αὐτῆς λαβοῦσα καὶ ἐμβαλοῦσα εἰς πλοῖον, μετὰ φανερῶν παίδων καὶ γυναικῶν δρομαία κατέπλευσεν ἐπὶ τὴν Ἀλεξάνδρειαν. Κἀκεῖθεν διαπωλήσασα τὰς ὕλας καὶ εἰς χρυσὸν κατακερματίσασα εἰσῆλθεν εἰς τὸ ὄρος τῆς Νιτρίας, τοῖς πατράσι περιτυγχάνουσα τοῖς περὶ Παμβὼ καὶ Ἀρσίσιον καὶ Σαραπίωνα τὸν μέγαν καὶ Παφνούτιον τὸν Σκητιώτην καὶ Ἰσίδωρον τὸν ὁμολογητὴν ἐπίσκοπον Ἑρμουπόλεως καὶ Διόσκορον. Καὶ ἐχρόνισε παρ᾽ αὐτοῖς ἕως ἥμισυ ἔτους ἀνὰ τὴν ἔρημον κυκλεύουσα καὶ ἱστοροῦσα πάντας τοὺς ἁγίους.

Μετὰ δὲ τοῦτο τοῦ αὐγουσταλίου Ἀλεξανδρείας ἐξορίσαντος Ἰσίδωρον καὶ Πισίμιον καὶ Ἀδέλφιον καὶ Παφνούτιον καὶ Παμβώ, ἐν οἷς καὶ Ἀμμώνιον τὸν παρώτην, καὶ δώδεκα ἐπισκόπους καὶ πρεσβυτέρους, εἰς τὴν Παλαιστίνην περὶ Διοκαισάρειαν· οἷς ἠκολούθησεν αὕτη ἐκ τῶν ἰδίων χρημάτων ὑπηρετουμένη. Κωλυομένων δὲ τῶν ὑπηρετῶν, ὡς διηγοῦντο, συνέτυχον γὰρ τῷ ἁγίῳ Πισιμίῳ καὶ Ἰσιδώρῳ καὶ Παφνουτίῳ καὶ Ἀμμωνίῳ, αὕτη παιδαρίου καρακάλλιον λαβοῦσα ἐν ταῖς ἑσπέραις ἔφερεν αὐτοῖς τὰ πρὸς τὴν χρείαν. Γνοὺς δὲ ὁ ὑπατικὸς τῆς Παλαιστίνης, θελήσας τὸν κόλπον πληρῶσαι προσεδόκησεν αὐτὴν καπνίζειν·

καὶ κατασχὼν αὐτὴν ἔβαλεν εἰς φυλακὴν ἀγνοῶν τὴν ἐλευθερίαν. Αὕτη δὲ δηλοῖ αὐτῷ· Ἐγὼ τοῦδε μὲν γέγονα θυγάτηρ, τοῦδε δὲ γυνή· τοῦ δὲ Χριστοῦ εἰμὶ δούλη. Καὶ μὴ τῆς εὐτελείας τοῦ σχήματός μου καταπτύσῃς· δύναμαι γὰρ ἐμαυτὴν ἐὰν θέλω ὑψῶσαι, καὶ οὐκ ἔχεις με ἐν τούτῳ καπνίσαι οὐδὲ τῶν ἐμῶν τι λαβεῖν. Ὥστε οὖν ἵνα μὴ ἀγνοήσας ἐγκλήμασι περιπέσῃς ἐδήλωσά σοι· δεῖ γὰρ κατὰ τῶν

ἀναισθήτων καθάπερ ἱέρακι τῷ τύφῳ κεχρῆσθαι. Τότε γνοὺς ὁ δικαστὴς καὶ προσαπελογήσατο καὶ προσεκύνησεν αὐτῇ, καὶ ἐκέλευσεν αὐτὴν ἀκωλύτως συντυχάνειν τοῖς ἁγίοις.

Αὕτη μετὰ τὴν ἀνάκλησιν τούτων μοναστήριον κτίσασα ἐν Ἱεροσολύμοις εἰκοσιεπτὰ ἔτεσιν ἐνεχρόνισεν ἐκεῖ ἔχουσα συνοδίαν παρθένων πεντήκοντα. Ἧ συνέζη καὶ ὁ εὐγενέστατος καὶ ὁμότροπος καὶ στιβαρώτατος Ρουφῖνος ὁ ἀπὸ Ἰταλίας ἐξ Ἀκυληίας τῆς πόλεως, πρεσβυτερίου ἐς ὕστερον καταξιωθείς· οὗ γνωστικώτερος καὶ ἐπιεικέστερος ἐν ἀνδράσιν οὐχ εὑρίσκετο.

Δεξιούμενοι οὖν ἀμφότεροι ἐν τοῖς εἰκοσιεπτὰ ἔτεσι τοὺς παρατυγχάνοντας ἐν τοῖς Ἱεροσολύμοις εὐχῆς ἕνεκεν, ἐπισκόπους τε καὶ μονάζοντας καὶ παρθένους, οἰκείοις ἀναλώμασιν ᾠκοδόμησαν μὲν πάντας τοὺς παρατυγχάνοντας, ἥνωσαν δὲ τὸ σχίσμα τὸ κατὰ Παυλῖνον ὡς ἀνδρῶν τετρακοσίων μοναζόντων, καὶ πάντα αἱρετικὸν πνευματομάχον συμπείσαντες εἰσήγαγον εἰς τὴν ἐκκλησίαν, τιμῶντες τοὺς κατὰ τόπον κληρικοὺς δώροις καὶ τροφαῖς, οὕτω διετέλεσαν μηδένα σκανδαλίσαντες.

Περὶ Χρονίου καὶ Παφνουτίου

Χρόνιός τις ὀνόματι ἐκ τῆς κώμης τῆς λεγομένης Φοινίκης, ἀπομετρήσας ἀπὸ τῆς ἰδίας κώμης πλησίον οὔσης τῆς ἐρήμου μύρια πεντακισχίλια βήματα τῷ δεξιῷ ποδὶ ἀριθμούμενα, ἐκεῖσε προσευξάμενος ὤρυξε φρέαρ· καὶ εὑρὼν κάλλιστον ὕδωρ ἀπέχον ὀργυιὰς ἑπτὰ ᾠκοδόμησεν ἑαυτῷ ἐκεῖ ξενίαν μικράν. Καὶ ἀφ᾽ ἧς ἡμέρας ἐνεθρόνισεν ἑαυτὸν τῇ μονῇ ηὔξατο τῷ θεῷ μὴ ἀνακάμψαι μηκέτι εἰς οἰκούμενον τόπον.

Παρελθόντων δὲ ὀλίγων ἐτῶν ἠξιώθη πρεσβυτερίου ἀδελφότητος περὶ αὐτὸν συναχθείσης ὡς ἀνδρῶν διακοσίων. Αὕτη οὖν αὐτοῦ φέρεται τῆς ἀσκήσεως ἡ ἀρετή, ὅτι ἑξήκοντα ἔτη παρεδρεύσας τῷ θυσιαστηρίῳ ἱερατεύων οὐ τῆς ἐρήμου ἐξῆλθεν, οὐκ ἐκτὸς ἔργου ἰδίων χειρῶν βέβρωκεν ἄρτον.

Τούτῳ συνῴκει Ἰακὼβ τις ἐκ γειτόνων ὁ ἐπίκλην χωλός, γνωστικώτατος εἰς ἄκρον. Ἀμφότεροι δὲ γνώριμοι ἦσαν τοῦ μακαρίου Ἀντωνίου.

Μιᾶς οὖν τῶν ἡμερῶν συνδραμόντος καὶ Παφνουτίου τοῦ ἐπιλεγομένου Κεφαλᾶ, ὃς χάρισμα γνώσεως εἶχε τῶν θείων γραφῶν παλαιᾶς καὶ καινῆς διαθήκης, πᾶσαν αὐτὴν ἑρμηνεύων μὴ ἀναγνοὺς γραφάς, πρᾶος δὲ ἦν ὡς καλύπτεσθαι προφητικὴν ἀρετήν· οὗ φέρεται

ὅτι ὀγδοήκοντα ἔτη ὑφ᾽ ἓν δύο χιτῶνας οὐκ ἔσχε. Τούτοις συντυχόντες ἐγώ τε καὶ οἱ μακάριοι Εὐάγριος καὶ Ἀλβάνιος ἐζητοῦμεν μαθεῖν τὰς αἰτίας τῶν παραπιπτόντων ἢ καὶ ἐκπιπτόντων ἀδελφῶν ἢ σφαλλομένων ἐν τῷ καθήκοντι βίῳ.

Συνέβη γὰρ ἐν ταῖς ἡμέραις καὶ Χαιρήμονα τὸν ἀσκητὴν καθεζόμενον τελευτῆσαι καὶ εὑρεθῆναι αὐτὸν νεκρὸν ἐν τῇ καθέδρᾳ κατέχοντα τὸ ἔργον εἰς τὰς χεῖρας. Συνέβη δὲ καὶ ἄλλον ἀδελφὸν ὀρύσσοντα φρέαρ καταχωσθῆναι ὑπὸ τοῦ φρέατος· καὶ ἄλλον ἀπὸ τῆς Σκήτεως κατερχόμενον ἀποθανεῖν ἀπὸ λείψεως ὕδατος· ἐν οἷς καὶ τὰ κατὰ Στέφανον τὸν ἐκπεσόντα εἰς αἰσχρὰν ἀσωτίαν, καὶ Εὐκάρπιον, καὶ τὰ κατὰ Ἥρωνα τὸν Ἀλεξανδρέα, καὶ τὰ κατὰ Οὐάλην τὸν Παλαιστῖνον, καὶ τὰ κατὰ Πτολεμαῖον τὸν ἐν τῇ Σκήτει Αἰγύπτιον.

Συνηρωτῶμεν οὖν τίς ἡ αἰτία τοῦ οὕτω ζῶντας ἀνθρώπους ἐν τῇ ἐρημίᾳ τοὺς μὲν ἀπατηθῆναι τὴν φρένα τοὺς δὲ περιρραγῆναι ἀκολασίᾳ. Ταύτην οὖν ἡμῖν ἔδωκε τὴν ἀπόκρισιν Παφνούτιος ὁ γνωστικώτατος, ὅτιπερ Πάντα τὰ γινόμενα διαιρεῖται εἰς δύο, εἴς τε εὐδοκίαν θεοῦ καὶ συγχώρησιν. Ὅσα τοίνυν γίνεται κατὰ ἀρετὴν εἰς δόξαν θεοῦ, ταῦτα γίνεται εὐδοκίᾳ θεοῦ· ὅσα δ᾽ αὖ πάλιν ἐπιζήμια καὶ ἐπικίνδυνα καὶ περιστατικὰ καὶ ἐκπτωτικά, ταῦτα γίνεται κατὰ θεοῦ συγχώρησιν.

Ἡ δὲ συγχώρησις ἐκ λόγου γίνεται· ἀδύνατον γὰρ τὸν ὀρθῶς φρονοῦντα καὶ ὀρθῶς βιοῦντα περιπεσεῖν πταίσμασιν αἰσχύνης ἢ πλάνης δαιμόνων. Ὅσοι τοίνυν διεφθαρμένῳ σκοπῷ νόσῳ ἀνθρωπαρεσκείας καὶ αὐθαδείᾳ λογισμῶν μετέρχεσθαι δοκοῦσι τὴν ἀρετήν, οὗτοι καὶ σφάλμασι περιπίπτουσι, θεοῦ πρὸς τὸ συμφέρον αὐτῶν ἐγκαταλιμπάνοντος αὐτούς, ἵνα διὰ τῆς ἐγκαταλείψεως αἰσθανόμενοι τὴν ἐκ τῆς μεταβολῆς ἀλλοίωσιν διορθώσωνται ἢ τὴν πρόθεσιν ἢ τὴν πρᾶξιν.

Ποτὲ μὲν γὰρ ἡ πρόθεσις ἐξαμαρτάνει, ὅταν κακῷ σκοπῷ γένηται· ποτὲ δὲ καὶ ἡ πρᾶξις, ὅταν διεφθαρμένως ἢ καθ᾽ ὃν δεῖ τρόπον μὴ γένηται. Ὅπερ συμβαίνει πολλάκις καὶ τὸν ἀκόλαστον διεφθαρμένῳ σκοπῷ ποιεῖν τὴν ἐλεημοσύνην ἐπὶ νεωτέρας διὰ τέλος αἰσχρόν, πρᾶξιν δὲ εὔλογον τῷ ὡς ὀρφανῇ καὶ μόνῃ καὶ ἀσκουμένῃ διδόναι ἐπικουρίαν. Συμβαίνει δὲ καὶ σκοπῷ ὀρθῷ ποιεῖν ἐλεημοσύνην εἰς νοσοῦντας ἢ γεγηρακότας ἢ ἐκπεπτωκότας πλούτου, φειδωλῶς δὲ καὶ μετὰ γογγυσμοῦ, καὶ εἶναι τὸν μὲν σκοπὸν ὀρθόν, τὴν δὲ πρᾶξιν τοῦ

σκοποῦ ἀναξίαν· δεῖ γὰρ τὸν ἐλεήμονα ἐν ἱλαρότητι ἐλεεῖν καὶ ἀφειδίᾳ.

Ἔλεγον δὲ καὶ τοῦτο ὅτι Προτερήματά εἰσιν ἐν πολλαῖς ψυχαῖς, ἐν ταῖς μὲν εὐφυία διανοίας, ἐν ταῖς δὲ ἐπιτηδειότης ἀσκήσεως. Ἀλλ᾽ ὅταν μὴ γένηται δι᾽ αὐτὸ τὸ καλὸν μήτε ἡ πρᾶξις μήτε ἡ εὐφυία, μήτε οἱ τὰ προτερήματα κεκτημένοι οὐ τῷ δοτῆρι τῶν ἀγαθῶν θεῷ ἐπιγράφουσιν, ἀλλὰ τῇ ἰδίᾳ προαιρέσει καὶ εὐφυίᾳ καὶ ἱκανότητι, οἱ τοιοῦτοι ἐγκαταλειφθέντες, ἢ εἰς αἰσχρουργίαν ἢ εἰς αἰσχροπάθειαν καὶ αἰσχύνην ληφθέντες, διὰ τῆς ἐπιγινομένης ταπεινώσεως καὶ αἰσχύνης ἠρέμα πως τὸν ἐπὶ τῇ νομιζομένῃ ἀρετῇ ἀποτρίβονται τῦφον. Ἐπειδὴ γὰρ ὁ πεφυσιωμένος ἐπὶ εὐφυίᾳ λόγων ἐπαιρόμενος οὐκ ἐπιγράφει θεῷ τὴν εὐφυίαν οὐδὲ τὴν χορηγίαν τῆς γνώσεως, ἀλλὰ τῇ ἑαυτοῦ ἀσκήσει ἢ φύσει, ἀφιστᾷ ὁ θεὸς τὸν ἄγγελον τῆς προνοίας ἀπ᾽ αὐτοῦ· οὗ ἀποστραφέντος καταδυναστευθεὶς ὑπὸ τοῦ ἀντικειμένου ὁ ἐπαιρόμενος ἐπὶ τῇ εὐφυίᾳ περιπίπτει τῇ ἀκολασίᾳ διὰ ὑπερηφανίας, ἵνα τοῦ μάρτυρος τῆς σωφροσύνης ἀφαιρεθέντος ἀναξιόπιστα γένηται τὰ λεγόμενα παρ᾽ αὐτῶν, φευγόντων τῶν εὐλαβῶν τὴν ἐκ τοῦ τοιούτου στόματος διδασκαλίαν καθάπερ πηγὴν βδέλλας ἔχουσαν· ὡς πληροῦσθαι τὸ γεγραμμένον· “Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; “

Ἐοίκασι γὰρ ἀληθῶς αἱ τῶν ἐμπαθῶν ψυχαὶ διαφόροις πηγαῖς· οἱ μὲν γαστρίμαργοι καὶ οἰνόφιλοι πηγαῖς βορβορώδεσιν· οἱ δὲ φιλάργυροι καὶ πλεονεκταὶ πηγαῖς βατράχους ἐχούσαις· οἱ δὲ βάσκανοι καὶ ὑπερήφανοι ἐπιτηδειότητα δὲ γνώσεως ἔχοντες, πηγαῖς ὄφεις τρεφούσαις, αἷς ἀεὶ μὲν ἐνλιμνάζει ὁ λόγος, μηδένα δὲ ἡδέως ἀρύεσθαι τούτων διὰ τὴν πικρίαν τοῦ ἤθους. Ὅθεν ὁ Δαβὶδ παρεκάλει τρία αἰτῶν, “χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν”. Ἄνευ γὰρ χρηστότητος γνῶσις ἄχρηστος·

καὶ ἐὰν μὲν διορθώσηται ὁ τοιοῦτος, τὴν αἰτίαν τῆς ἐγκαταλείψεως ἀποθέμενος, τουτέστι τὸν τῦφον, καὶ ἀναλάβῃ ταπεινοφροσύνην καὶ ἐπιγνῷ ἑαυτοῦ τὰ μέτρα, μήτε κατά τινος ἐπαιρόμενος, καὶ τῷ θεῷ εὐχαριστῶν, ἐπανέρχεται πάλιν εἰς αὐτὸν ἡ ἐμμάρτυρος γνῶσις. Λόγοι γὰρ πνευματικοὶ βίον σεμνὸν καὶ σώφρονα μὴ ἔχοντες συνιππάζοντα στάχυές εἰσιν ἀνεμόφθοροι, τὸ μὲν σχῆμα ἔχοντες, τὸ δὲ τρόφιμον ὑποκλαπέντες.

Πᾶσα οὖν πτῶσις, εἴτε διὰ γλώσσης εἴτε δι᾽ αἰσθήσεως εἴτε ἡ διὰ πράξεως, εἴτε ἡ δι᾽ ὅλου τοῦ σώματος, πρὸς τὴν ἀναλογίαν τῆς ὑπερηφανίας κατ᾽ ἐγκατάλειψιν γίνεται, θεοῦ φειδομένου τῶν ἐγκαταλιμπανομένων. Εἰ γὰρ μετὰ τῆς ἀκολασίας καὶ τῇ εὐφυίᾳ αὐτῶν μαρτυρήσει τῇ χορηγίᾳ τῶν λόγων ὁ κύριος, δαίμονας αὐτοὺς ἀπεργάζεται ἡ ὑπερηφανία ἐπαιρομένους μετὰ ἀκαθαρσίας.

Καὶ ταῦτα δὲ ἡμῖν ἔλεγον οἱ ἐκεῖνοι ἄνδρες· Ὅταν ἴδῃς, φησί, τινὰ βίῳ μὲν χαλεπὸν λόγῳ δὲ πιθανόν, μνημόνευσον τοῦ δαίμονος τοῦ ἀπὸ τῆς ἁγίας γραφῆς Χριστῷ ὁμιλοῦντος, καὶ τῆς λεγούσης μαρτυρίας· "Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς"· ᾧ ἡ φρόνησις μᾶλλον· εἰς βλάβην γεγένηται ἄλλης ἀρετῆς αὐτῷ μὴ συνδραμούσης. Δεῖ γὰρ τὸν πιστὸν καὶ ἀγαθὸν φρονεῖν μὲν ἃ δίδωσιν ὁ θεός, λαλεῖν δὲ ἃ φρονεῖ, ποιεῖν δὲ ἃ λαλεῖ.

Ἐὰν γὰρ μὴ τῇ ἀληθείᾳ τῶν λόγων ἡ τοῦ βίου συντρέχῃ συγγένεια, ἄρτος ἐστὶν ἄνευ ἁλὸς κατὰ τὸν Ἰώβ, ὃς οὐ βρωθήσεται οὐδαμῶς, ἢ βρωθεὶς ἄξει εἰς καχεξίαν τοὺς ἐσθίοντας αὐτόν· "Εἰ βρωθήσεται γάρ, φησίν, ἄρτος ἄνευ ἁλός; Καὶ εἰ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς" μὴ πεπληρωμένοις τῇ μαρτυρίᾳ τῶν ἔργων; Τῶν οὖν ἐγκαταλείψεων αἱ αἰτίαι ἡ μέν ἐστι διὰ κεκρυμμένην ἀρετήν, ἵνα φανερωθῇ, ὡς ἡ τοῦ Ἰώβ, τοῦ θεοῦ χρηματίζοντος αὐτῷ καὶ λέγοντος· "Μὴ ἀποποιοῦ μου τὸ κρῖμα, μηδὲ οἴου με ἄλλως σοι κεχρηματικέναι, ἀλλ᾽ ἵνα ἀναφανῇς δίκαιος".

Ἐμοὶ γὰρ ἦς γνωστὸς τῷ ὁρῶντι τὰ κρυπτά, ἐπειδὴ δὲ ἠγνόου τοῖς ἀνθρώποις, ὑπονοούντων σε διὰ τὸν πλοῦτον θεραπεύειν με, ἐπήγαγον τὴν περίστασιν, ἀπεθέρισα τὸν πλοῦτον, ἵνα δείξω αὐτοῖς τὴν εὐχάριστόν σου φιλοσοφίαν· ἡ δὲ δι᾽ ἀποτροπὴν ὑπερηφανίας, ὡς ἐπὶ τοῦ Παύλου· ἐγκατελείφθη γὰρ ὁ Παῦλος περιστάσεσι καὶ κολαφισμοῖς καὶ διαφόροις θλίψεσι βαλλόμενος, καὶ ἔλεγεν· "Ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι"·

μήποτε μετὰ τῶν θαυμάτων καὶ ἡ ἄνεσις καὶ ἡ εὐθηνία καὶ ἡ τιμὴ αὐτῷ προσγενομένη εἰς τῦφον αὐτὸν ἐμβάλλῃ διαβολικὸν χαυνωθέντα. Ἐγκατελείφθη καὶ ὁ παραλυτικὸς δι᾽ ἁμαρτίας, ὡς λέγει ὁ Ἰησοῦς· "Ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε". Ἐγκατελείφθη καὶ ὁ Ἰούδας προτιμήσας λόγου ἀργύριον, διὸ καὶ ἀπήγξατο. Ἐγκατελείφθη καὶ ὁ Ἠσαῦ καὶ περιέπεσεν ἀκολασίᾳ, προτιμήσας κόπρον ἐντέρων εὐλογίας πατρικῆς.

Ὡς ταῦτα πάντα συναισθανόμενον τὸν Παῦλον εἰπεῖν περί τινων μέν· "Ἐπειδὴ γὰρ οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα"· περὶ δὲ ἑτέρων τινῶν τῶν δοκούντων ἔχειν γνῶσιν θεοῦ μετὰ διεφθαρμένης γνώμης· "Ἐπειδὴ γὰρ γνόντες τὸν θεὸν οὐ ὡς θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας"· ὡς ἐκ τούτου γινώσκειν ἡμᾶς ὅτι ἀμήχανόν ἐστι πεσεῖν τινὰ εἰς ἀκολασίαν μὴ ἐγκαταλειφθέντα ὑπὸ τῆς προνοίας τοῦ θεοῦ.

Περὶ Ἐλπιδίου

Ἐν τοῖς κατὰ Ἱεριχὼ σπηλαίοις τῶν Ἀμορραίων, ἃ πάλαι λελαξεύκεισαν φεύγοντες Ἰησοῦν τὸν τοῦ Ναυῆ ἐκπορθοῦντα τὸ τηνικαῦτα τοὺς ἀλλοφύλους εἰς τὸ ὄρος τοῦ Δουκᾶ, Ἐλπίδιός τις Καππαδόκης ἐς ὕστερον πρεσβυτερίου ἠξιωμένος, τοῦ μοναστηρίου γενόμενος Τιμοθέου τοῦ Καππάδοκος χωρεπισκόπου, ἀνδρὸς ἱκανωτάτου, ἐλθὼν παρῴκησεν ἐν ἑνὶ τῶν σπηλαίων· ὃς τοσαύτην ἐγκράτειαν ἀσκήσεως ἐνεδείξατο ὡς καλύψαι σύμπαντας.

Ζήσας γὰρ εἰκοσιπέντε ἔτη τὰς κυριακὰς μετελάμβανε μόνον καὶ τὸ σάββατον, τὰς νύκτας ἑστὼς καὶ ψάλλων. Ὧ καθάπερ βασιλίσκῳ τῶν μελισσῶν ἐν μέσῳ συνῴκει τὸ πλῆθος τῆς ἀδελφότητος, κἀγὼ δὲ συνῴκησα αὐτῷ, καὶ οὕτω τὸ ὄρος ἐπόλισε· καὶ ἦν ἐκεῖ ἰδεῖν διαφόρους πολιτείας. Τοῦτόν ποτε τὸν Ἐλπίδιον ψάλλοντα ἐν νυκτὶ καὶ συμψαλλόντων ἡμῶν σκορπίος ἔπληξεν· ὃς πατήσας αὐτὸν οὐδὲ μετέστη τῆς τοῦ σχήματος στάσεως ἀλογήσας τῆς κατὰ τὸν σκορπίον ὀδύνης. Ἀδελφοῦ δέ τινος κατέχοντος μιᾶς τῶν ἡμερῶν κλήματος κόμμα, λαβὼν ἐν τῷ καθῆσθαι παρὰ τὴν ὄχθαν τοῦ ὄρους ἔχωσεν ὡς φυτεύων, καίπερ ἐν οὐ καιρῷ· ὃ εἰς τοσοῦτον ηὐξήθη καὶ γέγονεν ἄμπελος ὡς σκεπάζειν τὴν ἐκκλησίαν. Ὧ συνετελειώθη καὶ Αἰνέσιός τις ἀνὴρ ἀξιόλογος, καὶ Εὐστάθιος ὁ ἀδελφὸς αὐτοῦ. Ἐπὶ τοσοῦτον δὲ ἤλασεν ἀπαθείας ταριχευθεὶς τὸ σῶμα ὡς ἥλιον διαφαίνειν αὐτοῦ τῶν ὀστέων. Φέρεται δὲ διήγημα παρὰ τῶν σπουδαίων αὐτοῦ μαθητῶν ὅτι ἐπὶ δύσιν οὐδέποτε ἐστράφη τῷ ἐπικεῖσθαι τὸ ὄρος εἰς ὕψος τῇ τοῦ σπηλαίου θύρᾳ· οὐδὲ τὸν ἥλιον μετὰ ἕκτην ὥραν ὑπὲρ κορυφῆς γενόμενον καὶ κατὰ δύσιν κλίνοντα εἶδέ ποτε, οὐδὲ τοὺς κατὰ δυσμὰς ἀνατέλλοντας ἀστέρας, ἐπὶ εἰκοσιπέντε ἔτη· ὃς ἀφ᾽ οὗ εἰσῆλθεν εἰς τὸ σπήλαιον οὐ κατῆλθε τοῦ ὄρους μέχρις οὗ ἐτάφη.

Περὶ Σισιννίου

[Τούτου τοῦ Ἐλπιδίου μαθητὴς γέγονε Σισίννιος ὀνόματι, ἐξ οἰκετικῆς μὲν ὁρμώμενος τύχης ἐλεύθερος δὲ κατὰ τὴν πίστιν, τῷ γένει Καππαδόκης· δεῖ γὰρ καὶ τάδε σημαίνειν πρὸς δόξαν τοῦ ἐξευγενίζοντος ἡμᾶς Χριστοῦ, καὶ εἰς τὴν ἀληθινὴν ἀπάγοντος ἡμᾶς εὐγένειαν. Οὗτος χρονίσας παρὰ τῷ Ἐλπιδίῳ ἕκτον ἢ ἕβδομον ἔτος ἐς ὕστερον μνήματι ἑαυτὸν καθεῖρξε καὶ ἐπὶ τρία ἔτη ἐν τῷ μνήματι ἐν προσευχαῖς διετέλει, μὴ νύκτωρ μὴ μεθ᾽ ἡμέραν μὴ καθίσας, μὴ ἀναπεσών, μὴ βαδίσας ἔξω. Οὗτος κατηξιώθη χαρίσματος κατὰ δαιμόνων.

Νυνὶ δὲ ἐπανελθὼν ἐπὶ τὴν πατρίδα ἠξιώθη πρεσβυτερίου, συναγαγὼν ἀδελφότητα ἀνδρῶν τε καὶ γυναικῶν, διὰ τῆς σεμνῆς πολιτείας καὶ τὸ ἑαυτοῦ ἄρρεν τῆς ἐπιθυμίας ἐλάσας καὶ τὸ τῶν γυναικῶν θῆλυ τῇ ἐγκρατείᾳ φιμώσας, ὡς πληροῦσθαι τὸ γεγραμμένον· Ἐν Χριστῷ Ἰησοῦ οὐκ ἔνι ἄρσεν καὶ θῆλυ. Ἔστι δὲ καὶ φιλόξενος καίπερ ὢν ἀκτήμων, εἰς ἔλεγχον τῶν ἀμεταδότων πλουσίων.]

Περὶ Γαδδανᾶ

Ἔγνων γέροντα Παλαιστῖνόν τινα Γαδδανᾶν ὀνόματι, ὃς τὸν ἄστεγον ἔζησε βίον εἰς τοὺς περὶ τὸν Ἰορδάνην τόπους. Τούτῳ ποτὲ Ἰουδαῖοι κατὰ ζῆλον ἐπιθέμενοι ἐν τοῖς περὶ τὴν Νεκρὰν θάλασσαν τόποις ξίφος γυμνώσαντες ἐπῆλθον. Καὶ συνέβη πρᾶγμα τοιοῦτον· ἐν τῷ τὸ ξίφος ἐπᾶραι καὶ βουληθῆναι σπᾶσαι κατὰ τοῦ Γαδδανᾶ ἀπεξηράνθη ἡ χεὶρ τοῦ τὸ ξίφος γυμνώσαντος, πεσόντος τοῦ ξίφους ἀπὸ τῆς δεξιᾶς τοῦ ἔχοντος.

Περὶ Ἠλία

Ἠλίας πάλιν μονάζων ἐν τοῖς αὐτοῖς τόποις ἐν σπηλαίῳ κατῴκει σεμνοτάτου βίου καὶ ἐνθέσμου ὑπάρχων. Οὗτος μιᾶς τῶν ἡμερῶν ἀδελφῶν αὐτῷ ἐπεληλυθότων πλειόνων, ἦν γὰρ πάροδος ὁ τόπος, ἐλείφθη ἄρτων. Καὶ ἐπληροφόρησεν ἡμᾶς ὅτιπερ Λιποθυμήσας ἐν τῷ πράγματι εἰσελθὼν ἐν τῷ κελλίῳ τρεῖς εὗρον ἄρτους· καὶ φαγόντων εἴκοσι ὄντων εἰς κόρον ἀπ᾽ αὐτῶν εἷς περιέσσευσεν, ᾧ ἐχρησάμην ἐπὶ εἰκοσιπέντε ἡμέρας.

Περὶ Σαβᾶ

[Σαβᾶς τις ὀνόματι, κοσμικός, τῷ γένει Ἱεριχούντιος, γυναῖκα ἔχων, τοσοῦτον ἐγένετο φιλομόναχος ὡς κυκλεύειν ἀνὰ τὰς κέλλας καὶ τὴν ἔρημον ἐν ταῖς νυξί, καὶ καθ᾽ ἑκάστην μονὴν ἔξω τιθέναι φοινίκων μόδιον ἕνα καὶ λαχάνων τὸ αὔταρκες, διὰ τὸ μὴ ἐσθίειν

ἄρτον τοὺς ἀσκητὰς τοὺς κατὰ τὸν Ἰορδάνην. Τούτῳ μιᾶς τῶν ἡμερῶν λέων ὑπήντησε, καὶ καταλαβὼν αὐτὸν ἀπὸ σημείου ἑνὸς ὦσε καὶ κατέστρεψε, καὶ τὸν ὄνον λαβὼν ἀνεχώρησεν.]

Περὶ Ἀβραμίου

Ἀβράμιός τις γέγονε τῷ γένει Αἰγύπτιος, τραχύτατον καὶ ἀγριώτατον βίον ζήσας ἐν τῇ ἐρήμῳ. Ὅς πληγεὶς τὴν φρένα ὑπὸ ἀκαίρου οἰήσεως ἐλθὼν ἐν τῇ ἐκκλησίᾳ διεμάχετο τοῖς πρεσβυτέροις λέγων ὅτι Πρεσβύτερος ἐχειροτονήθην παρὰ τοῦ Χριστοῦ ταύτῃ τῇ νυκτί, καὶ δέξασθέ με ἱερατεύοντα. Ὅν οἱ πατέρες διαχωρίσαντες τῆς ἐρήμου, καὶ ἐπὶ τὸν παχύτερον καὶ ἀδιαφορώτερον ἀγαγόντες βίον, ἀπεθεράπευσαν τῆς ὑπερηφανίας, εἰς γνῶσιν αὐτὸν ἀγαγόντες τῆς οἰκείας ἀσθενείας παιχθέντα ὑπὸ τοῦ δαίμονος.

Ἔτι περὶ τῆς ἁγίας Μελανίου

Περὶ τῆς θαυμασίας καὶ ἁγίας Μελανίου ἀκροθιγῶς μὲν καὶ ἄνω διηγησάμην, οὐδὲν ἧττον καὶ τὰ λείψανα νῦν ἐξυφανῶ τῷ λόγῳ. Αὕτη μὲν ὅσην ὕλην ἀνήλωσεν ἐν τῷ θείῳ ζήλῳ καθάπερ πυρὶ φλέξασα οὐκ ἐμὸν τὸ διηγήσασθαι ἀλλὰ καὶ τῶν τὴν Περσίδα οἰκούντων. Τῆς γὰρ εὐποιίας αὐτῆς οὐκ ἠστόχησεν οὐδείς, οὐκ ἀνατολὴ οὐ δύσις οὐκ ἄρκτος οὐ μεσημβρία.

Τριακοστὸν μὲν γὰρ καὶ ἕβδομον ἔτος ξενιτεύσασα ἰδίοις ἀναλώμασιν ἐπήρκεσε καὶ ἐκκλησίαις καὶ μοναστηρίοις καὶ ξένοις καὶ φυλακαῖς, χορηγούντων αὐτῇ καὶ τῶν πρὸς γένος καὶ αὐτοῦ τοῦ υἱοῦ καὶ τῶν ἰδίων ἐπιτρόπων τὰ χρήματα. Ἥτις ἐπὶ τοσοῦτον ἐγκαρτερήσασα τῇ ξενιτείᾳ οὐδὲ σπιθαμὴν ἐκτήσατο γῆς, οὐκ ἐξειλκύσθη ὑπὸ τῆς τοῦ υἱοῦ ἐπιθυμίας, οὐκ ἐμέρισεν αὐτὴν τῆς πρὸς τὸν Χριστὸν ἀγάπης ὁ τοῦ μονογενοῦς υἱοῦ πόθος· ἀλλὰ ταῖς προσευχαῖς αὐτῆς ὁ νεώτερος εἰς ἄκρον παιδείας καὶ τρόπων ἤλασε καὶ γάμον τὸν ἐπίδοξον, καὶ ἔντος τῶν κοσμικῶν ἀξιωμάτων ἐγένετο· ὃς ἔσχε καὶ τέκνα δύο. Μετὰ πολλοὺς οὖν χρόνους ἀκούσασα περὶ τῆς καταστάσεως τῆς ἐγγόνης, ὅτι ἔγημε καὶ προαιρεῖται ἀποτάξασθαι, φοβηθεῖσα μήποτε περιρραγῶσι κακοδιδασκαλίᾳ ἢ αἱρέσει ἢ κακοζωίᾳ, ἑξήκοντα ἐτῶν γραῦς ἐνέβαλεν ἑαυτὴν εἰς πλοῖον, καὶ ἀπὸ τῆς Καισαρέων ἀποπλεύσασα δι᾽ εἴκοσι ἡμερῶν παραγίνεται εἰς τὴν Ῥώμην.

Κἀκεῖσε συντυχοῦσα τὸν μὲν μακαριώτατον ἄνδρα καὶ ἀξιόλογον Ἀπρονιανόν, Ἕλληνα ὄντα, κατήχησε καὶ χριστιανὸν ἐποίησε, πείσασα αὐτὸν καὶ ἐγκρατεύεσθαι μετὰ τῆς ἰδίας γυναικός, ἀνεψιᾶς ταύτης, καλουμένης Ἀβίτας. Στερεώσασα δὲ καὶ τὴν ἰδίαν ἐγγόνην Μελάνιον σὺν τῷ ταύτης ἀνδρὶ Πινιανῷ, καὶ κατηχήσασα Ἀλβίναν τὴν ἑαυτῆς νύμφην, γυναῖκα δὲ τοῦ υἱοῦ αὐτῆς, καὶ παρασκευάσασα πάντας τούτους διαπωλῆσαι τὰ ὑπάρχοντα αὐτοῖς, τῆς Ρώμης ἐξήγαγε, καὶ ἐπὶ τὸν σεμνὸν καὶ γαληνιῶντα λιμένα τοῦ βίου ἤγαγε.

Καὶ οὕτως πρὸς πάντας ἐθηριομάχησε τοὺς συγκλητικοὺς καὶ τὰς ἐλευθέρας κωλύοντας αὐτὴν ἐπὶ τῇ ἀποταξίᾳ τῶν λοιπῶν οἴκων. Ἡ δὲ ἔλεγεν αὐτοῖς· Παιδία, γέγραπται πρὸ τετρακοσίων ἐτῶν ὅτι "Ἐσχάτη ὥρα ἐστί". Τί ἐμφιλοχωρεῖτε τῇ ματαιότητι τοῦ βίου, μήποτε φθάσωσιν αἱ ἡμέραι τοῦ ἀντιχρίστου, καὶ μὴ ἀπολαύσητε ὑμῶν τοῦ πλούτου καὶ τῶν προγονικῶν πραγμάτων.

Καὶ τούτους πάντας ἐλευθερώσασα ἤγαγεν ἐπὶ τὸν μονήρη βίον. Καὶ τὸν Πουπλικούλα δὲ υἱὸν τὸν νεώτερον κατηχήσασα ἤγαγεν ἐπὶ τὴν Σικελίαν· καὶ πάντα αὐτῆς τὰ ὑπόλοιπα διαπωλήσασα καὶ τὰς τιμὰς λαβοῦσα ἦλθεν ἐπὶ τὰ Ἱεροσόλυμα· καὶ διανείμασα τὰς ὕλας ἐντὸς τεσσαράκοντα ἡμερῶν ἐκοιμήθη ἐν γήρᾳ καλῷ καὶ βαθυτάτῃ πραότητι, καταλείψασα καὶ μοναστήριον ἐν Ἱεροσολύμοις καὶ τὰ τούτου ἀναλώματα.

Ὡς δὲ πάντες οὗτοι ἀπέστησαν τῆς Ρώμης θύελλά τις βαρβαρική, ἡ καὶ ἐν προφητείαις πάλαι κειμένη, ἐπέστη τῇ Ρώμῃ, καὶ οὐκ εἴασεν οὐδὲ τοὺς ἐπ᾽ ἀγορᾶς ἀνδριάντας χαλκοῦς, ἀλλὰ πάντα πορθήσασα βαρβαρικῇ ἀπονοίᾳ παρέδωκεν ἀπωλείᾳ· ὡς γενέσθαι τὴν Ρώμην, τὴν ἐν χιλίοις ἔτεσι καὶ διακοσίοις φιλοκαληθεῖσαν, ἐρείπιον. Τότε οἱ κατηχηθέντες καὶ οἱ ἐναντιωθέντες τῇ κατηχήσει ἐδόξασαν τὸν θεὸν τὸν τῇ μεταβολῇ τῶν πραγμάτων πείσαντα τοὺς ἀπίστους ὅτι τῶν ἄλλων πάντων αἰχμαλωτισθέντων οὗτοι μόνοι διεσώθησαν οἱ οἶκοι, ὁλοκαυτώματα γενόμενοι τῷ κυρίῳ σπουδῇ Μελανίου.

Συνέβη ἅμα ὁδεύειν ἡμᾶς ἀπὸ Αἰλίας ἐπὶ τὴν Αἴγυπτον, προπέμποντας τὴν μακαρίαν Σιλβανίαν τὴν παρθένον γυναικαδέλφην Ρουφίνου τοῦ ἀπὸ ἐπάρχων· ἐν οἷς ἦν σὺν ἡμῖν καὶ Ἰουβῖνος, τὸ τηνικαῦτα μὲν διάκονος νυνὶ δὲ ἐπίσκοπος τῆς Ἀσκάλωνος ἐκκλησίας, ἀνὴρ εὐλαβὴς καὶ φιλόλογος. Σφοδροτάτου οὖν καύματος καταλαβόντος ἡμᾶς καὶ καταντησάντων ἡμῶν εἰς τὸ Πηλούσιον, ἔτυχε τὸν Ἰουβῖνον νιπτῆρα λαβόντα νίψασθαι τὰς

χεῖρας καὶ τοὺς πόδας πυγμῇ ὕδατι ψυχροτάτῳ, καὶ μετὰ τὸ νίψασθαι δερμοτύλῳ ἐπαναπαῆναι ῥιφέντι κατὰ τοῦ ἐδάφους.

Ἐπιστᾶσα ἐκείνη ὡς μήτηρ σοφὴ υἱοῦ γνησίου ἐπέσκωπτεν αὐτοῦ τῇ ἁπαλότητι λέγουσα· Πῶς θαρρεῖς ταύτην ἄγων τὴν ἡλικίαν ἔτι ζέοντος τοῦ αἵματός σου οὕτω φιλοκαλεῖν τὸ σαρκίον, μὴ αἰσθανόμενος τῶν ἐξ αὐτοῦ τικτομένων βλαβερῶν; Θάρσει, θάρσει ὅτι ἑξηκοστὸν ἄγω ἔτος τῆς ἡλικίας, ἐκτὸς τῶν ἄκρων τῶν χειρῶν οὐ ποῦς μου ἥψατο ὕδατος οὐκ ὄψις οὐδὲ ἓν τῶν μελῶν, καίπερ διαφόροις ληφθεῖσα ἀρρωστίαις, καὶ ὑπὸ τῶν ἰατρῶν ἀναγκαζομένη οὐκ ἠνεσχόμην ἀποδοῦναι τῇ σαρκὶ τὸ ἔθος, οὐκ ἐπὶ κλίνης ἀναπαεῖσα οὐ λεκτικίῳ ὥδευσά που.

Αὕτη λογιωτάτη γενομένη ἣ καὶ φιλήσασα τὸν λόγον τὰς νύκτας εἰς ἡμέρας μετέβαλε πᾶν σύγγραμμα τῶν ἀρχαίων ὑπομνηματιστῶν διελθοῦσα· ἐν οἷς Ὠριγένους μυριάδας τριακοσίας, Γρηγορίου καὶ Στεφάνου καὶ Πιερίου καὶ Βασιλείου καὶ ἑτέρων τινῶν σπουδαιοτάτων μυριάδας εἰκοσιπέντε· οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχε διελθοῦσα, ἀλλὰ πεπονημένως ἕκαστον βιβλίον ἕβδομον ἢ ὄγδοον διελθοῦσα. Διὸ καὶ ἠδυνήθη ψευδωνύμου γνώσεως ἐλευθερωθεῖσα πτερωθῆναι τῇ χάριτι τῶν λόγων ἐλπίσι χρησταῖς ἑαυτὴν ὄρνιν ἐργασαμένη πνευματικὴν διαπεράσασα πρὸς τὸν Χριστόν.

Περὶ Ὀλυμπιάδος

Ταύτης κατ᾽ ὄπιν καὶ ἴχνος ἡ σεμνοτάτη Ὀλυμπιὰς καὶ ζηλωτικωτάτη βαίνουσα ἠκολούθησε τῇ γνώμῃ· θυγάτηρ μὲν γενομένη Σελεύκου τοῦ ἀπὸ κομήτων, ἐγγόνη δὲ Ἀβλαβίου τοῦ ἀπὸ ἐπάρχων, νύμφη δὲ πρὸς ὀλίγας ἡμέρας Νεβριδίου τοῦ ἀπὸ ἐπάρχων τῆς πόλεως, γυνὴ δὲ οὐδενός· λέγεται γὰρ κεκοιμῆσθαι παρθένος, ἀλλὰ σύμβιος τοῦ λόγου τῆς ἀληθείας.

Ἥτις πάντα διασκορπίσασα ἑαυτῆς τὰ ὑπάρχοντα διέδωκε πτωχοῖς· οὐ μικροὺς ἀγῶνας ἀγωνισαμένη ὑπὲρ ἀληθείας, πολλάς τε κατηχήσασα γυναῖκας, καὶ σεμνολογήσασα πρεσβυτέρους, καὶ τιμήσασα ἐπισκόπους, καὶ ὁμολογίας κατηξιώθη τῆς ὑπὲρ ἀληθείας· ἧς τὸν βίον ἐν ὁμολογηταῖς κρίνουσιν οἱ Κωνσταντινούπολιν οἰκοῦντες, οὕτως τελευτησάσης καὶ πρὸς κύριον ἐκδημησάσης ἐν τοῖς κατὰ θεὸν ἀγῶσιν.

Περὶ Κανδίδας καὶ Γελασίασ

Ἧς κατ᾽ ὄπιν καὶ ὡς ἐν ἐσόπτρῳ ἡ μακαρία Κανδίδα, ἡ Τραϊανοῦ τοῦ στρατηλάτου θυγάτηρ, ἀξίως βιώσασα καὶ εἰς ἄκρον σεμνότητος

ἐλάσασα, ἐκκλησίας τε καὶ ἐπισκόπους τιμήσασα, τὴν μὲν ἰδίαν θυγατέρα κατηχήσασα εἰς τὸν τῆς παρθενίας κλῆρον προέπεμψε πρὸς Χριστόν, δῶρον τῶν ἑαυτῆς λαγόνων, ἐς ὕστερον σωφροσύνη καὶ καὶ τοῖς τῶν χρημάτων σκορπισμοῖς ἐπακολουθήσασα τῇ ἑαυτῆς θυγατρί.

Ταύτην ἔγνων ἐγὼ διὰ πάσης νυκτὸς κοπιῶσαν καὶ ἀλήθουσαν ταῖς χερσὶν ἐπὶ καθαιρέσει τοῦ σώματος, διηγουμένην ὅτι Τῆς νηστείας μὴ ἐπαρκούσης σύμμαχον δίδωμι καὶ τὴν ἐπίμοχθον ἀγρυπνίαν, ἵνα καταλύσω τὸ φρύαγμα τοῦ Ἠσαῦ. Ἥτις ἐναίμων μὲν καὶ ἐμψύχων εἰς ἄκρον ἀπέσχετο, ἰχθύος δὲ καὶ λαχάνων μετ᾽ ἐλαίου λαμβάνουσα ἐν ἑορτῇ, οὕτω διετέλεσεν ὀξυκράματι καὶ ξηρῷ ἄρτῳ ἀρκουμένη.

Ταύτης κατὰ ζῆλον ὥδευσεν εὐσεβῶς τὸν τῆς παρθενίας ζυγὸν ἑλκύσασα ἡ σεμνοτάτη Γελασία, θυγάτηρ τριβούνου γενομένη· ἧς ἀρετὴ φέρεται αὕτη, ὅτι ἥλιος οὐδέποτε ἔδυ ἐπὶ λύπῃ αὐτῆς, οὐ κατὰ οἰκέτου, οὐ κατὰ θεραπαινίδος, οὐ κατά τινος ἑτέρου.

Περὶ τῶν ἐν Ἀντινόῳ

Ἐν Ἀντινόῳ τῆς Θηβαΐδος διατρίψας τέσσαρα ἔτη ἐν τοσούτῳ χρόνῳ καὶ γνῶσιν εἴληφα τῶν ἐκεῖ μοναστηρίων. Καθέζονται μὲν γὰρ ἀμφὶ τὴν πόλιν ἄνδρες ὡς χίλιοι διακόσιοι, ταῖς χερσὶν ἀποζῶντες, εἰς ἄκρον ἀσκούμενοι. Ἐν τούτοις εἰσὶ καὶ ἀναχωρηταὶ ἐν τοῖς σπηλαίοις τῶν πετρῶν ἑαυτοὺς ἐγκαθείρξαντες· ἐν οἷς ἐστι Σολομών τις, ἀνὴρ πραότατος καὶ σώφρων καὶ ὑπομονῆς ἔχων χάρισμα· ὃς ἔλεγεν ἔχειν πεντηκοστὸν ἔτος ἐν τῷ σπηλαίῳ, ἐπαρκέσας ἑαυτῷ ἐκ τοῦ ἔργου τῶν χειρῶν καὶ ἐκμαθὼν πᾶσαν ἁγίαν γραφήν.

Δωρόθεος ἐν ἄλλῳ σπηλαίῳ οἰκῶν πρεσβύτερος, ὑπερβολῇ ἀγαθώτατος, καὶ αὐτὸς ζήσας τὸν ἀνεπίληπτον βίον, πρεσβυτερίου δὲ ἠξιωμένος καὶ λειτουργῶν τοῖς ἀδελφοῖς τοῖς ἐν τοῖς σπηλαίοις. Τούτῳ ποτὲ Μελάνιον ἡ νεωτέρα, τῆς μεγάλης Μελανίου ἐγγόνη, περὶ ἧς ἐς ὕστερον λέξω, ἀπέστειλε πεντακόσια νομίσματα, παρακαλέσασα αὐτὸν διακονῆσαι τοῖς ἐκεῖ ἀδελφοῖς. Ὁ δὲ τρία λαβὼν μόνα, τὰ λοιπὰ παρέπεμψε Διοκλεῖ τῷ ἀναχωρητῇ, ἀνδρὶ γνωστικωτάτῳ, λέγων ὅτι Σοφώτερός μού ἐστιν ὁ ἀδελφὸς Διοκλῆς, καὶ δύναται αὐτὰ ἀβλαβῶς διοικῆσαι, ἐπιστάμενος τοὺς ὀφείλοντας ἐπικουρηθῆναι εὐλόγως· ἐγὼ γὰρ τούτοις ἀρκοῦμαι.

Οὗτος ὁ Διοκλῆς, ἀπὸ γραμματικῆς μὲν ἀχθεὶς τὰ πρῶτα ἐς ὕστερον δὲ δοὺς ἑαυτὸν εἰς φιλοσοφίαν, τῷ χρόνῳ τῆς χάριτος αὐτὸν ἑλκυσάσης, εἰς εἰκοστὸν ὄγδοον ἔτος ἄγων τὴν ἡλικίαν ἀπετάξατο μὲν τῶν ἐγκυκλίων μαθημάτων, συνετάξατο δὲ τῷ Χριστῷ, καὶ αὐτὸς ἔχων τριακοστὸν πέμπτον ἔτος ἐν τοῖς σπηλαίοις. Ἔλεγεν ἡμῖν ὅτι Νοῦς ἀποστὰς θεοῦ ἐννοίας ἢ δαίμων γίνεται ἢ κτῆνος. Ἡμῶν δὲ φιλοπευστούντων τὸν τρόπον ὃν εἶπεν, ἔλεγεν οὕτως ὅτι Νοῦς ἀποστὰς θεοῦ ἐννοίας ἐξ ἀνάγκης περιπίπτει ἐπιθυμίᾳ ἢ θυμῷ· καὶ τὴν μὲν ἐπιθυμίαν ἔλεγε κτηνώδη, τὸν δὲ θυμὸν δαιμονιώδη.

Ἐμοῦ δὲ ἀντιλέγοντος ὅτι Πῶς δυνατὸν ἀδιαλείπτως εἶναι νοῦν ἀνθρώπινον μετὰ θεοῦ; ἔλεγεν ὁ αὐτὸς ὅτι Ἐν οἵῳ δ᾽ ἂν νοήματι ἢ πράγματι εἴη ἡ ψυχὴ εὐσεβεῖ καὶ θεϊκῷ, μετὰ θεοῦ ἐστιν.

Τούτου πλησίον Καπίτων τις ἔμενεν ἀπὸ ληστῶν· ὃς πεντήκοντα ἔτη πληρώσας ἐν τοῖς σπηλαίοις ἀπὸ τεσσάρων μιλίων τῆς πόλεως Ἀντινόου οὐ κατῆλθεν ἐκ τοῦ σπηλαίου οὐδὲ μέχρι τοῦ ποταμοῦ τοῦ Νείλου, λέγων μηδέπω δύνασθαι συντυγχάνειν τοῖς ὄχλοις τῷ ἀκμὴν ἀντιπράττειν αὐτῷ τὸν ὑπεναντίον.

Σὺν τούτοις ἑωράκαμεν καὶ ἕτερον ἀναχωρητὴν ὁμοίως καὶ αὐτὸν ἐν σπηλαίῳ· ὃς οἴστρῳ κενοδοξίας ἐμπαιζόμενος ὑπὸ ὀνείρων, ἀντέπαιζε τοὺς ἀπατωμένους, ἀνέμους ποιμαίνων. Καὶ τὴν μὲν κατὰ σῶμα σωφροσύνην εἶχε καὶ διὰ τὸ γῆρας καὶ διὰ τὸν χρόνον, τάχα καὶ διὰ τὴν κενοδοξίαν· διέφθαρτο δὲ αὐτοῦ τὸ φρονοῦν τῇ ἀκολασίᾳ τῆς κενοδοξίας.

Περὶ ἀμμᾶ Ταλίδος καὶ Ταώρ

Ἐν ταύτῃ τῇ πόλει Ἀντινόῳ ἐστὶ μοναστήρια γυναικῶν δώδεκα, ἐν οἷς καὶ συντετύχηκα ἀμμᾷ Ταλίδι γραΐδι ὀγδοήκοντα ἔτη ἐχούσῃ ἐν τῇ ἀσκήσει ὡς καὶ αὐτὴ καὶ αἱ γειτνιῶσαι διηγοῦντο. Ταύτῃ συνῴκουν ἑξήκοντα νεάνιδες αἳ τοσοῦτον αὐτὴν ἠγάπων ὡς μηδὲ κλεῖδα ἐφεστάναι τῇ αὐλῇ τοῦ μοναστηρίου, ὡς ἐν ἄλλοις, ἀλλὰ κρατεῖσθαι αὐτὰς ὑπὸ τῆς ἀγάπης ταύτης. Εἰς τοσοῦτον δὲ ἀπαθείας ἤλασεν ἡ γραῦς ὡς εἰσελθόντι μοι καὶ καθεσθέντι ἐλθεῖν καὶ συγκαθεσθῆναί μοι, καὶ τὰς χεῖρας αὐτῆς ἐπιθεῖναι τοῖς ὤμοις μου ὑπερβολῇ παρρησίας.

Ἐν τούτῳ τῷ μοναστηρίῳ παρθένος μαθήτρια ταύτης, Ταὼρ ὀνόματι, ἔχουσα τριάκοντα ἔτη ἐν τῷ μοναστηρίῳ, ἱμάτιον καινὸν ἢ μαφόριον ἢ ὑπόδημα λαβεῖν οὐκ ἠθέλησεν οὐδέποτε, λέγουσα ὅτι Οὐ χρείαν ἔχω, ἵνα μὴ ἀναγκασθῶ καὶ προελθεῖν. Αἱ μὲν γὰρ ἄλλαι

πᾶσαι κατὰ κυριακὴν προέρχονται ἐν τῇ ἐκκλησίᾳ χάριν τῆς κοινωνίας· ἐκείνη δὲ μένει ῥακοδυτοῦσα ἐν τῇ μονῇ, ἀδιαλείπτως ἐν τῷ ἔργῳ καθεζομένη. Οὕτω δὲ εὐφυεστάτην εἶχε τὴν ὄψιν ὡς ἐγγὺς γενέσθαι καὶ τὸν πάνυ στεῤῥὸν ἀπατᾶσθαι τῷ ταύτης κάλλει, εἰ μὴ φρουρὸν εἶχεν ὑπερβάλλοντα τὴν σωφροσύνην εἰς αἰδῶ καὶ φόβον συνωθοῦσα τῇ κοσμιότητι τὸν ἀκόλαστον ὀφθαλμόν.

Περὶ παρθένου τινὸς καὶ Κολλούθου τοῦ μάρτυροσ

Ἄλλη τις γειτνιῶσά μοι, ἧς τὴν ὄψιν οὐχ ἑώρακα, προῆλθε γὰρ οὐδέποτε, ὡς λέγουσιν, ἀρ᾽ οὗ καὶ ἀπετάξατο· πληρώσασα δὲ ἑξήκοντα ἔτη ἐν τῇ ἀσκήσει μετὰ τῆς μητρὸς τῆς ἰδίας, ἐς ὕστερον ἔμελλε μεταβαίνειν τὸν βίον. Καὶ παραστὰς αὐτῇ ὁ μάρτυς ὁ ἐν τῷ τόπῳ, Κόλλουθος ὀνόματι, λέγει αὐτῇ· Σήμερον μέλλεις ὁδεύειν πρὸς τὸν δεσπότην καὶ ὁρᾶν πάντας τοὺς ἁγίους· ἐλθοῦσα οὖν ἀρίστησον μεθ᾽ ἡμῶν ἐν τῷ μαρτυρίῳ. Ἀναστᾶσα οὖν ὄρθρου καὶ ἐνδυσαμένη καὶ λαβοῦσα ἐν τῇ σπυρίδι τῇ ἑαυτῆς ἄρτον καὶ ἐλαίας καὶ λεπτολάχανα, μετὰ τοσαῦτα ἔτη ἐξελθοῦσα καὶ ἀπελθοῦσα εἰς τὸ μαρτύριον ηὔξατο.

Καὶ καιρὸν ἐπιτηρήσασα τῆς πάσης ἡμέρας ἐν ᾧ οὐδεὶς ἦν ἔνδον, καθεσθεῖσα προσκαλεῖται τὸν μάρτυρα λέγουσα· Εὐλόγησόν μου τὰ βρώματα, ἅγιε Κόλλουθε, καὶ συνόδευσόν μοι ταῖς προσευχαῖς σου. Φαγοῦσα οὖν καὶ πάλιν προσευξαμένη ἦλθε περὶ ἡλίου δυσμὰς ἐν τῷ οἴκῳ. Καὶ δοῦσα τῇ μητρὶ τῇ ἑαυτῆς σύγγραμμα Κλήμεντος τοῦ Στρωματέως εἰς τὸν προφήτην Ἀμώς, εἶπε· Δὸς αὐτὸ τῷ ἐπισκόπῳ τῷ ἐξωρισμένῳ, καὶ εἰπὲ αὐτῷ· “Εὖξαι περὶ ἐμοῦ· ὁδεύω γάρ”. Καὶ ἐτελεύτησεν ἐν αὐτῇ τῇ νυκτὶ μὴ πυρέξασα μὴ κεφαλαλγήσασα, ἀλλ᾽ ἑαυτὴν ἐνταφιάσασα.

Περὶ Μελανίου τῆς νέας

Ἐπειδὴ προϋπεσχόμην ἀνωτέρω διηγήσασθαι περὶ τῆς παιδὸς Μελανίου ἀναγκαίως τὸ χρέος ἀποδίδωμι· οὐ γὰρ δίκαιον ὑπεριδόντας τὸ αὐτῆς νεώτερον ἐν σαρκὶ τοσαύτην ἀρετὴν ἀστηλίτευτον καταῤῥῖψαι, γραΐδων ἀτεχνῶς καὶ σπουδαίων κατὰ πολὺ διαφέρουσαν. Ταύτην βιασάμενοι οἱ γονεῖς ἤγαγον ἐπὶ γάμον ἐκ τῶν πρώτων τῆς Ῥώμης· ἥτις ἀεὶ τοῖς διηγήμασι τῆς ἑαυτῆς μάμμης νυττομένη, ἐπὶ τοσοῦτον ἐκεντρώθη ὡς μὴ δυνηθῆναι ἐξυπηρετήσασθαι τῷ γάμῳ.

Γενομένων γὰρ αὐτῇ παιδίων ἀῤῥένων δύο, καὶ ἀμφοτέρων τελευτησάντων, εἰς τοσοῦτον μῖσος τοῦ γάμου ἤλασεν ὡς εἰπεῖν τῷ

ἀνδρὶ αὐτῆς Πινιανῷ, τῷ υἱῷ Σευήρου τοῦ ἀπὸ ἐπάρχων, ὅτι Εἰ μὲν αἱρῆσαι συνασκηθῆναι κἀμοὶ κατὰ τὸν τῆς σωφροσύνης λόγον, καὶ δεσπότην σε οἶδα καὶ κύριον τῆς ἐμῆς ζωῆς· εἰ δὲ βαρύ σοι τοῦτο καταφαίνεται ὡς νεωτέρῳ, πάντα μου λαβὼν τὰ πράγματα ἐλευθέρωσόν μου τὸ σῶμα, ἵνα πληρώσω μου τὴν κατὰ θεὸν ἐπιθυμίαν, κληρονόμος γενομένη τῆς μάμμης τοῦ ζήλου, ἧς καὶ τὸ ὄνομα ἔχω.

Εἰ γὰρ ἐβούλετο παιδοποιεῖν ἡμᾶς ὁ θεός, οὐκ ἄν μου ἐλάμβανεν ἄωρα τὰ τεχθέντα. Ἐπὶ πολὺ οὖν ζυγομαχησάντων αὐτῶν ἐς ὕστερον ὁ θεὸς κατοικτείρας τὸν νέον ἐνέθηκεν καὶ τούτῳ ζῆλον ἀποταξίας, ὡς ἐπ᾽ αὐτοὺς πληροῦσθαι τὸ γεγραμμένον· Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; Γαμηθεῖσα οὖν ἐπὶ δεκατριῶν ἐτῶν καὶ συζήσασα τῷ ἀνδρὶ ἔτη ἑπτά, τῷ εἰκοστῷ ἀπετάξατο. Καὶ πρῶτον μὲν τὰ σηρικὰ ἡμιφόρια τοῖς θυσιαστηρίοις ἐδωρήσατο· τοῦτο δὲ καὶ ἡ ἁγία πεποίηκεν Ὀλυμπιάς.

Τὰ δὲ λοιπὰ σηρικὰ συγκόψασα διάφορα ἐποίησεν ἐκκλησιαστικὰ ἔπιπλα. Τὸν δὲ ἄργυρον καὶ τὸν χρυσὸν ἐμπιστεύσασα Παύλῳ τινὶ πρεσβυτέρῳ, μοναχῷ Δαλματίας, διὰ θαλάσσης ἀπέστειλεν ἐν τῇ ἀνατολῇ, Αἰγύπτῳ καὶ Θηβαΐδι νομίσματα μύρια, Ἀντιοχείᾳ καὶ τοῖς μέρεσι ταύτης μύρια νομίσματα, Παλαιστίνῃ νομίσματα μύρια πεντακισχίλια, ταῖς ἐν νήσοις ἐκκλησίαις καὶ τοῖς ἐν ἐξορίαις νομίσματα μύρια, ταῖς κατὰ τὴν δύσιν ἐκκλησίαις ὡσαύτως δι᾽ ἑαυτῆς χορηγοῦσα, ταῦτα πάντα καὶ τετραπλασίονα τούτων ὡς ἐπὶ θεοῦ ἐξαρπάσασα ἐκ τοῦ στόματος λέοντος Ἀλαρίχου τῇ πίστει τῇ ἑαυτῆς. Ἠλευθέρωσε δὲ τὰ βουληθέντα ἀνδράποδα ὀκτακισχίλια, τὰ λοιπὰ γὰρ οὐκ ἐβουλήθησαν ἀλλ᾽ ἡρήσαντο δουλεῦσαι τῷ ἀδελφῷ αὐτῆς· ᾧ παρεχώρησε πάντας ἀπὸ τριῶν νομισμάτων λαβεῖν. Τὰ δὲ κτήματα τὰ ἐν ταῖς Σπανίαις καὶ Ἀκυτανίᾳ καὶ Ταρακωνησίᾳ καὶ Γαλλίαις διαπωλήσασα, τὰ ἐν Σικελίᾳ μόνα καὶ Καμπανίᾳ καὶ Ἀφρικῇ ἑαυτῇ καταλείψασα ἐπελάβετο εἰς χορηγίαν μοναστηρίων. Αὕτη αὐτῆς ἡ σοφία ἡ περὶ τοῦ φορτίου τῶν χρημάτων. Ἡ δὲ ἄσκησις αὐτῆς ἦν αὕτη· ἤσθιε μίαν παρὰ μίαν -ἐν δὲ ταῖς ἀρχαῖς καὶ ὑπὲρ πέντε- εἰς ἐφημερίαν ἑαυτὴν τάξασα τῶν ἑαυτῆς δουλίδων ἃς καὶ συνασκητρίας εἰργάσατο.

Ἔχει δὲ μεθ᾽ ἑαυτῆς καὶ τὴν μητέρα Ἀλβίναν ἀσκουμένην ὁμοίως καὶ διασκορπίζουσαν κατ᾽ ἰδίαν πάλιν τὰ ἴδια χρήματα. Εἰσὶν οὖν οἰκοῦσαι ἐν ἀγροῖς, ποτὲ μὲν Σικελίας ποτὲ δὲ Καμπανίας, μετὰ

εὐνούχων δεκαπέντε καὶ παρθένων ἑξήκοντα, καὶ ἐλευθέρων καὶ δουλίδων·

ὁμοίως καὶ Πινιανὸς ὁ ἀνὴρ αὐτῆς μετὰ μοναζόντων τριάκοντα, ἀναγινώσκων καὶ περὶ κῆπον ἀσχολούμενος καὶ περὶ σεμνὰς συντυχίας. Οὐ μικρῶς δὲ καὶ ἡμᾶς πλείονας ὄντας ἐτίμησαν ἀπελθόντας ἐν Ρώμῃ διὰ τὸν μακάριον Ἰωάννην τὸν ἐπίσκοπον, ἀναπαύσαντες ἡμᾶς καὶ ξενοδοχίᾳ καὶ ἐφοδίοις δαψιλεστάτοις, μετὰ πολλῆς χαρᾶς καρπούμενοι τὴν αἰώνιον ζωὴν τοῖς θεοδωρήτοις ἔργοις τῆς ἀρίστης πολιτείας.

Περὶ Παμμαχίου

Τούτων συγγενὴς Παμμάχιος ὀνόματι ἀπὸ ἀνθυπάτων ὁμοίως ἀποταξάμενος ἔζησε τὸν ἄριστον βίον, πάντα τὸν ἑαυτοῦ πλοῦτον τὸν μὲν ζῶν διασκορπίσας, τὸν δὲ τελευτῶν πτωχοῖς καταλείψας· ὁμοίως καὶ Μακάριός τις ἀπὸ βικαρίας, καὶ Κωνστάντιος συγκάθεδρος γενόμενος τῶν κατὰ τὴν Ἰταλίαν ἐπάρχων, ἄνδρες ἐπίσημοι καὶ λογικώτατοι καὶ εἰς ἄκρον φιλοθείας ἐλάσαντες· οὓς ἔτι νομίζω καὶ ἐν σαρκὶ ὑπάρχειν τὸν ἄριστον ἐξησκηκότας βίον.

Περὶ παρθένου τῆς ὑποδεξαμένης τὸν μακάριον Ἀθανάσιον

Ἐν Ἀλεξανδρείᾳ ἔγνων παρθένον ἣν κατείληφα ὡς ἐτῶν ἑβδομήκοντα· προσεμαρτύρει δὲ αὐτῇ ὁ κλῆρος ἅπας ὅτι νέα οὖσα ὡς ἐτῶν εἴκοσι καὶ σφόδρα ὡραιοτάτη φευκτὴ ἦν διὰ τὸ κάλλος, ἵνα μή τινι μῶμον δῷ ἐξ ὑπονοίας. Ὅτε οὖν συνέβη τοὺς Ἀρειανοὺς συσκευάσασθαι τὸν μακάριον Ἀθανάσιον τὸν ἐπίσκοπον Ἀλεξανδρείας δι᾽ Εὐσεβίου τοῦ πραιποσίτου ἐπὶ Κωνσταντίου τοῦ βασιλέως, καὶ ἀθέμιτα αὐτοῦ κατηγόρουν συκοφαντοῦντες, φεύγων τὸ παρὰ διεφθαρμένου κριτηρίου κριθῆναι οὐκ ἐθάρρησεν οὐδενί, οὐ συγγενεῖ οὐ φίλῳ οὐ κληρικῷ οὐκ ἄλλῳ τινί·

ἀλλ᾽ εἰσελθόντων τῶν ἐπαρχικῶν αἰφνίδιον εἰς τὸ ἐπισκοπεῖον καὶ ζητούντων αὐτόν, λαβὼν αὐτοῦ τὸ στιχάριν καὶ τὸ βιρὶν ἐν μεσαιτάτῃ νυκτὶ κατέφυγε πρὸς ταύτην τὴν παρθένον. Ἡ δὲ ξενισθεῖσα ἐπὶ τῷ πράγματι διεπτοήθη. Λέγει οὖν αὐτῇ· Ἐπειδὴ ζητοῦμαι παρὰ τῶν Ἀρειανῶν καὶ ἀθέμιτα συκοφαντοῦμαι, ἵνα οὖν μὴ κἀγὼ ἄλογον ἀπενέγκωμαι δόξαν καὶ εἰς ἁμαρτίαν ἐμβάλω τοὺς τιμωρήσασθαί με βουλομένους, ἐνεθυμήθην φυγεῖν.

Ἀπεκάλυψε δέ μοι ὁ θεὸς ταύτῃ τῇ νυκτὶ ὅτι “Παρ᾽ οὐδενὶ ἔχεις σωθῆναι εἰ μὴ παρ᾽ ἐκείνῃ”. Ἀπὸ πολλῆς οὖν χαρᾶς ἐκείνη ῥίψασα πάντα διαλογισμὸν ὅλη γεγένηται τοῦ κυρίου· καὶ κατέκρυψε τὸν

ἁγιώτατον ἐκεῖνον ἐπὶ ἓξ ἔτη μέχρι τῆς ζωῆς Κωνσταντίου, αὐτὴ καὶ περινίπτουσα τοὺς πόδας, καὶ τὰ περιττεύματα διακονοῦσα, καὶ τὰς χρείας αὐτῷ πάσας οἰκονομοῦσα, καὶ βιβλία κιχρωμένη καὶ παρέχουσα αὐτῷ· καὶ οὐδεὶς ἀνθρώπων πάσης Ἀλεξανδρείας ἔγνω ἐν τοῖς ἓξ ἔτεσι ποῦ διάγει ὁ μακάριος Ἀθανάσιος.

Ὡς οὖν ἠγγέλθη ὁ θάνατος Κωνσταντίου καὶ ἦλθεν αὐτοῦ εἰς τὰς ἀκοάς, καλῶς ἐνδυσάμενος πάλιν ἐν τῇ νυκτὶ εὑρέθη ἐν τῇ ἐκκλησίᾳ, πάντων ἐκστάντων καὶ θεασαμένων αὐτὸν ὡς ἐκ νεκρῶν ζῶντα. Ἀπελογεῖτο οὖν τοῖς γνησίοις αὐτοῦ φίλοις ὅτι Τούτου χάριν πρὸς ὑμᾶς οὐ κατέφυγον ἵνα εὔορκον ὑμῖν ᾖ, ἄλλως δὲ καὶ διὰ τὰ ἔρευνα· κατέφυγον δὲ πρὸς ἣν ὑποψίαν οὐδεὶς ἠδύνατο ἔχειν ὡς ὡραίαν καὶ νεωτέραν, δύο μνηστευσάμενος, καὶ τὴν σωτηρίαν ἐκείνης, ὠφέλησα γὰρ αὐτήν, καὶ τὴν ἐμὴν δόξαν.

Περὶ Ἰουλιανῆς

Ἰουλιανή τις πάλιν παρθένος ἐν Καισαρείᾳ τῆς Καππαδοκίας λογιωτάτη ἐλέγετο καὶ πιστοτάτη· ἥτις Ὠριγένην τὸν συγγραφέα φεύγοντα τὴν ἐπανάστασιν τῶν Ἑλλήνων ἐδέξατο ἐπὶ δύο ἔτη ἰδίοις ἀναλώμασι καὶ ὑπηρεσίᾳ ἀναπαύσασα τὸν ἄνδρα. Εὗρον δὲ ταῦτα ἐγὼ γεγραμμένα ἐν παλαιοτάτῳ βιβλίῳ στιχηρῷ, ἐν ᾧ ἐγέγραπτο χειρὶ Ὠριγένους·

Τοῦτο τὸ βιβλίον εὗρον ἐγὼ παρὰ Ἰουλιανῇ τῇ παρθένῳ ἐν Καισαρείᾳ, κρυπτόμενος παρ᾽ αὐτῇ· ἥτις ἔλεγε παρ᾽ αὐτοῦ Συμμάχου τοῦ ἑρμηνέως τῶν Ἰουδαίων αὐτὸ εἰληφέναι.

Οὐ παρέργως δὲ τέθεικα καὶ τὰς ἀρετὰς τούτων τῶν γυναικῶν, ἵνα μάθωμεν ὅτι πολυτρόπως ἔνεστι κερδαίνειν ἐὰν ἐθέλωμεν.

Διήγησις Ἱππολύτου

Ἐν ἄλλῳ βιβλίῳ παλαιοτάτῳ ἐπιγεγραμμένῳ Ἱππολύτου τοῦ γνωρίμου τῶν ἀποστόλων εὗρον διήγημα τοιοῦτον, ὅτι εὐγενεστάτη τις καὶ ὡραιοτάτη παρθένος ὑπῆρχεν ἐν τῇ Κορινθίων πόλει ἀσκουμένη εἰς τὴν παρθενίαν. Ταύτην κατ᾽ ἐκεῖνο καιροῦ διέβαλον τῷ τότε δικάζοντι Ἕλληνι ὄντι κατὰ τὸν καιρὸν τῶν διωκτῶν, ὡς βλασφημοῦσαν καὶ τοὺς καιροὺς καὶ τοὺς βασιλεῖς καὶ δυσφημοῦσαν τὰ εἴδωλα. Προσεπήνουν δὲ τὸ ταύτης κάλλος οἱ περὶ τὰ τοιαῦτα κάπηλοι.

Γυναικομανὴς οὖν ὑπάρχων ὁ δικαστὴς ἡδέως ἐδέξατο τὴν διαβολὴν τοῖς ἱππικοῖς ὠτίοις. Καὶ ὡς πᾶσαν μηχανὴν κινήσας πεῖσαι τὴν ἄνθρωπον οὐκ ἠδυνήθη, τότε ἀπομανεὶς πρὸς αὐτὴν τιμωρίᾳ αὐτὴν

οὐ παρέδωκεν, οὐ βασάνῳ, ἀλλὰ στήσας αὐτὴν εἰς πορνεῖον ἐνετείλατο τῷ νέμοντι ταύτας ὅτι Δέξαι ταύτην, ἡμερήσιόν μοι τρία νομίσματα φέρων ἐκ ταύτης. Ὁ δὲ εἰσπραττόμενος τὸν χρυσὸν ἔκδοτον αὐτὴν παρεῖχε τοῖς βουλομένοις. Ὡς οὖν ἔγνωσαν οἱ περὶ ταῦτα γυναικοϊέρακες παρήδρευσαν τῷ ἐργαστηρίῳ τῆς ἀπωλείας, καὶ διδόντες τὸ κέρμα ὡμίλουν αὐτῇ τὰ πρὸς ἀπάτην.

Ἡ δὲ ἐκλιπαροῦσα αὐτοὺς παρεκάλει λέγουσα ὅτι Ἕλκος ἔχω τι εἰς κεκρυμμένον τόπον ὅπερ ἐσχάτως ὄζει, καὶ δέδοικα μὴ εἰς μῖσός μου ἔλθητε· ἔκδοτε οὖν μοι ὀλίγας ἡμέρας, καὶ ἐξουσίαν ἔχετε καὶ δωρεάν με ἔχειν. Δεήσεσιν οὖν τὸν θεὸν ἱκέτευεν ἐν ἐκείναις ταῖς ἡμέραις· ὅθεν καὶ θεασάμενος ὁ θεὸς αὐτῆς τὴν σωφροσύνην νεανίσκῳ τινὶ μαγιστριανῷ, καλῷ τὴν γνώμην καὶ τῷ εἴδει, ἐνέθηκε ζῆλον πυριφλεγῆ θανάτου. Καὶ ἀπελθὼν τῷ σχήματι τῆς ἀκολασίας εἰσέρχεται βαθεῖαν ἑσπέραν πρὸς τὸν τρέφοντα ταύτας, καὶ δίδωσιν αὐτῷ πέντε νομίσματα καὶ λέγει αὐτῷ· Συγχώρησόν μοι μεῖναι τὴν νύκτα ταύτην μετ᾽ αὐτῆς.

Εἰσελθὼν οὖν εἰς τὸν ἀπόκρυφον οἶκον λέγει αὐτῇ· Ἀνάστα, σῶσον σεαυτήν. Καὶ ἐκδύσας αὐτὴν καὶ μεταμφιάσας τοῖς ἰδίοις ἱματίοις, τοῖς τε καμισίοις καὶ τῇ χλανίδι καὶ τοῖς ἀνδρίοις πᾶσι, λέγει αὐτῇ· Τῷ ἄκρῳ τῆς χλανίδος περικαλυψαμένη ἔξελθε. Καὶ οὕτως κατασφραγισαμένη καὶ ἐξελθοῦσα ἄφθορος καὶ ἀμίαντος διασέσωσται. Τῇ οὖν ἄλλῃ ἡμέρᾳ ἐγνώσθη τὸ δρᾶμα· παρεδόθη ὁ μαγιστριανὸς καὶ ἐβλήθη θηρίοις, ἵνα καὶ ἐν τούτῳ ὁ δαίμων καταισχυνθῇ ὅτι διπλοῦς ἐγένετο μάρτυς, καὶ ὑπὲρ ἑαυτοῦ καὶ ὑπὲρ τῆς μακαρίας ἐκείνης.

Περὶ Οὐήρου ἀπὸ κομήτων

Ἐν Ἀγκύρᾳ τῆς Γαλατίας ἐν αὐτῇ τῇ πόλει περιέτυχον Οὐήρῳ τινὶ λαμπροτάτῳ οὗ καὶ μακρὰν πεῖραν ἔσχηκα, ὃς ἦν ἀπὸ κομήτων, ἅμα τῇ τούτου ἐλευθέρᾳ Βοσπορίῃ· οἵτινες ἐπὶ τοσοῦτον ἐλπίδος χρηστῆς ἤλασαν ὡς καὶ τὰ τέκνα αὐτῶν παραλογίσασθαι, ἔργῳ τὰ μέλλοντα βλέποντες. Τὰς γὰρ προσόδους τῶν χωρίων ἀναλίσκουσιν εἰς τοὺς πενομένους, δύο θυγατέρας καὶ τέσσαρας υἱοὺς ἔχοντες, οἷς οὐδὲ κλῆμα ἐπιδιδόασι παρεκτὸς ταῖς γαμηθείσαις, λέγοντες ὅτι Μετὰ τὴν ἀποβίωσιν ἡμῶν πάντα ὑμέτερά ἐστι· τοὺς δὲ καρποὺς τῶν κτημάτων κομιζόμενοι ἐν ἐκκλησίαις πόλεων καὶ κωμῶν διανέμουσιν.

Ὃ δὴ καὶ τοῦτο ἐν αὐτοῖς ἐνάρετον ὑπάρχει· λιμοῦ γενομένου καὶ κατὰ σπλάγχνων χωροῦντος, τὰς αἱρέσεις εἰς ὀρθοδοξίαν

μετήνεγκαν, ἐν πολλοῖς χωρίοις τοὺς σιτοβολῶνας αὐτῶν παρασχόντες εἰς διατροφὴν τοῖς πένησι. Τὸ δὲ ἄλλο σχῆμα σεμνότατον λίαν καὶ εὐτελὲς ἀναλαβόντες ὀλιγοδάπανα σφόδρα φοροῦσιν ἱμάτια, εὐτελεστάτῃ δὲ τροφῇ διαζῶσιν, ἐξασκοῦντες τὴν εἰς θεὸν σωφροσύνην, τὰ πλεῖστα τοῖς ἀγροῖς προσομιλοῦντες καὶ φεύγοντες τὰς πόλεις, μήποτε τῷ συνασμενισμῷ σπάσωσί τι τῶν πολιτικῶν θορύβων ἐκπίπτοντες τῆς προθέσεως.

Περὶ Μάγνας

Ἐν ταύτῃ τῇ πόλει Ἀγκύρᾳ πολλαὶ μὲν καὶ ἄλλαι παρθένοι ὡς χιλιάδες δύο ἢ πλεῖον καὶ ἐγκρατευόμεναι καὶ ἐπίσημοι γυναῖκες διαπρέπουσιν. Ἐν αἷς ἐπικρατεῖ κατ᾽ εὐλάβειαν Μάγνα σεμνοτάτη γυνή, ἣν οὐκ οἶδα τί ὀνομάσω, παρθένον ἢ χήραν. Βίᾳ γὰρ συναφθεῖσα παρὰ τῆς ἰδίας μητρὸς ἀνδρί, δελεάσασα τοῦτον καὶ ὑπερθεμένη, ὥς φασιν οἱ πολλοί, μεμένηκεν ἄψαυστος.

Οὗ μετ᾽ ὀλίγον τελευτήσαντος ὅλην ἑαυτὴν ἐπέδωκε τῷ θεῷ, φροντίζουσα σεμνῶς τῶν ἰδίων οἴκων, ζῶσα ἀσκητικώτατον βίον καὶ σώφρονα, τοιαύτην ἔχουσα τὴν συντυχίαν ὡς αἰδεῖσθαι αὐτὴν καὶ ἐπισκόπους ὑπερβολῇ εὐλαβείας. Αὕτη τὰς λοιπὰς καὶ περιττευούσας χρείας ξενοδοχείοις καὶ πτωχοῖς καὶ διοδεύουσιν ἐπισκόποις χορηγοῦσα, οὐ παύεται ἐργαζομένη κατὰ τὸ λεληθὸς δι᾽ ἑαυτῆς καὶ δι᾽ οἰκετῶν πιστοτάτων μηδὲ ἀπολιμπανομένη τῆς ἐκκλησίας ἐν ταῖς νυξίν.

Περὶ τοῦ ἐλεήμονος μοναχοῦ

Ὁμοίως ἐν ταύτῃ τῇ πόλει εὑρήκαμεν μονάζοντα χειροτονίαν μὲν μὴ αἱρούμενον δέξασθαι πρεσβυτερίου, ἀπὸ στρατείας δὲ ἡγμένον ὀλίγου χρόνου· ὃς εἰκοστὸν ἄγει ἔτος ἐν τῇ ἀσκήσει ταύτην ἔχων τὴν πολιτείαν· παραμένει μὲν τῷ ἐπισκόπῳ τῆς πόλεως, τοσοῦτον δέ ἐστι φιλάνθρωπος καὶ ἐλεήμων ὡς καὶ τὰς νύκτας περιιέναι καὶ ἐλεεῖν τοὺς δεομένους.

Οὗτος οὐκ ἀμελεῖ οὐ φυλακῆς οὐ νοσοκομείου οὐ πτωχοῦ οὐ πλουσίου, ἀλλὰ πᾶσιν ἐπικουρεῖ, τοῖς μὲν λόγους εὐσπλαγχνίας διδοὺς ὡς ἀσπλάγχνοις, τῶν δὲ προϊστάμενος, τοὺς δὲ εἰρηνεύων, τοῖς δὲ χρείας σωματικὰς καὶ ἱμάτια παρέχων. Ὃ φιλεῖ δὲ συμβαίνειν ἐν πάσαις ταῖς μεγάλαις πόλεσι ἔστι καὶ ἐν αὐτῇ· ἐν γὰρ τῇ στοᾷ τῆς

ἐκκλησίας πλῆθος νοσούντων κατακείμενον ἐρανίζεται τὴν ἐφήμερον τροφήν, τῶν μὲν ἀγάμων τῶν δὲ γεγαμηκότων.

Συνέβη οὖν μιᾶς τῶν ἡμερῶν ἐν μέσῃ νυκτὶ τίκτειν ἑνὸς γυναῖκα ἐν τῇ στοᾷ ἐν χειμῶνι. Βοώσης οὖν αὐτῆς ἐν τῇ ὀδύνῃ ἐπήκουσε, καὶ καταλείψας τὰς συνήθεις αὐτοῦ προσευχὰς ἐξελθὼν ἐπεῖδε, καὶ μηδένα εὑρὼν αὐτὸς ἰατρίνης ἐπέσχε τόπον, οὐ βδελυξάμενος τὸ παρακολουθοῦν μῦσος ταῖς τικτούσαις, ἀναισθησίαν ἐν αὐτῷ τῆς ἐλεημοσύνης ἐργασαμένης. Τούτου τὸ μὲν σχῆμα τῶν ἱματίων οὐκ ἔστιν ἄξιον ὀβολοῦ, τὸ δὲ βρῶμα ἀμφήριστον τῶν ἱματίων· πυκτίῳ ἐγκύψαι οὐ καρτερεῖ τῆς φιλανθρωπίας αὐτὸν ἐλαυνούσης τῶν ἀναγνωσμάτων. Βιβλίον αὐτῷ ἐάν τις χαρίσηται τῶν ἀδελφῶν παραχρῆμα αὐτὸ πιπράσκει, τοῦτο ἐπιλέγων τοῖς ἐπισκώπτουσιν ὅτι Πόθεν ἔχω πεῖσαι τὸν διδάσκαλόν μου ὅτι τὴν τέχνην αὐτοῦ μεμάθηκα, ἐὰν μὴ ἐκεῖνον αὐτὸν πωλήσω εἰς τὸ τῆς τέχνης κατόρθωμα; Περὶ παρθένου ἐκπεσούσης καὶ μετανοησάσησ

Ἀσκήτριά τις παρθένος μένουσα σὺν ἄλλαις δύο ἠσκήθη ἐπὶ ἔτη ἐννέα ἢ δέκα. Αὕτη δελεασθεῖσα παρὰ ψάλτου τινὸς ἐξέπεσε, καὶ κατὰ γαστρὸς λαβοῦσα ἐγέννησεν. Εἰς ἄκρον δὲ μῖσος ἐλάσασα τοῦ ταύτην δελεάσαντος κατενύγη τὴν ψυχὴν εἰς βάθος, καὶ εἰς τοσοῦτον ἤλασε μετανοίας ὡς ἄντικρυς ἀποκαρτερῆσαι καὶ λιμῷ ἑαυτὴν ἀποκτεῖναι.

Προσευχομένη δὲ ἐδέετο τοῦ θεοῦ λέγουσα ὅτι Ὁ θεὸς ὁ μέγας, ὁ βαστάζων τὰ κακὰ πάσης κτίσεως καὶ μὴ βουλόμενος τὸν θάνατον καὶ τὴν ἀπώλειαν τῶν πταιόντων· εἰ θέλεις με σωθῆναι, ἐν τούτῳ μοι δεῖξον τὰ θαυμάσιά σου καὶ συνάγαγε τὸν καρπὸν τῆς ἐμῆς ἁμαρτίας ὅνπερ γεγέννηκα, ἵνα μὴ ἢ σχοινίῳ χρήσωμαι, ἢ ἐμαυτὴν δισκεύσω. Ἐν τούτοις δεομένη εἰσηκούσθη· τὸ γὰρ τεχθὲν μετ᾽ οὐ πολὺ ἐτελεύτησεν.

Ἀπὸ οὖν τῆς ἡμέρας ἐκείνης τῷ μὲν ταύτην αἰχμαλωτεύσαντι οὐκέτι συνέτυχεν, ἔκδοτον δὲ ἑαυτὴν εἰς ἀκροτάτην νηστείαν δοῦσα, νοσούσαις καὶ λελωβημέναις ἐξυπηρετήσατο ἐπὶ τριάκοντα ἔτη, οὕτως τὸν θεὸν δυσωπήσασα ὡς ἀποκαλυφθῆναί τινι τῶν ἁγίων πρεσβυτέρων ὅτι Ἡ δεῖνά μοι εὐηρέστησε μᾶλλον ἐν τῇ μετανοίᾳ ἢ ἐν τῇ παρθενίᾳ. Ταῦτα δὲ γράφω ἵνα μὴ καταφρονῶμεν τῶν γνησίως μετανοούντων.

Περὶ ἀναγνώστου συκοφαντηθέντος

Πρεσβυτέρου τινὸς θυγάτηρ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ἐκπεσοῦσα παρθένος παρὰ τοῦ ταύτην φθείραντος ἐδιδάχθη ἀναγνώστην τινὰ τῆς πόλεως συκοφαντῆσαι. Καὶ γενονυίας ἤδη ἐγκύου, ἐξεταζομένη παρὰ τοῦ πατρὸς κατεῖπε τοῦ ἀναγνώστου. Ὁ δὲ πρεσβύτερος θαρσῶν ἀνήνεγκε τῷ ἐπισκόπῳ. Ὁ δὲ ἐπίσκοπος συνεκρότησε τὸ ἱερατεῖον καὶ ἐποίησε κληθῆναι τὸν ἀναγνώστην. Ἐβασανίζετο ἡ ὑπόθεσις· ἐρωτώμενος παρὰ τοῦ ἐπισκόπου ὁ ἀναγνώστης οὐχ ὡμολόγει· τὸ γὰρ μὴ γενόμενον πῶς καὶ ἐνῆν ῥηθῆναι;

Ἀγανακτῶν ὁ ἐπίσκοπος ἐμβριθῶς ἔλεγε αὐτῷ· Οὐχ ὁμολογεῖς, ἄθλιε καὶ ταλαίπωρε, καὶ ἀκαθαρσίας μεστέ; Ἀπεκρίνατο ὁ ἀναγνώστης· Ἐγὼ τὸ ὂν εἶπον, ὅτι οὐκ ἔχω πρᾶγμα· ἀναίτιος γάρ εἰμι καὶ τῆς ἐννοίας τῆς πρὸς ἐκείνην. Εἰ δὲ θέλεις τὸ μὴ ὂν ἀκοῦσαι, πέπραχα. Τοῦτο αὐτοῦ εἰρηκότος καθεῖλε τὸν ἀναγνώστην. Τότε προσελθὼν παρακαλεῖ τὸν ἐπίσκοπον καὶ λέγει αὐτῷ· Οὐκοῦν ἐπειδὴ ἔπταισα κέλευσόν μοι αὐτὴν εἰς γυναῖκα δοθῆναι· οὔτε γὰρ ἐγὼ κληρικὸς λοιπὸν οὔτε ἐκείνη παρθένος.

Ἔκδοτον οὖν αὐτὴν δέδωκε τῷ ἀναγνώστῃ, προσδοκήσας διακεῖσθαι τὸν νεώτερον περὶ αὐτὴν καὶ ἄλλως μὴ δύνασθαι ἀποκοπῆναι τὴν πρὸς αὐτὴν συνήθειαν. Λαβὼν οὖν αὐτὴν ὁ νεώτερος καὶ παρὰ τοῦ ἐπισκόπου καὶ παρὰ τοῦ πατρός, παρατίθεται μοναστηρίῳ γυναικῶν καὶ παρακαλεῖ τὴν αὐτόθι διάκονον τῆς ἀδελφότητος μέχρι τοῦ τοκετοῦ αὐτῆς ἀνέχεσθαι. Ἐντὸς οὖν ὀλίγου χρόνου ἐπληρώθησαν αἱ ἡμέραι τοῦ τεκεῖν· παρέστη ἡ κρισίμη ὥρα, στεναγμοί, ὠδῖνες, πόνοι, καταχθονίων ὁράσεις· καὶ τὸ βρέφος οὐκ ἐξήρχετο.

Παρῆλθεν ἡ πρώτη ἡμέρα, ἡ δευτέρα, ἡ τρίτη, ἡ ἑβδόμη· ἡ γυνὴ ἀπὸ τῆς ὀδύνης τῷ ᾅδῃ προσομιλοῦσα οὐκ ἔφαγεν, οὐκ ἔπιεν, οὐκ ἐκαθεύδησεν, ἀλλ᾽ ἐβόα λέγουσα· Οἴμοι τῇ ἀθλίᾳ, κινδυνεύω συκοφαντήσασα τόνδε τὸν ἀναγνώστην. Ἀπελθοῦσαι λέγουσι τῷ πατρί. Ὁ πατὴρ φοβούμενος τὸ καταγνωσθῆναι ὡς συκοφαντήσας, ἡσυχάζει ἄλλας δύο ἡμέρας. Ἡ κόρη οὔτε ἐτελεύτα οὔτε ἐγέννα. Ὡς οὖν τὰς βοὰς αὐτῆς οὐκ ἔφερον αἱ ἀσκήτριαι δραμοῦσαι ἀπήγγειλαν τῷ ἐπισκόπῳ ὅτι Ἐξομολογεῖται βοῶσα ἡ δεῖνα ἀπὸ ἡμερῶν ὅτι ἐσυκοφάντησε τὸν ἀναγνώστην. Τότε πέμπει πρὸς αὐτὸν διακόνους καὶ δηλοῖ αὐτῷ· Εὖξαι ἵνα γεννήσῃ ἡ συκοφαντήσασά σε.

Αὐτὸς δὲ οὐκ ἔδωκεν αὐτοῖς ἀπόκρισιν οὔτε ἤνοιξε τὴν ἑαυτοῦ θύραν ἀφ᾽ ἧς ἡμέρας εἰσῆλθε δεόμενος τοῦ θεοῦ. Ἀπέρχεται πάλιν ὁ

πατὴρ πρὸς τὸν ἐπίσκοπον· γίνεται εὐχὴ ἐν τῇ ἐκκλησίᾳ· καὶ οὐδὲ οὕτως ἐγέννησε. Τότε ἀναστὰς ὁ ἐπίσκοπος ἀπῆλθε πρὸς τὸν ἀναγνώστην, καὶ πλήξας τὴν θύραν εἰσῆλθεν πρὸς αὐτὸν καὶ λέγει αὐτῷ· Εὐστάθιε, ἀνάστα, λῦσον ὃ ἔδησας. Παραχρῆμα δὲ τοῦ ἀναγνώστου κλίναντος γόνυ σὺν τῷ ἐπισκόπῳ ἐγέννησεν ἡ γυνή.

Ἴσχυσε δὲ ἡ τούτου δέησις καὶ ἡ παραμονὴ τῆς προσευχῆς ἀναδεῖξαι καὶ τὴν συκοφαντίαν καὶ παιδεῦσαι καὶ τὴν συκοφαντήσασαν· ἵνα μάθωμεν προσκαρτερεῖν ταῖς προσευχαῖς καὶ εἰδέναι αὐτῶν τὴν δύναμιν.

Περὶ τοῦ συνόντος αὐτῷ ἀδελφοῦ

Ὀλίγα τοίνυν περὶ τοῦ συνόντος μοι ἀπὸ νεότητος ἀδελφοῦ ἕως τῆς σήμερον εἰρηκὼς καταπαύσω τὸν λόγον. Τοῦτον ἔγνων ἐγὼ ἐν μακρῷ χρόνῳ μὴ πάθει φαγόντα, μὴ πάθει νηστεύσαντα· νικήσαντα ὡς νομίζω πάθος χρημάτων, τὸ πλεῖστον κενοδοξίας· ἀρκούμενον τοῖς παροῦσι, μὴ καλλωπιζόμενον ἱματίοις, καταφρονούμενον εὐχαριστεῖν, ὑπερκινδυνεύοντα γνησίων φίλων, πεῖραν λαβόντα δαιμόνων χιλιάκις καὶ ἐπάνω· ὡς καὶ μιᾶς τῶν ἡμερῶν δαίμονα αὐτῷ συνθέσθαι καὶ εἰπεῖν· Σύνθου μοι ἁμαρτῆσαι κἂν ἅπαξ, καὶ ἣν ἂν εἴπῃς μοι ἐν τῷ βίῳ ταύτην σοι ἄγω.

Καὶ πάλιν ἄλλοτε πυκτεύσας αὐτῷ ἐπὶ δεκατέσσαρας νύκτας, καθώς μοι διηγεῖτο, καὶ σύρας ἐκ ποδὸς ἐν νυκτὶ φωνῇ προσωμίλει λέγων· Μὴ προσκύνει τὸν Χριστὸν καὶ οὐ μή σου ἐγγίσω· τὸν δὲ ἀποκριθέντα εἰπεῖν· Διὰ τοῦτο αὐτὸν προσκυνῶ καὶ ἀπειροπλασίονα δοξάσω καὶ προσκυνήσω, ἐπειδὴ ὅλως ἀηδίζῃ ἐν τούτῳ. Ἑκατὸν ἓξ πόλεις πατήσας, ἐν ταῖς πλείσταις δὲ καὶ χρονίσας, γυναικὸς ἐλέει θεοῦ πεῖραν οὐκ ἔσχεν, οὐδὲ κατ᾽ ὄναρ, πλὴν τοῦ πολέμου.

Τρίτον αὐτὸν ἔγνων χρείαν βρώματος παρ᾽ ἀγγέλου λαβόντα. Μιᾶς τῶν ἡμερῶν ἐν ἀκροτάτῃ ἐρήμῳ καὶ μηδὲ ψῖχα ἔχων, τρεῖς εὗρεν ἄρτους ἐν τῇ μηλωτῇ θερμούς· ἄλλοτε πάλιν οἶνον καὶ ἄρτους. Ἄλλοτε πάλιν λέγοντος ἔγνων ὅτι Λείπῃ· ἀπελθὼν οὖν λαβὲ παρὰ τοῦδε σῖτον καὶ ἔλαιον. Ἐλθὼν οὖν ἐκεῖνος πρὸς ὃν αὐτὸς ἐπεπόμφει λέγει αὐτῷ· Σὺ εἶ ὁ δεῖνα; καὶ εἶπε· Ναί. Ἐκέλευσέ σοί τις λαβεῖν τριάκοντα μοδίους σίτου καὶ δώδεκα ξέστας ἐλαίου.

Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι οἷος ἦν οὗτος· ὃν ἔγνων δακρύσαντα πολλάκις ἐπὶ ἀνδρῶν ἐν ἀνάγκῃ ἀπορουμένων πενίας καὶ πάντα ὅσα εἶχε παρέσχε τούτοις πλὴν τῆς σαρκός. Ἔγνων δὲ αὐτὸν κλαύσαντα καὶ ἐπὶ ἐκπεσόντος ἐν ἁμαρτίᾳ· ὃς τοῖς δάκρυσιν εἰς μετάνοιαν ἤγαγε τὸν ἐκπεσόντα. Οὗτός μοί ποτε διωμόσατο ὅτι· Τοῦ θεοῦ ἐδεήθην μηδένα νύξαι, μάλιστα τῶν πλουσίων καὶ φαύλων, ἐπὶ τῷ δοῦναί μοί τι ἐν ταῖς χρείαις.

Ἐμοὶ δὲ τοῦτο ἀρκεῖ τὸ καταξιωθῆναι μνημονεύειν τούτων ἁπάντων ὧν γραφῇ παραδέδωκα. Οὐκ ἦν γὰρ ἀθεεὶ τὸ κινηθῆναί σου τὴν διάνοιαν εἰς τὸ ἐπιτάξαι τὴν συγγραφὴν τοῦ βιβλίου τούτου καὶ γραφῇ παραδοῦναι τοὺς βίους τῶν ἁγίων τούτων. Σὺ δέ γε, πιστότατε δοῦλε Χριστοῦ, ἡδέως αὐτοῖς ἐντυγχάνων ἱκανὴν ἀπόδειξιν τῆς ἀναστάσεως τοὺς βίους αὐτῶν καὶ τοὺς πόνους καὶ τὴν τοσαύτην ὑπομονὴν λαβών, ἕπου προθύμως, χρηστῇ τρεφόμενος ἐλπίδι, βραχυτέρας τὰς ἔμπροσθεν τῶν ὀπίσω ὁρῶν ἡμέρας.

Ὑπὲρ ἐμοῦ προσεύχου, σεαυτὸν διατηρῶν οἷόν σε οἶδα ἀπὸ τῆς ὑπατείας Τατιανοῦ μέχρι τῆς σήμερον, καὶ οἷόν σε πάλιν εὗρον χειροτονηθέντα πραιπόσιτον τοῦ εὐσεβεστάτου κοιτῶνος. Ὃν γὰρ ἀξία τοιαύτη μετὰ χρημάτων καὶ ἐξουσία τοσαύτη τοῦ φόβου τοῦ θεοῦ οὐκ ἐποίησε χεῖρον, οὗτος ἀνάκειται τῷ Χριστῷ, τῷ ἀκούσαντι ὑπὸ τοῦ διαβόλου· Ταῦτά σοι πάντα δώσω ἐὰν πεσὼν προσκυνήσῃς μοι.

## Palladius Scr. Eccl. 0002
## Prooemium ad historiam Lausiacam [Sp.]

Προοίμιον τοῦ βίου τῶν ἁγίων πατέρων

Ἐν ταύτῃ τῇ βίβλῳ ἀναγέγραπται ἐνάρετος ἄσκησις καὶ θαυμαστὴ βίου διαγωγὴ τῶν μακαρίων καὶ ἁγίων πατέρων μοναχῶν καὶ ἀναχωρητῶν τῶν ἐν τῇ ἐρήμῳ, πρὸς ζῆλον καὶ μίμησιν τῶν τὴν οὐράνιον πολιτείαν ἐθελόντων κατορθοῦν καὶ τὴν εἰς βασιλείαν οὐρανῶν ἄγουσαν βουλομένων ὁδεύειν ὁδόν· καὶ γυναικῶν πρεσβυτίδων καὶ ἀοιδίμων θεοπνεύστων μητέρων μνῆμαι, τῶν ἀνδρείῳ καὶ τελείῳ φρονήματι τοὺς τῆς ἐναρέτου ἀσκήσεως ἄθλους ἐξανυσασῶν, πρὸς ὑπογραμμὸν καὶ ἔρωτα τῶν ἐθελουσῶν τὸν τῆς ἐγκρατείας καὶ ἁγνείας ἀναδήσασθαι στέφανον· διὰ τὸ ? ἀνδρός τινος

παγκρατίστου καὶ τῇ γνώμῃ πολυμαθοῦς καὶ τὸ ἦθος εἰρηνικοῦ καὶ τῇ καρδίᾳ εὐσεβοῦς καὶ τῇ διανοίᾳ θεοφιλοῦς, καὶ πρὸς τοὺς δεομένους τῶν χρειῶν κοινωνικοῦ, καὶ αὐτῇ κορυφῇ τῶν ἀξιωμάτων διὰ χρηστότητα τρόπων πολλῶν λογάδων ἀνδρῶν προτετιμημένου, καὶ τὸ ὅλον τῇ δυνάμει τοῦ θείου πνεύματος φρουρουμένου, ἐπιτάξαντος ἡμῖν, μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, πρὸς τὴν τῶν κρειττόνων θεωρίαν τὸν νωθρὸν ἡμῶν νοῦν διεγείραντος πρὸς μίμησιν καὶ ἅμιλλαν τῶν ἀρετῶν τῆς ἀσκήσεως τῶν ὁσίων καὶ ἀθανάτων πνευματικῶν ἡμῶν πατέρων καὶ τῶν ἐν ἀρεσκείᾳ θεοῦ ἐν σκληραγωγίᾳ πολλῇ τοῦ σώματος βεβιωκότων· ὡς ἀναγραψαμένους ἡμᾶς τοὺς τῶν ἀνικήτων ἀθλητῶν βίους διαπέμψασθαι τούτῳ, ἀνακηρύττοντας ἑνὸς ἑκάστου τῶν μεγάλων τὰς ἐναργεῖς ἀρετάς. ἔστι δὲ ὁ τοῦ θείου τούτου καὶ πνευματικοῦ πόθου ἐραστὴς ὁ ἄριστος τῶν ἀνδρῶν Λαῦσος, ὁ μετὰ τὴν τοῦ θεοῦ ῥοπὴν φύλαξ τεταγμένος τῆς ἐνθέου καὶ εὐσεβοῦς βασιλείας.

Ἐγὼ τοίνυν ὁ καὶ τῇ γλώττῃ ἀπαίδευτος καὶ πνευματικῆς γνώσεως ἀκροθιγῶς πως γευσάμενος καὶ τοῦ καταλόγου τῶν ἁγίων πατέρων πνευματικοῦ βίου ἀνάξιος, δεδοικὼς τὸ ὑπὲρ ἐμὲ ἄμετρον τῆς ἐπιταγῆς μέγεθος, δυσανησχέτουν τῷ ἐπιτάγματι, πολλῆς δεομένῳ καὶ σοφίας τῆς ἔξωθεν καὶ πνευματικῆς συνέσεως· ὅμως καταιδεσθεὶς πρῶτον τὸ σπουδαῖον τῆς ἀρετῆς τοῦ εἰς ταύτην τὴν ἐπιταγὴν ἡμᾶς διεγείραντος, ἀναλογισάμενος δὲ καὶ τὴν τῶν ἐντυγχανόντων ὠφέλειαν, δεδιὼς δὲ καὶ τὸν ἐν τῇ εὐλόγῳ παρακοῇ κίνδυνον, τῇ προνοίᾳ πρῶτον ἀνατεθεικὼς τὸ γενναῖον ἐπίταγμα καὶ πολλῇ προσεχείᾳ χρησάμενος, τῇ τῶν ἁγίων πατέρων πρεσβείᾳ πτερούμενος, ἐνέβην εἰς τοὺς ἀγῶνας τοῦ σκάμματος, καὶ ὡς ἐν ἐπιτομῇ τῶν γενναίων ἀθλητῶν καὶ μεγάλων ἀνδρῶν τὰ ἔπακρα μόνον ἆθλά τε καὶ σημεῖα ἀναγραψάμενος, οὐ μόνον ἀνδρῶν ἀοιδίμων κατωρθωκότων πολιτείαν ἀρίστην ἀλλὰ καὶ γυναικῶν μακαρίων καὶ εὐσχημόνων ἄκραν πολιτείαν ἐξασκησασῶν.

Καὶ τῶν μὲν τὰ ἱεροπρεπῆ πρόσωπα αὐτοπροσώπῳ θέᾳ ἰδεῖν κατηξιώθην, τῶν δὲ προτελειωθέντων ἐν τῷ σκάμματι τῆς εὐσεβείας παρὰ θεοφόρων ἀθλητῶν τοῦ Χριστοῦ τὴν οὐράνιον τούτων πολιτείαν μεμάθηκα. πολλὰς δὲ πόλεις καὶ πλείστας κώμας, σπήλαιόν τε ἅπαν καὶ πάσας σκηνὰς τῆς ἐρήμου τῶν μοναχῶν, πεζῇ τῇ πορείᾳ περινοστήσας θεοσεβείας σκοπῷ μετὰ πάσης ἀκριβείας, ἃ μὲν αὐτὸς ἱστορήσας ἀνεγραψάμην, ἃ δὲ παρὰ τῶν ἁγίων πατέρων

ἀκήκοα, ἄθλους μεγάλων ἄνδρων καὶ ἀνδρειοτέρων τῆς φύσεως γυναικῶν διὰ τὴν εἰς Χριστὸν ἐλπίδα ἐνσημάνας ἐν τῷ βιβλίῳ τούτῳ, ἀπέσταλκα τῇ τῶν θείων λογίων φίλῃ ἀκοῇ σου, ἀνδρῶν ἀρίστων καὶ θεοφιλῶν ἐγκαλλώπισμα καὶ τῆς πιστοτάτης καὶ θεοφιλοῦς βασιλείας ἀγλάϊσμα, γνήσιε καὶ φιλόχριστε δοῦλε θεοῦ Λαῦσε, ἐγχαράξας κατὰ τὴν προσοῦσαν ἐμοὶ βραχύτητα ἑκάστου τῶν τοῦ Χριστοῦ ἀθλητῶν ἀρρένων τε καὶ θηλειῶν καὶ τὸ ἀοίδιμον ὄνομα, ἐξηγησάμενός τε ἀπὸ πολλῶν καὶ πάνυ μεγάλων ἄθλων ἑκάστου ὀλίγους καὶ σφόδρα βραχεῖς, προστεθεικὼς τῶν πλείστων καὶ τὸ γένος καὶ τὴν πόλιν καὶ τὸν τόπον τῆς μονῆς.

Ἐμνημονεύσαμεν δὲ ἀνδρῶν καὶ γυναικῶν κατορθωσάντων μὲν εἰς ἄκρον τὴν ἀρετὴν, διὰ δὲ τὴν μητέρα τῆς ὑπερηφανείας τὴν καλουμένην κενοδοξίαν εἰς ἔσχατον βάραθρον καὶ πυθμένα ᾅδου κατενεχθέντων, καὶ τὰ ἐκ μακρῶν χρόνων καὶ πολλῶν κόπων κτηθέντα αὐτοῖς ἐπέραστα καὶ περιμάχητα τῆς ἀσκήσεως κατορθώματα ἐν μιᾷ καιροῦ ῥοπῇ ὑπὸ τοῦ τύφου καὶ τῆς οἰήσεως διαρρυέντα· χάριτι δὲ τοῦ σωτῆρος ἡμῶν καὶ προνοίᾳ τῶν ἁγίων πατέρων καὶ συμπαθείᾳ σπλάγχνων πνευματικῶν ἐξαρπασθέντων τῶν τοῦ διαβόλου δικτύων καὶ ταῖς εὐχαῖς τῶν ἁγίων τὸν πρότερον ἀνακτησαμένων ἐνάρετον βίον.

## Palladius Scr. Eccl. 0003
## Epistula ad Lausum

Ἀντίγραφον ἐπιστολῆς γραφείσης Λαύσῳ πραιποσίτῳ παρὰ Παλλαδίου ἐπισκόπου

Μακαρίζω σου τὴν προαίρεσιν· ἄξιον γὰρ ἀπὸ μακαρισμοῦ ἄρξασθαι τῆς ἐπιστολῆς· ὅτι πάντων εἰς τὰ μάταια κεχηνότων καὶ λίθους οἰκοδομούντων ἐξ ὧν οὐκ ἐχάρησαν, αὐτὸς λόγους οἰκοδομῆς διδάσκεσθαι θέλεις. ἀδίδακτος γάρ ἐστὶ μόνος ὁ τῶν ὅλων θεός, ἐπειδὴ καὶ αὐτοφυὴς καὶ πρὸ αὐτοῦ ἄλλον οὐκ ἔχων· τὰ δ᾽ ἄλλα πάντα ἐστὶ διδακτά, ἐπειδὴ ποιητὰ καὶ κτιστά. καὶ τὰ μὲν πρῶτα τάγματα διδάσκαλον ἔχει τὴν ἀνωτάτω τριάδα· τὰ δὲ δεύτερα μανθάνει παρὰ τῶν πρώτων· τὰ τρίτα παρὰ τῶν δευτέρων· καὶ οὕτω καθεξῆς κατὰ τάξιν, μέχρι καὶ τῶν ἐσχάτων. οἱ γὰρ κρείττους ἐν γνώμῃ καὶ ἀρετῇ τοὺς ἐλαττουμένους ἐν γνώσει διδάσκουσιν. οἱ

τοίνυν οἰόμενοι διδασκάλων μὴ χρῄζειν, ἢ μὴ πειθόμενοι τοῖς ἐν ἀγάπῃ διδάσκουσιν, ἄγνοιαν νοσοῦσι τὴν μητέρα τῆς ὑπερηφανίας· ὧν πρωτεύουσιν εἰς ἀπώλειαν οἱ τῷ αὐτῷ πάθει τῆς οὐρανίου διαγωγῆς ἐκπεσόντες, οἱ ἐν ἀέρι πετόμενοι δαίμονες τῶν ἐν τοῖς οὐρανοῖς ἀποδράσαντες διδασκάλων. οὐ γὰρ αἱ λέξεις ἢ αἱ συλλαβαί εἰσι διδασκαλία, ἃ ἔχουσιν ἐνίοτε καὶ οἱ ἐπὶ πλεῖστον φαῦλοι· ἀλλὰ τὰ τοῦ ἤθους κατορθώματα, ἥ τε ἀλυπία καὶ ἡ ἀπτοησία καὶ ἡ ἀδειλία καὶ τὸ ἀόργητον, καὶ ἡ ἐπὶ πάντων παρρησία, ἡ καὶ τοὺς λόγους ὡς πυρὸς φλόγα γεννῶσα. εἰ γὰρ μὴ ἦν τοῦτο, οὐκ ἂν ἔλεγεν ὁ μέγας διδάσκαλος τοῖς ἑαυτοῦ μαθηταῖς· Μάθετε ἀπ᾽ ἐμοῦ ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· οὐ τῇ εὐλεξίᾳ ῥυθμίζων τοὺς ἀποστόλους, ἀλλὰ τῇ εὐλαβείᾳ τοῦ ἤθους, μηδένα λυπῶν πλὴν τῶν μισολόγων καὶ διδασκάλους μισούντων. δεῖ γὰρ τὴν κατὰ θεὸν ἀσκουμένην ψυχὴν ἢ μανθάνειν πιστῶς ἃ οὐκ οἶδεν, ἢ διδάσκειν σαφῶς ἃ ἔγνω. εἰ δὲ ὁπότερον μὴ βούληται εἰ δύναται, μανίαν νοσεῖ. ἀρχὴ γὰρ ἀποστασίας διδασκαλίας κόρος καὶ ἀνορεξία λόγου, ὃν ἀεὶ πεινᾷ ἡ ψυχὴ τοῦ φιλοθέου. ἴσχυε οὖν καὶ ὑγίαινε καὶ ἀνδρίζου, καὶ χαρίσηταί σοι ὁ θεὸς τὸ μεταδιώκειν τὴν γνῶσιν τοῦ Χριστοῦ.

## Palladius Scr. Eccl. 0004
## Dialogus de vita Joannis Chrysostomi

ΔΙΑΛΟΓΟΣ ΙΣΤΟΡΙΚΟΣ ΠΑΛΛΑΔΙΟΥ, ΕΠΙΣΚΟΠΟΥ ΕΛΕΝΟΥΠΟΛΕΩΣ, ΓΕΝΟΜΕΝΟΣ ΠΡΟΣ ΘΕΟΔΩΡΟΝ, ΔΙΑΚΟΝΟΝ ΡΩΜΗΣ, ΠΕΡΙ ΒΙΟΥ ΚΑΙ ΠΟΛΙΤΕΙΑΣ ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΙΩΑΝΝΟΥ, ΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

-Κεφάλαιον Α΄.

Ο ΕΠΙΣΚΟΠΟΣ. Τῶν τοῦ Θεοῦ δωρημάτων τὰ μέν ἐστιν, ὡς ἔοικε, κοινὰ καὶ ἀμέριστα, κράτιστε ἀδελφὲ Θεόδωρε, τὰ δὲ κοινὰ καὶ μεριστά. τρίτα τούτων ἐστίν, ἃ οὔτε κοινὰ οὔτε μεριστὰ ἢ ἀμέριστα, ἀλλ᾽ ἴδια κατ᾽ ἐξαίρετον δεδομένα οἷς δίδοται.

Ο ΔΙΑΚΟΝΟΣ. Δεῦρο δὴ φράσον ἡμῖν ἑκάστου γένους τὴν τάξιν· ἀπιθάνως γὰρ προοιμιάσω.

Ο ΕΠΙΣΚΟΠΟΣ. Τὰ τῇ φύσει καλά, ὧν ἄνευ τὸ ζῆν μιαρόν, κοινὰ καὶ ἀμέριστα.

Ο ΔΙΑΚΟΝΟΣ. Οἷον τί, πάτερ;

Ο ΕΠΙΣΚΟΠΟΣ. Πρῶτον, ὁ τῶν ὅλων Θεός, ἅμα τῷ μονογενεῖ αὐτοῦ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, κοινός ἐστι καὶ ἀμέριστος· ἔξεστι γὰρ τῷ βουλομένῳ παντὶ ὅλον αὐτὸν λαβεῖν τῇ θεωρίᾳ, πραγμάτων μὴ πειρώμενον. ἔπειτα μετὰ τὸν Θεὸν αἱ θεῖαι Γραφαὶ καὶ αἱ ὑπερκόσμιαι δυνάμεις. πρὸς ταύταις οὐρανός, ἥλιος, σελήνη, καὶ σύμπας ὁ τῶν ἄστρων χορός, καὶ αὐτὸς ὁ ἀήρ, κοινὰ καὶ ἀμέριστα, ὅλα ὅλων. μέχρι τούτων ἡμῖν ἱστάσθω τῶν ἀμερίστων τὸ γένος. ἦν δέ ποτε καὶ ἡ γῆ κοινὴ καὶ ἀμέριστος ἅμα τοῖς τῶν ὑδάτων ῥείθροις· ἐξ οὗ δὲ ὁ τῆς πλεονεξίας οἶστρος ἐνεπετάσθη ταῖς τῶν φιληδόνων ψυχαῖς, κατέστη τὰ βαρύτερα στοιχεῖα γῆς τε καὶ ὕδατος μεριστά.

Ο ΔΙΑΚΟΝΟΣ. Σαφέστατα ἔχει τὰ εἰρημένα· προσαναπλήρωσον δὲ τὸν λόγον τοῦ δευτέρου γένους τῶν μεριστῶν.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἐπάναγκές ἐστι μὴ ἀτελὲς καταλεῖψαι τὸ τῆς ὑποθέσεως ὕφος. χρυσὸς τοίνυν καὶ ἄργυρος καὶ πᾶσα ἡ μεταλλικὴ φύσις, πρός τε δρυοτομικὴ ὕλη καὶ ὅσα τῶν μέσων, συλλήβδην εἰπεῖν, κοινὰ μέν ἐστιν, ἀλλ᾽ ὅμως μεριστά· οὐ γὰρ παντὶ τῷ θέλοντι ὅλα δι᾽ ὅλου ἐπ᾽ ἐξουσίας ὑπάρχει.

Ο ΔΙΑΚΟΝΟΣ. Εὔδηλος καὶ οὗτος ὁ λόγος. ἀμφιβάλλω δὲ μήποτε ἀτονήσῃς περὶ τὰς ἀποδείξεις τοῦ τρίτου γένους τῶν ἐξαιρέτων, ὑποσχόμενος ὅτι ἔστι τινὰ ἃ μήτε κοινά ἐστι μήτε μεριστά, ἀλλ᾽ ἴδια κατ᾽ ἐξαίρετον τῶν ἀξίων τῆς δωρεᾶς. ἐπιθεὶς οὖν τὴν κορωνίδα τῷ λόγῳ, ἀφήγησαι ἡμῖν πόθεν παραγέγονας καὶ περὶ ὧν ποθοῦμεν μαθεῖν τἀληθῆ.

Ο ΕΠΙΣΚΟΠΟΣ. Εἰ μὲν ἐπ᾽ ἐμοὶ κεῖται καὶ τούτων ἔχω τὴν γνῶσιν περὶ ὧν ποθεῖτε μαθεῖν, οὐκ ἀποκνήσω ἢ ἀποκρύψω· τὸ μέντοι χρέος τοῦ λόγου, ὡς ὑπολαμβάνω, κατὰ δύναμιν προσαποδώσω. παρθενίας γοῦν καὶ τῆς λοιπῆς ἀγαμίας μερισμὸν οὐχ εὑρήσεις· οὐ γάρ εἰσι τοῦ γένους τῶν κοινῶν ἢ τῶν μεριστῶν· ἐπειδὴ οὐ πᾶς ὁ ποθῶν τὸ πρᾶγμα καὶ παρθενεύει, ἀλλ᾽ ὁ δυνάμενος· τῶν γὰρ γεγαμηκότων πολλοὶ γλίχονται μέν, οὐ φθάνουσι δὲ διὰ τὸ προειλῆφθαι ἐν συζυγίαις. ὥσπερ καὶ ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσι καλεῖ μὲν ὁ κῆρυξ τὸν βουλόμενον, στεφανοῖ δὲ τὸν νικήσαντα· τούτῳ τῷ τρόπῳ καὶ ἐπὶ τῆς ἁγνείας, καθὼς τὸ Εὐαγγέλιον λέγει, τοῦ γὰρ Πέτρου ἀνθυπενεγκόντος τῷ Σωτῆρι· “Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου

μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι”· πρὸς οἷς ἔφησεν ὁ Σωτήρ· “Ἀλλ᾽ οὐ πάντων ἐστὶ χωρῆσαι τὸν λόγον τοῦτον, ἀλλ᾽ οἷς δέδοται.” ὁρᾷς, ὅτι οὐ πᾶσιν, “ἀλλ᾽ οἷς δέδοται”;

Ο ΔΙΑΚΟΝΟΣ. Ὤμην σε δυσπορίστως ἔχειν περὶ τὴν τῶν ἐξαιρέτων ἀπόδειξιν, ἀλλ᾽, ὡς ἔοικεν, καὶ γραφικῶς καὶ ἰσχυρῶς ἡμᾶς ἔπεισας.

Ο ΕΠΙΣΚΟΠΟΣ. Εἰ ταῦτα σαφῆ σοι καθέστηκεν, καὶ λοιπαῖς μαρτυρίαις λιπανῶ τὸν λόγον, ἵν᾽ οἱ φαῦλοι τὴν γνώμην, πεισθέντες ἐκ τούτων, παύσωνται τοῦ ἁρπάζειν ἃ λαβεῖν οὐ δεδύνηνται. εὕρομεν γὰρ καὶ τὴν ἱερωσύνην παρὰ ταῖς θείαις Γραφαῖς οὔτε κοινὴν οὖσαν οὔτε μεριστήν, ἀλλ᾽ ἐξαίρετον τῶν ἀξίων, καθὼς νουθετῶν Ἑβραίους λέγει ὁ μεγαλόφρων Παῦλος· “Οὐ γὰρ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλ᾽ ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ. οὕτως καὶ Ἀαρών,” φησιν, “οὐχ ἑαυτὸν ἐδόξασεν γενέσθαι ἀρχιερέα.” ἑξακοσίων γὰρ οὐσῶν χιλιάδων ἀνδρῶν καὶ πολλῶν ἐν αὐτοῖς ζῆλον ἐχόντων, εἷς ἀνηγορεύθη ὁ Ἀαρών, οὗ τὸ παράδοξον τῆς ῥάβδου, βλαστησάσης κάρυα, ἐδυσώπησε τοὺς πολλοὺς θεόληπτον εἶναι τὸν ἱερέα. τινὲς δὲ τῶν καλῶν ἀνεπιστήμονες, πάθει τρωθέντες κενῆς εὐδοξίας, τῶν κοινῶν ἢ τῶν μεριστῶν ὑποτοπήσαντες εἶναι ταύτην, αὐτοχειροτόνητοι ἐπισκιρτῶσι τῷ πράγματι, ἄξιον τὸ τέλος τῆς μανίας εὑρόμενοι, αὐτὴν τὴν γῆν τῆς συναγωγῆς τῆς προπετείας τῆς ἑαυτῶν καταστήσαντες μάρτυρα. Δαθὰν γὰρ καὶ Ἀβειρών, πορνικῷ ὀφθαλμῷ τοῦ ἀξιώματος ἐρασθέντες, ὑποβρύχιοι σὺν τοῖς πειθομένοις ἀπώλοντο, αὐτοσχέδιον τάφον τὴν ἑαυτῶν ἐκκλησίαν εὑρόμενοι. μετὰ τούτους Ὀζά, οὐ μεμνημένος τῶν προλαβόντων, ὑπὸ τοῦ πάθους συρόμενος, ἥρα τοῦ πράγματος· καὶ δὴ τῆς κιβωτοῦ μιᾷ τῶν ἡμερῶν ἐφ᾽ ἁμάξης ἐν ὁδῷ ἀγομένης, ἔτυχεν τὸν ἕλκοντα μόσχον ὑποτινάξαντα διασεῖσαι τὴν κιβωτόν. παρακολουθῶν οὖν Ὀζὰ ἐπελάβετο τῇ χειρί, οὐ συγχωρήσας ἀνατραπῆναι τὸ σκεῦος. ὡς δὲ εἶδεν ὁ Θεός, καὶ οὐκ ἤρεσεν αὐτόν, ὅτι ἐκ τούτου γίνεται συνήθεια τοῖς προπετέσιν, εἴργει, τὸν Ὀζὰ πατάξας ἕως θανάτου, παιδεύων τοὺς μετὰ ταῦτα παύσασθαι τῆς τοιαύτης μανίας. ὀψὲ δέ ποτε μετὰ μακροὺς τοὺς χρόνους, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, Σίμων ὁ μάγος ὁ ἀπὸ Γίτθων τῆς κώμης, σοφιστὴς τῶν ἐναντίων τῆς ἀληθείας δογμάτων, πανοῦργος ὑπάρχων ἐν πονηρίαις, σοφίζεται τὸ πάθος, φοβούμενος δῆθεν τῶν παλαιῶν τὴν ἐπιτιμίαν, ἵνα μὴ τὰ ὅμοια σπείρας, θερίσῃ τὰ ἴσα. προσέρχεται τοίνυν κολακείᾳ τοῖς

ἀποστόλοις, τῷ κωδίῳ τὸν λύκον ἐγκρύψας, μετὰ χρημάτων χρυσίου, ὡς οὐ δοκῶν ἁρπάζειν ἃ κακῶς ἀγοράζειν ἐσπούδαζεν, ἐκεῖνα λέγων ἃ πρέπει ἐκεῖνον καὶ ὅσοι τοῦτον μιμοῦνται. "Λάβετέ," φησι, "τὰ χρήματα ταῦτα καὶ δότε μοι τὴν ἐξουσίαν τῆς ὑμετέρας ἀξίας, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα Ἅγιον." ἦν δὲ βεβαπτισμένος εἰς τὸ ὄνομα Ἰησοῦ. ᾧ προσαποκρίνεται ὁ χορὸς τῶν ἀποστόλων· "Ἄπαγε, ἄνθρωπε· χάρις Θεοῦ πιπράσκεσθαι οὐκ ἀνέχεται." ὡς δ᾽ ἐπέμενε κρούων τὴν θύραν τοῖς λόγοις, ἔφησαν ἐκ δευτέρου· "Τί ἀγοράζεις ὃ δωρεὰν εὑρίσκεις, βιώσας ἀξίως;" ὡς δὲ ἐνενόει τοῦ βίου τοὺς πόνους καὶ τὸν ὄκνον τῆς ἑαυτοῦ διανοίας καὶ τὸ τοῦ πράγματος ἄδηλον, πάλιν ἐγύμνου τὸ χρύσιον τοῦ βαλαντίου, δελεάζειν οἰόμενος ἐν ἀπάτῃ τοὺς μαθητὰς τοῦ Σωτῆρος. ἀγανακτήσας πρὸς τούτοις "ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν," ἐφθέγξατο διὰ τοῦ Πέτρου λέγων· "Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι"· ᾧ περιέθηκεν τῆς μετανοίας τὸ φάρμακον, ἀλείφων αὐτὸν ἐν μακροθυμίᾳ, "Μετανόησον," λέγων, "εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα"· οὐ γὰρ βούλεται τῶν πλημμελούντων τὴν ἀπώλειαν φιλόψυχος ὤν. ἀποδεδειγμένων οὖν κατὰ δύναμιν τῶν προειρημένων, Θεόδωρε μεγαλώνυμε, καὶ μυστηρίων τῆς ἀληθείας διάκονε, πύθου παρ᾽ ἡμῶν περὶ ὧν προείλου μαθεῖν.

Ο ΔΙΑΚΟΝΟΣ. Πόθεν σε νῦν παραγενόμενον ἔχομεν τέως;

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἀπὸ τῆς ἀνατολῆς δηλονότι· ἐν πρώτοις γὰρ νῦν τὴν Ῥώμην τεθέαμαι.

Ο ΔΙΑΚΟΝΟΣ. Τί σε μάλιστα ἤγαγεν;

Ο ΕΠΙΣΚΟΠΟΣ. Ὁ τῆς ὑμετέρας εἰρήνης πόθος.

Ο ΔΙΑΚΟΝΟΣ. Ἄλλη γάρ τίς ἐστι παρὰ τὴν ὑμετέραν;

Ο ΕΠΙΣΚΟΠΟΣ. Οὐκ ἔστι μὲν ἄλλη, ἀλλὰ καὶ πάνυ γε μία, ἣν ἐκ τῶν οὐρανῶν δέδωκεν ὁ Σωτὴρ εἰρηκὼς τοῖς ἀποστόλοις· "Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν." ὑπὲρ δὲ βεβαίας χάριτος ἐδευτέρωσεν· "Εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν," -τὸ μὲν οὖν, "δίδωμι," τάξας ἐφ᾽ ἑαυτοῦ, τὸ δέ, "ἀφίημι," ἐπὶ τοῦ Πνεύματος τοῦ Ἁγίου, ἵν᾽ ἐν Πνεύματι διὰ Χριστοῦ τὴν τοῦ Πατρὸς ἀποκαλύψωσι γνῶσιν τοῖς ἔθνεσιν. ἀλλ᾽ ὥσπερ ἐπὶ τῶν παραλυθέντων μελῶν αἱ τῆς ψυχῆς ἐνέργειαι ἐπὶ τὰ ὑγιεινότερα τῶν μελῶν ἀνακάμπτουσι μέρη, τοῦτο δὴ πέπονθε καὶ ἡ ἀθλία ἑῴα. παραλυθέντων γὰρ αὐτῆς τῶν μελῶν

καὶ τὰς οἰκείας ἐνεργείας ἀποτελεῖν μὴ δυναμένων διὰ τὴν τῆς ὁμονοίας φυγήν, οἱ πλεῖστοι τῶν εὐζώνων καὶ γλιχομένων αὐτῆς φυγάδες τῆς χώρας κατέστημεν, ἀκινδύνως καὶ ἀπραγμόνως οἰκεῖν τὴν θρεψαμένην οὐ δυνάμενοι διὰ τὴν σχέσιν τῆς ἀληθείας, εἴ πως ὑμᾶς εὑρόντες, τὰς ὀλίγας ταύτας ἡμέρας τὰς λειπομένας τῷ βίῳ κατὰ τὸ Εὐαγγέλιον ζήσωμεν.

Ο ΔΙΑΚΟΝΟΣ. Ὡς ἔοικε, θαυμάσιε πάτερ, ὑπὸ τῆς προνοίας ἡμῖν ἀπεστάλης· συνᾴδουσαν γὰρ εὑρίσκω ταῖς ἡμετέραις ἀνίαις τὴν σὴν ἀλγηδόνα. οἶμαι γάρ σε τῆς συνόδου εἶναι Ἰωάννου τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως.

Ο ΕΠΙΣΚΟΠΟΣ. Οὕτως ἔχει ὡς εἴρηκας.

Ο ΔΙΑΚΟΝΟΣ. Παρακέκλησο τοίνυν, ἐπὶ Θεοῦ μάρτυρος, μετὰ πάσης ἀληθείας ἡμῖν διηγήσασθαι περὶ ὧν κατὰ μέρος μαθεῖν ἐπειγόμεθα· ὡς εἰδὼς τοῦτο, ὅτι εἴ τι παρὰ τὴν ἀλήθειαν ἡμῖν ἀπαγγείλῃς, ἕξεις μὲν τὸν Θεὸν δικαστὴν καὶ κριτήν, ἐλεγχθήσῃ δὲ καὶ παρ᾽ ἡμῶν ἑτέρως μαθόντων. οὐ γὰρ εἷς ἢ δύο ἢ τρεῖς ἢ δέκα ἢ οἱ τυχόντες ἡμῖν ἀφηγήσαντο περὶ τῶν ἐν Κωνσταντινουπόλει συμβάντων, ἀλλὰ καὶ πλείους, καὶ τούτων οἱ μὲν ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ τοῦ τάγματος τῶν μοναχῶν. καὶ εἰ βούλει συντόμως μαθεῖν τὰ τῆς ἐκκλησίας Ρωμαίων, παρέχω σοι τὴν γνῶσιν. πρῶτος πάντων παραγέγονε πρὸς ἡμᾶς ἀναγνώστης Ἀλεξανδρεὺς μετὰ γραμμάτων Θεοφίλου τοῦ πάπα, ἐν οἷς προσανέφερεν καθῃρηκέναι τὸν Ἰωάννην. οἷς γράμμασιν ἐντυχὼν ὁ μακάριος πάπας Ἰννοκέντιος μικρὸν ἀνετράπη, προπετείας καὶ τύφου καταγνοὺς Θεοφίλου, ὅτι καὶ μόνος γεγράφηκε καὶ σαφῆ τὴν γνῶσιν οὐκ ἔπεμψεν, ἢ δι᾽ ὃ καθεῖλεν ἢ μετὰ τίνων καθεῖλεν. ἐπὶ τούτοις διαπορῶν ἔμενεν, ἀντιγράφειν οὐ θέλων διὰ τὸ κοῦφον τοῦ πράγματος. ἐν οἷς Εὐσέβιός τις διάκονος τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας, ἐκκλησιαστικῶν ἕνεκεν διατρίβων ἐν τῇ Ρώμῃ, προσελθὼν τῷ πάπᾳ Ἰννοκεντίῳ, ἐντευκτικοὺς λιβέλλους ἐπέδωκεν, ὁρκίζων αὐτὸν μικρὸν ἀναμεῖναι χρόνον, ὀψόμενον τῆς συσκευῆς τὴν ἀποκάλυψιν. ἐν οἷς ἐπέστησαν μετὰ τρεῖς ἡμέρας ἐπίσκοποι τέσσαρες τοῦ μέρους Ἰωάννου, ἄνδρες εὐλαβεῖς, Πανσόφιος Πισιδίας, Πάππος Συρίας, Δημήτριος Γαλατίας δευτέρας, Εὐγένιος Φρυγίας, ἀναδόντες ἐπιστολάς, μίαν πρὸς ταῖς δυσί, τὴν μὲν Ἰωάννου τοῦ ἐπισκόπου, τὴν δὲ τεσσαράκοντα ἐπισκόπων ἑτέρων κοινωνικῶν Ἰωάννου, τὴν δὲ λοιπὴν τοῦ κλήρου

Ἰωάννου, συμφώνους τὰς τρεῖς ἀπαιδεύτων θόρυβον σημαινούσας. εἶχεν δὲ τὸ ὕφος τῆς ἐπιστολῆς τοῦ ἐπισκόπου Ἰωάννου·

-Κεφάλαιον Β΄.

”Τῷ δεσπότῃ μου αἰδεσίμῳ καὶ ὁσιωτάτῳ ἐπισκόπῳ Ἰννοκεντίῳ Ἰωάννης ἐν Κυρίῳ χαίρειν.

”Καὶ πρὸ τῶν γραμμάτων οἶμαι τῶν ἡμετέρων ἀκηκοέναι τὴν εὐλάβειαν ὑμῶν τὴν παρανομίαν τὴν ἐνταῦθα τολμηθεῖσαν. τὸ γὰρ μέγεθος τῶν δεινῶν οὐδὲ ἓν μέρος τῆς οἰκουμένης ἀφῆκεν ἀνήκοον εἶναι τῆς χαλεπῆς ταύτης τραγῳδίας, ἀλλὰ καὶ πρὸς αὐτὰς τὰς τῆς γῆς ἐσχατιὰς φέρουσα ἡ φήμη τὰ γεγενημένα, πολὺν πανταχοῦ θρῆνον καὶ ὀλοφυρμὸν εἰργάσατο. ἀλλ᾽ ἐπειδὴ οὐ θρηνεῖν δεῖ ταῦτα μόνον, ἀλλὰ καὶ διορθοῦν καὶ σκοπεῖν ὅπως ἂν ὁ χαλεπώτατος οὗτος σταίη χειμὼν τῆς ἐκκλησίας, ἀναγκαῖον εἶναι ἐνομίσαμεν τοὺς κυρίους μου τοὺς τιμιωτάτους καὶ εὐλαβεστάτους ἐπισκόπους Δημήτριον, Πανσόφιον, Πάππον, Εὐγένιον πεῖσαι, τὰς ἑαυτῶν ἐκκλησίας ἀφεῖναι, καὶ πελάγους κατατολμῆσαι τοσούτου, καὶ μακρὰν ἀποδημίαν στείλασθαι, καὶ πρὸς τὴν ὑμετέραν δραμεῖν ἀγάπην, καὶ πάντα σαφῶς ἀναδιδάξαντας ταχίστην παρασκευάσαι γενέσθαι τὴν διόρθωσιν. οἷς καὶ τοὺς τιμιωτάτους καὶ ἀγαπητοὺς διακόνους Παῦλον καὶ Κυριακὸν συνεπέμψαμεν. καὶ οὗτοι δέ, ὡς ἐν εἴδει ἐπιστολῆς, ἐν βραχεῖ διδάξουσιν ὑμῶν τὴν ἀγάπην τὰ γεγενημένα. ὁ γὰρ τῆς ἐκκλησίας τῆς Ἀλεξανδρείας τὴν προεδρίαν ἐγχειρισθεὶς Θεόφιλος, ἐντυχόντων τινῶν τῷ εὐσεβεστάτῳ βασιλεῖ κατ᾽ αὐτοῦ, κελευσθεὶς ἀφικέσθαι μόνος, συναγαγὼν μεθ᾽ ἑαυτοῦ πλῆθος Αἰγυπτίων οὐκ ὀλίγων παραγίνεται, καθάπερ ἐκ προοιμίων δεῖξαι βουλόμενος, ὅτι εἰς πόλεμον καὶ παράταξιν ἀφικνεῖται. εἶτα τῆς μεγάλης καὶ θεοφιλοῦς Κωνσταντινουπόλεως ἐπιβάς, οὐκ εἰς ἐκκλησίαν ἦλθεν κατὰ τὸν ἄνωθεν κρατήσαντα θεσμόν, οὐχ ἡμῖν συνεγένετο, οὐ λόγων μετέδωκεν, οὐκ εὐχῆς, οὐ κοινωνίας· ἀλλ᾽ ἀποβὰς τοῦ πλοίου καὶ τὰ πρόθυρα τῆς ἐκκλησίας παραδραμών, ἔξω που τῆς πόλεως ἀπελθὼν ηὐλίζετο. καὶ πολλὰ παρακαλεσάντων ἡμῶν καὶ αὐτὸν καὶ τοὺς μετ᾽ αὐτοῦ παραγενομένους παρ᾽ ἡμῖν καταχθῆναι (καὶ γὰρ πάντα ηὐτρέπιστο καὶ καταγώγια καὶ ὅσα εἰκὸς ἦν), οὔτε ἐκεῖνοι οὔτε αὐτὸς ἠνέσχετο. ταῦτα ὁρῶντες ἡμεῖς ἐν

ἀπορίᾳ ἦμεν πολλῇ, μηδὲ τὴν αἰτίαν δυνάμενοι τῆς ἀδίκου ταύτης ἀπεχθείας εὑρεῖν· ἀλλ᾽ ὅμως τὰ παρ᾽ ἑαυτῶν ἐπληροῦμεν, τὸ πρέπον ἡμῖν αὐτοῖς ποιοῦντες, καὶ συνεχῶς αὐτὸν παρακαλοῦντες συγγενέσθαι ἡμῖν καὶ εἰπεῖν τίνος ἕνεκεν τοσοῦτον ἐκ προοιμίων ἀνεῤῥίπισεν πόλεμον καὶ τηλικαύτην ἐσκανδάλισεν πόλιν. ὡς δὲ οὐδὲ οὕτως ἐβούλετο λέγειν τὴν αἰτίαν, οἵ τε κατηγοροῦντες αὐτοῦ ἐπέκειντο, καλέσας ἡμᾶς ὁ εὐσεβέστατος βασιλεὺς ἐκέλευσεν πέραν, ἔνθα διέτριβεν, ἀπιέναι καὶ τῆς κατ᾽ αὐτὸν ἀκούειν ὑποθέσεως· καὶ γὰρ ἔφοδον καὶ σφαγὰς καὶ ἕτερα ἐνεκάλουν μυρία. ἀλλ᾽ ἡμεῖς καὶ τοὺς νόμους τῶν πατέρων καὶ τὸν ἄνδρα αἰδούμενοι καὶ τιμῶντες, καὶ αὐτοῦ δὲ τὰ γράμματα ἔχοντες, ‘μὴ δεῖν ὑπερορίας ἕλκεσθαι τὰς δίκας, ἀλλ᾽ ἐν ταῖς ἰδίαις ἐπαρχίαις τὰ τῶν ἐπαρχιῶν γυμνάζεσθαι,’ οὐ κατεδεξάμεθα δικάσαι, ἀλλὰ καὶ μετὰ πολλῆς παρῃτησάμεθα τῆς σφοδρότητος. ὁ δέ, ὥσπερ τοῖς προτέροις ἐπαγωνιζόμενος, τὸν ἀρχιδιάκονον καλέσας τὸν ἐμὸν ἐξ αὐθεντείας πολλῆς, ὥσπερ χηρευσάσης ἤδη τῆς ἐκκλησίας καὶ οὐκ ἐχούσης ἐπίσκοπον, δι᾽ ἐκείνου τὸν κλῆρον πάντα πρὸς ἑαυτὸν μετέστησεν. καὶ ἀνάστατοι αἱ ἐκκλησίαι ἐγίνοντο, ἀπαγομένων τῶν ἐν ἑκάστῃ κληρικῶν, παρασκευαζομένων λιβέλλους διδόναι καθ᾽ ἡμῶν, πρὸς κατηγορίαν ἀλειφομένων. καὶ ταῦτα ποιήσας ἔπεμπεν καὶ ἐκάλει εἰς δικαστήριον ἡμᾶς, οὐδέπω τὰς καθ᾽ ἑαυτὸν ἀποδυσάμενος αἰτίας· ὃ μάλιστα καὶ παρὰ κανόνας καὶ παρὰ πάντας νόμους ἦν. ἀλλ᾽ ἡμεῖς συνειδότες, ὅτι οὐ πρὸς δικαστὴν ἀφικνούμεθα (ἢ γὰρ μυριάκις ἂν παρεγενόμεθα), ἀλλὰ πρὸς ἐχθρὸν καὶ πολέμιον, καθάπερ τὰ ἔμπροσθεν καὶ τὰ μετὰ ταῦτα ἐδήλωσεν, ἀπεστάλκαμεν πρὸς αὐτὸν ἐπισκόπους, τὸν Πισινοῦντος Δημήτριον, τὸν Ἀπαμείας Εὐλύσιον, τὸν Ἀππιαρίας Λουπίκινον, πρεσβυτέρους δὲ Γερμανὸν καὶ Σευῆρον, μετὰ τῆς προσηκούσης ἡμῖν ἐπιεικείας ἀποκρινόμενοι καὶ λέγοντες μὴ παραιτεῖσθαι κρίσιν, ἀλλ᾽ ἐχθρὸν καὶ πολέμιον φανερόν. ὁ γὰρ λιβέλλους μηδέπω δεξάμενος, καὶ τοιαῦτα ἐκ προοιμίων ποιήσας, καὶ ἀποῤῥήξας ἑαυτὸν ἐκκλησίας καὶ κοινωνίας καὶ εὐχῆς, καὶ κατηγόρους ἀλείφων, καὶ κλῆρον μεθιστάς, ἐκκλησίας ἐρημῶν, πῶς ἂν εἴη δίκαιος ἐπὶ τὸν τοῦ δικαστοῦ θρόνον ἀναβῆναι οὐδαμόθεν αὐτῷ προσήκοντα; οὔτε γὰρ ἀκόλουθον ἦν τὸν ἐξ Αἰγύπτου εἰς Θρᾴκην δικάζειν, καὶ τὸν ὑπεύθυνον ὄντα αἰτιῶν καὶ ἐχθρὸν καὶ πολέμιον. ἀλλ᾽ ὅμως οὐδὲν τούτων αἰδεσθείς, ἀλλ᾽ ὅπερ ἐβουλεύετο, πληρῶσαι ἐπειγόμενος, ἡμῶν δηλωσάντων ὅτι ἕτοιμοί ἐσμεν, καὶ

ἑκατὸν καὶ χιλίων ἐπισκόπων παρόντων, ἀποδύσασθαι τὰ ἐγκλήματα καὶ δεῖξαι ὄντας καθαροὺς ἑαυτούς, ὥσπερ οὖν καί ἐσμεν, οὐκ ἠνέσχετο. ἀλλ᾽ ἀπόντων ἡμῶν, καὶ σύνοδον ἐπικαλουμένων, καὶ κρίσιν ἐπιζητούντων, καὶ ἀκρόασιν οὐ φευγόντων, ἀλλ᾽ ἀπέχθειαν φανεράν, καὶ κατηγόρους ἐδέχετο, καὶ τοὺς παρ᾽ ἐμοῦ δεδεμένους ἔλυσεν, καὶ αὐτῶν ἐκείνων οὐδέπω τὰ ἐγκλήματα ἀποδυσαμένων λιβέλλους ἐλάμβανεν, καὶ ὑπομνήματα ἔπραττεν, ἅπερ ἅπαντα παρὰ θεσμὸν καὶ κανόνα καὶ ἀκολουθίαν ἦν. καὶ (τί γὰρ δεῖ τὰ πολλὰ λέγειν;) οὐκ ἀπέστη πάντα ποιῶν καὶ πραγματευόμενος, ἕως ἡμᾶς μετὰ δυναστείας καὶ αὐθεντείας ἁπάσης καὶ τῆς πόλεως καὶ τῆς ἐκκλησίας ἐξέβαλεν. καὶ πρὸς ἑσπέραν βαθεῖαν, τοῦ δήμου παντὸς ἡμῖν συσσυρομένου, ἑλκόμενος ὑπὸ τοῦ κουριώσου τῆς πόλεως ἐν μέσῃ τῇ πόλει, καὶ πρὸς βίαν συρόμενος κατηγόμην, καὶ εἰς πλοῖον ἐνεβαλλόμην, καὶ διὰ νυκτὸς ἀπέπλεον, ἐπεὶ σύνοδον πρὸς δικαίαν κρίσιν ἐκάλουν. τίς ἂν ταῦτα ἀδακρυτί, κἂν λιθίνην ἔχῃ τὴν καρδίαν, ἀκούσῃ; ἀλλ᾽ ἐπειδή, καθάπερ ἔφθην εἰπών, οὐ θρηνεῖν δεῖ μόνον, ἀλλὰ καὶ διορθοῦν, τὴν ὑμετέραν ἀγάπην παρακαλῶ διαναστῆναι καὶ συναλγῆσαι καὶ πάντα ποιῆσαι, ὥστε στῆναι ταυτὶ τὰ κακά. οὐδὲν γὰρ ἐνταῦθα τῆς παρανομίας αὐτῶν κατέλυσεν, ἀλλὰ καὶ μετὰ ταῦτα τοῖς προτέροις ἐπαπεδύετο. ἐπειδὴ γὰρ ὁ εὐσεβέστατος βασιλεὺς ἐπιπηδήσαντας τῇ ἐκκλησίᾳ ἀναισχύντως καὶ ἀδίκως ἐξέβαλεν, καὶ πολλοὶ τῶν ἐπισκόπων ἰδόντες αὐτῶν τὴν παρανομίαν εἰς τὰ ἑαυτῶν ἀνεχώρησαν, τὴν ἔφοδον αὐτῶν ὥσπερ πυρὰν πάντα ἐπινεμομένην φεύγοντες· ἡμεῖς μὲν πάλιν εἰς τὴν πόλιν ἀνεκαλούμεθα καὶ εἰς τὴν ἐκκλησίαν, ἧς ἀδίκως ἐξεβλήθημεν, ἐπισκόπων δὲ ἡμᾶς τριάκοντα εἰσαγαγόντων, καὶ τοῦ θεοσεβεστάτου βασιλέως νοτάριον εἰς τοῦτο ἀποστείλαντος, ἐκεῖνος δὲ ἐδραπέτευσεν εὐθέως, τίνος ἕνεκεν καὶ διὰ τί μὴ γινώσκοντες. εἰσελθόντες οὖν παρεκαλοῦμεν τὸν θεοσεβέστατον βασιλέα σύνοδον συναγαγεῖν εἰς ἐκδικίαν τῶν γεγενημένων. συνειδὼς τοίνυν ἅπερ ἔδρασε, καὶ τὸν ἔλεγχον δεδοικώς, τῶν γραμμάτων τῶν βασιλικῶν πανταχοῦ διαπεμφθέντων καὶ πανταχόθεν πάντας συναγαγόντων, λάθρᾳ μέσον νυκτῶν εἰς ἀκάτιον ἑαυτὸν ἐμβαλών, οὕτως ἀπέδρα μεθ᾽ ἑαυτοῦ πάντας ἐπαγόμενος. ἀλλ᾽ ἡμεῖς οὐδὲ οὕτως ἀπέστημεν, διὰ τὸ τῷ συνειδότι τῷ ἡμετέρῳ θαῤῥεῖν, τὰ αὐτὰ πάλιν παρακαλοῦντες τὸν εὐσεβέστατον βασιλέα. ὃς καὶ πρέποντα ποιῶν αὐτοῦ τῇ εὐσεβείᾳ, ἔπεμψε πάλιν πρὸς αὐτὸν ἐν τάχει ἐξ Αἰγύπτου ἀνιέναι καὶ τοὺς μετ᾽

αὐτοῦ πάντας, ὥστε δοῦναι λόγον τῶν γεγενημένων, καὶ μὴ τὰ ἀδίκως οὕτως ἐκ μιᾶς μοίρας καὶ ἀπόντων ἡμῶν τολμηθέντα, καὶ παρὰ τοσούτους κανόνας, νομίζειν ἀρκεῖν εἰς ἀπολογίαν αὐτοῦ. ὁ δὲ οὐδὲ βασιλικῶν ἠνέσχετο γραμμάτων, ἀλλ᾽ ἔμενεν οἴκοι προβαλλόμενος στάσιν τοῦ δήμου καὶ σπουδὴν ἄκαιρόν τινων δῆθεν ἀντεχομένων αὐτοῦ· καί τοι γε πρὸ τῶν γραμμάτων τῶν βασιλικῶν αὐτὸς οὗτος ὁ δῆμος μυρίαις αὐτὸν ἦν πλύνας λοιδορίαις. ἀλλ᾽ οὐ ταῦτα περιεργαζόμεθα νῦν· ἀλλ᾽ ἐκεῖνο δεῖξαι βουλόμενοι, ὅτι κακουργῶν ἀπελήφθη, ταῦτ᾽ εἰρήκαμεν. πλὴν οὐδὲ μετὰ ταῦτα ἡμεῖς ἡσυχάσαμεν, ἀλλ᾽ ἐπεκείμεθα ἀξιοῦντες δικαστήριον γενέσθαι καὶ κρίσιν καὶ ἀκρόασιν· ἕτοιμοι γὰρ ἦμεν δεῖξαι ἑαυτούς τε ἀνευθύνους ὄντας, ἐκείνους τε τὰ ἔσχατα παρανομήσαντας. ἦσαν δὲ καί τινες Σύροι τῶν τότε μετ᾽ αὐτοῦ παρόντων ἐνταῦθα ἀπολειφθέντες οἳ κοινῇ μετ᾽ αὐτοῦ τὸ πᾶν ἐδραματούργησαν. καὶ πρὸς τούτοις ἕτοιμοι ἦμεν δικάζεσθαι, καὶ πλειστάκις ἠνωχλήσαμεν ὑπὲρ τούτου, ἀξιοῦντες ἢ ὑπομνήματα ἡμῖν δοθῆναι, ἢ λιβέλλους κατηγόρων, ἢ φύσεις ἐγκλημάτων γνωρισθῆναι, ἢ αὐτοὺς τοὺς κατηγόρους· καὶ οὐδενὸς τούτων ἐτύχομεν, ἀλλὰ πάλιν ἐξώσθημεν τῆς ἐκκλησίας. πῶς ἂν τὰ ἐντεῦθεν διηγησαίμην λοιπὸν πᾶσαν ὑπερβαίνοντα τραγῳδίαν; τίς ταῦτα παραστήσει λόγος; ποία χωρὶς φρίκης δέξεται ἀκοή; ἡμῶν γὰρ αὐτὰ ταῦτα, ἅπερ ἔμπροσθεν εἶπον, προτεινόντων, ἀθρόον στρατιωτῶν πλῆθος αὐτῷ τῷ μεγάλῳ σαββάτῳ, πρὸς ἑσπέραν λοιπὸν τῆς ἡμέρας ἐπειγομένης, ταῖς ἐκκλησίαις ἐπεισῆλθον, τόν τε κλῆρον ἅπαντα τὸν σὺν ἡμῖν πρὸς βίαν ἐξέβαλον καὶ ὅπλοις τὸ βῆμα περιεστοιχίζετο. καὶ γυναῖκες τῶν εὐκτηρίων πρὸς τὸ βάπτισμα ἀποδυσάμεναι κατ᾽ αὐτὸν τὸν καιρόν, γυμναὶ ἐφυγαδεύοντο ὑπὸ τοῦ φόβου τῆς χαλεπῆς ταύτης ἐφόδου, οὐδὲ τὴν πρέπουσαν εὐσχημοσύνην γυναιξὶ συγχωρούμεναι περιθέσθαι. πολλαὶ δὲ καὶ τραύματα δεξάμεναι ἐξεβάλλοντο, καὶ αἵματος αἱ κολυμβῆθραι ἐπληροῦντο, καὶ τὰ ἱερὰ ἀπὸ τῶν τοιούτων τραυμάτων ἐφοινίσσετο νάματα. καὶ οὐδὲ ἐνταῦθα εἱστήκει τὸ δεινόν· ἀλλ᾽ ἔνθα τὰ ἅγια ἀπέκειντο, ἐλθόντες οἱ στρατιῶται (ὧν ἔνιοι, καθὼς ἔγνωμεν, καὶ ἀμύητοι ἦσαν) πάντα ἐθεώρουν τὰ ἔνδον· καὶ τὸ ἁγιώτατον αἷμα τοῦ Χριστοῦ, ὡς ἐν τοσούτῳ θορύβῳ, εἰς τὰ τῶν προειρημένων ἱμάτια ἐξεχεῖτο. καὶ ὡς ἐν αἰχμαλωσίᾳ βαρβαρικῇ πάντα ἐτολμᾶτο. καὶ ὁ δῆμος πρὸς τὴν ἐρημίαν ἠλαύνετο, καὶ πᾶς ὁ λαὸς ἔξω τῆς πόλεως ἔφευγεν· καὶ κεναὶ ἐν ἑορτῇ τοιαύτῃ αἱ ἐκκλησίαι τῶν λαῶν ἐγίνοντο,

καὶ πλείους ἢ τεσσαράκοντα ἐπίσκοποι, οἱ κοινωνοῦντες ἡμῖν, μετὰ τοῦ λαοῦ εἰκῆ καὶ μάτην ἐλαυνόμενοι. καὶ ὀλολυγαὶ πανταχοῦ καὶ οἰμωγαὶ καὶ κωκυτοὶ καὶ θρῆνοι καὶ πηγαὶ δακρύων κατὰ τὰς ἀγορὰς καὶ τὰς οἰκίας καὶ κατὰ τὰς ἐρήμους· καὶ τὸ πᾶν τῆς πόλεως μέρος τῶν συμφορῶν ἐπληροῦτο τούτων. διὰ γὰρ τὴν ὑπερβολὴν τῆς παρανομίας οὐχ οἱ πάσχοντες μόνον, ἀλλὰ καὶ οἱ μηδὲν τοιοῦτον ὑπομένοντες συνήλγουν ἡμῖν· οὐχ οἱ ὁμόδοξοι μόνον, ἀλλὰ καὶ οἱ αἱρετικοὶ καὶ Ἰουδαῖοι καὶ Ἕλληνες· καὶ ὡς τῆς πόλεως κατὰ κράτος ἁλούσης, οὕτως ἐν θορύβῳ καὶ ταραχαῖς καὶ ὀλολυγαῖς πάντα ἦν. καὶ ταῦτα ἐτολμᾶτο παρὰ γνώμην τοῦ εὐσεβεστάτου βασιλέως, νυκτὸς καταλαμβανούσης, ἐπισκόπων αὐτὰ κατασκευαζόντων, οἳ οὐκ ᾐσχύνοντο καμπιδούκτορας ἀντὶ τῶν διακόνων προηγουμένους ἔχοντες. ἡμέρας δὲ γενομένης, πᾶσα ἡ πόλις ἔξω τειχέων μετῳκίζετο, ὑπὸ δένδρα καὶ νάπας, καθάπερ πρόβατα διεσπαρμένα, τὴν ἑορτὴν ἐπιτελοῦντες. ἔξεστιν ὑμῖν τὰ ἐντεῦθεν λογίσασθαι λοιπὸν ἅπαντα· ὅπερ γὰρ ἔφθην εἰπών, οὐχ οἷόν τε πάντα ἐπελθεῖν τῷ λόγῳ τὰ καθ᾽ ἕκαστον γενόμενα. καὶ τὸ δὴ χαλεπόν, ὅτι τοσαῦτα καὶ τηλικαῦτα κακὰ οὐδέπω καὶ νῦν λύσιν ἔλαβεν, ἀλλ᾽ οὐδὲ ἐλπίδα λύσεως, ἀλλ᾽ ἐπιτείνεται καθ᾽ ἑκάστην ἡμέραν τὸ δεινόν, καὶ γέλως γεγόναμεν πολλοῖς· μᾶλλον δὲ γελᾷ μὲν οὐδείς, κἂν μυριάκις παρανομήσῃ, θρηνοῦσι δὲ πάντες, ὅπερ ἔφην, τὸν κολοφῶνα τῶν κακῶν, τὴν καινὴν ταύτην παρανομίαν. τίς ἂν εἴποι τὰς τῶν λοιπῶν ἐκκλησιῶν ταραχάς; οὐδὲ γὰρ ἐνταῦθα ἔστη τὸ χαλεπόν, ἀλλὰ μέχρι τῆς ἑῴας ἔφθασεν. καὶ καθάπερ ἀπὸ κεφαλῆς πονηροῦ ῥεύματος ἐκχυθέντος τὰ λοιπὰ διαφθείρεται μέλη, οὕτω δὴ καὶ νῦν ὥσπερ ἔκ πηγῆς τινος τῆς μεγάλης ταύτης πόλεως τῶν κακῶν ἀρξαμένων, ὁδῷ τὰ τῶν θορύβων πανταχοῦ προέβη. καὶ κληρικοὶ πανταχοῦ ἐπανέστησαν ἐπισκόποις, καὶ λαοί, οἱ μὲν διετμήθησαν, οἱ δὲ μέλλουσι· καὶ πανταχοῦ κακῶν ὠδῖνες καὶ τῆς οἰκουμένης πάσης ἀνατροπή. μαθόντες τοίνυν ἅπαντα, κύριοι τιμιώτατοι καὶ εὐλαβέστατοι, τὴν προσήκουσαν ὑμῖν ἀνδρείαν καὶ σπουδὴν ἐπιδείξασθε, ὥστε παρανομίαν τοσαύτην ἐπεισελθοῦσαν ταῖς ἐκκλησίαις ἀναστεῖλαι [παρακαλοῦμεν]. εἰ γὰρ τοῦτο κρατήσειεν τὸ ἔθος, καὶ ἐξὸν γένηται τοῖς βουλομένοις εἰς ἀλλοτρίας ἀπιέναι ἐπαρχίας ἐκ τοσούτων διαστημάτων καὶ ἐκβάλλειν οὓς ἂν ἐθέλοιεν, κατ᾽ ἐξουσίαν ἰδίαν πράττοντες ἅπερ ἂν ἐθέλοιεν, ἴστε, ὅτι πάντα οἰχήσεται καὶ πόλεμος ἀκήρυκτος πᾶσαν ἐπιδραμεῖται τὴν οἰκουμένην, πάντων πάντας τε

βαλλόντων καὶ βαλλομένων. ἵν᾽ οὖν μὴ τοσαύτη σύγχυσις καταλάβῃ τὴν ὑφ᾽ ἡλίῳ πᾶσαν, ἐπιστεῖλαι παρακαλῶ τὰ μὲν οὕτως γεγενημένα παρανόμως ἀπόντων ἡμῶν καὶ ἐκ μιᾶς μοίρας, καὶ οὐ παραιτουμένων κρίσιν, μηδεμίαν ἔχειν ἰσχύν (ὥσπερ οὖν οὐδὲ ἔχει τῇ οἰκείᾳ φύσει), τοὺς δὲ τοιαῦτα παρανομήσαντας τῷ ἐπιτιμίῳ ὑποβάλλεσθαι τοῦ ἐκκλησιαστικοῦ νόμου· ἡμᾶς δὲ τοὺς οὐχ ἁλόντας, οὐκ ἐληλεγμένους, οὐκ ἀποδειχθέντας ὑπευθύνους, τῶν πραγμάτων ἀπολαύειν τῶν ὑμετέρων συνήθως, καὶ τῆς ἀγάπης, καὶ πάντων τῶν ἄλλων, ὥσπερ καὶ ἔμπροσθεν. εἰ δὲ βούλοιντο καὶ νῦν οἱ τὰ τοιαῦτα παρανομήσαντες τὰ ἐγκλήματα γυμνάζειν, ἐφ᾽ οἷς ἡμᾶς ἀδίκως ἐξέβαλον, τῶν ὑπομνημάτων ἡμῖν δοθέντων, τῶν λιβέλλων τῶν κατηγόρων φανέντων, δικαστηρίου καθίσαντος ἀδεκάστου, καὶ δικασώμεθα καὶ ἀπολογησώμεθα καὶ δείξωμεν ἑαυτοὺς ἀνευθύνους τῶν ἐπαγομένων ἡμῖν, ὥσπερ οὖν καί ἐσμεν. τὰ γὰρ νῦν γεγενημένα παρ᾽ αὐτῶν ἐκτός εἰσι πάσης ἀκολουθίας καὶ παντὸς νόμου καὶ κανόνος ἐκκλησιαστικοῦ. καὶ τί λέγω κανόνος ἐκκλησιαστικοῦ; οὐδὲ ἐν τοῖς ἔξω μὲν οὖν δικαστηρίοις τοιαῦτα ἐτολμήθη ποτέ, μᾶλλον δὲ οὐδὲ ἐν βαρβαρικῷ δικαστηρίῳ. οὐδὲ Σκύθαι καὶ Σαρμάται οὐκ ἂν ποτε ἐδίκασαν ἐκ μιᾶς μοίρας κρίναντες, ἀπόντος τοῦ αἰτιωμένου, καὶ παραιτουμένου οὐ κρίσιν, ἀλλ᾽ ἀπέχθειαν, καλοῦντος δικαστὰς μυρίους, ἀνεύθυνον ἑαυτὸν λέγοντος εἶναι, ἑτοίμου ὄντος τῆς οἰκουμένης παρούσης ἀποδύσασθαι τὰς αἰτίας, καὶ δεῖξαι ἑαυτὸν ἀθῷον ἐν ἅπασιν ὄντα. ταῦτ᾽ οὖν ἅπαντα λογισάμενοι καὶ παρὰ τῶν κυρίων μου τῶν εὐλαβεστάτων ἀδελφῶν ἡμῶν τῶν ἐπισκόπων σαφέστερον ἅπαντα μαθόντες, τὴν παρ᾽ ἑαυτῶν εἰσενεγκεῖν σπουδὴν παρακέκλησθε. οὕτω γὰρ οὐχ ἡμῖν μόνοις χαρίσησθε, ἀλλὰ καὶ τῷ κοινῷ τῶν ἐκκλησιῶν, καὶ τὸν παρὰ Θεοῦ λήψησθε μισθόν, τοῦ διὰ τὴν τῶν ἐκκλησιῶν εἰρήνην πάντα ποιοῦντος διηνεκῶς. ἐγράφη δὲ αὕτη καὶ πρὸς Βενέριον, ἐπίσκοπον Μεδιολάνου, καὶ Χρωμάτιον, ἐπίσκοπον Ἀκυληΐας.

"Ἔῤῥωσο ἐν Κυρίῳ. “

-Κεφάλαιον Γ΄.

Πρὸς τούτοις ἀνταπέστειλεν ὁ μακάριος Ἰννοκέντιος ὁ πάπας ἀμφοτέροις τοῖς μέρεσι τὰ ἴσα τῆς κοινωνίας, ἀθετήσας τὴν δόξασαν

γεγενῆσθαι κρίσιν παρὰ Θεοφίλου, εἰπὼν δεῖν ἑτέραν ἀνεπίληπτον συγκροτηθῆναι σύνοδον δυτικῶν τε καὶ ἀνατολικῶν, ὑποχωρούντων τοῦ συνεδρίου φίλων πρῶτον, ἔπειτα καὶ ἐχθρῶν, οὐδὲ γὰρ παρ᾽ ὁποτέρων, ὡς ἐπὶ τὸ πλεῖστον, ὀρθὸν αὐτῶν ἐστι τὸ κριτήριον. μετ᾽ ὀλίγας πάλιν ἡμέρας ἐπέστη τις πρεσβύτερος Θεοφίλου Πέτρος, ἅμα Μαρτυρίῳ διακόνῳ τῆς Κωνσταντινουπολιτῶν, ἐπιδόντες ἐπιστολὰς τοῦ αὐτοῦ καί τινα ὑπομνημάτια δῆθεν, ἐν οἷς ἐδόκει κατακεκρίσθαι ὁ Ἰωάννης παρὰ τριάκοντα ἓξ ἐπισκόπων, ὧν οἱ μὲν εἴκοσι ἐννέα ἦσαν Αἰγύπτιοι, ἑπτὰ δὲ τῶν ἄλλων κλιμάτων. οἷς ὑπομνήμασιν ἐντυχὼν ὁ πάπας Ἰννοκέντιος, καὶ εὑρὼν μήτε τὰς αἰτίας οὔσας βαρείας, μήτε τὸν Ἰωάννην παρόντα καὶ κατὰ πρόσωπον ἐλεγχθέντα, ἔμενεν κατασυρίζων τῆς Θεοφίλου μανίας, ὅτι κατὰ ἀπόντος τοιαύτην ἀπότομον ἐξέβρασε ψῆφον. ἀπολύσας οὖν αὐτοὺς μετὰ ἐλεγκτικῶν γραμμάτων, ηὔχετο τὸν Θεὸν ἱκετεύων μετὰ νηστείας, καὶ τῆς ἐκκλησίας παραλυθῆναι μὲν τὴν διχοστασίαν, συναρμοσθῆναι δὲ τὴν φιλαδελφίαν. ἦν δὲ τῆς ἐπιστολῆς ἡ δύναμις αὕτη· “Ἀδελφὲ Θεόφιλε, ἡμεῖς καί σε ἴσμεν κοινωνικὸν καὶ τὸν ἀδελφὸν Ἰωάννην, ὡς καὶ ἐν τοῖς πρώτοις γράμμασι φανερὰν ἡμῶν τὴν γνώμην ἐποιήσαμεν. καὶ νῦν δὲ οὐκ ἐκστάντες τῆς αὐτῆς προαιρέσεως, πάλιν σοι τὰ αὐτὰ γράφομεν καὶ ὁσάκις ἂν ἀποστείλῃς· ὅτι, ἐὰν μὴ δέουσα κρίσις παρακολουθήσῃ ἐπὶ τοῖς παιγνιωδῶς γεγενημένοις, ἀμήχανόν ἐστιν ἀλόγως ἡμᾶς ἀποστῆναι τῆς Ἰωάννου κοινωνίας. ὡς γοῦν, εἰ θαῤῥεῖς σὺ τῷ κριτηρίῳ, ἀπάντησον τῇ κατὰ Χριστὸν γινομένῃ συνόδῳ, κἀκεῖ τὰς αἰτίας γυμνάσας ὑπὸ μάρτυσι τοῖς Νικαίας κανόσιν (ἄλλον γὰρ κανόνα ἡ Ρωμαίων οὐ παραδέχεται ἐκκλησία), ἀναντίῤῥητον τὴν ἀσφάλειαν σχήσῃ.” μικροῦ δὲ παριππάσαντος χρόνου, ἐπέστη πρεσβύτερος Κωνσταντινουπόλεως Θεότεκνος ὀνόματι, ἐπιδοὺς ἐπιστολὰς τῆς συνόδου τῆς Ἰωάννου εἴκοσι πέντε ἐπισκόπων μικρῷ πρός· ἐν οἷς ἀνεδίδαξαν καὶ στρατιωτικῇ βοηθείᾳ ἐκβεβλῆσθαι τὸν Ἰωάννην τῆς πόλεως, καὶ εἰς ἐξορίαν ἐν Κουκουσῷ πεπέμφθαι, καὶ τὴν ἐκκλησίαν ἐμπεπρῆσθαι, ᾧ καὶ αὐτῷ δοὺς κοινωνικὰ γράμματα πρός τε τὸν ἐπίσκοπον Ἰωάννην καὶ πρὸς τοὺς αὐτῷ κοινωνοῦντας, παρεκάλει μετὰ δακρύων μακροθυμεῖν, βοηθεῖν οὐ δυνάμενος διὰ τὸ ἀντιπράττειν τινὰς τοὺς τὸ κακὸν δυναμένους. μετὰ μικρὸν ὕστερον ἐπέστη ἀνθρωπίσκος, δυσειδὴς ἰδεῖν, δυσμενὴς νοηθῆναι Πάτερνος τοὔνομα, λέγων ἑαυτὸν πρεσβύτερον τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας· ὃς καὶ αὐτὸς

ὅλος δι᾿ ὅλου σεσοβημένος, ἐκ τοῦ εἴδους τὴν ἔχθραν ἐπιδεικνύων, πολλὰς καταχέων λοιδορίας κατὰ τοῦ ἐπισκόπου Ἰωάννου, ἐπιδέδωκεν γράμματα ἐπισκόπων ὀλίγων, Ἀκακίου, Παύλου, Ἀντιόχου, Κυρίνου, Σευηριανοῦ, καὶ ἑτέρων τινῶν, ἐν οἷς συκοφαντοῦσι τὸν Ἰωάννην ὡς καύσαντα τὴν ἐκκλησίαν. οὕτως ψευδὴς ἡμῖν ἐφάνη ὁ λόγος, ὡς μηδὲ διὰ τοῦτο δοῦναι ἀπολογίαν τὸν Ἰωάννην ἐν ἐπισήμῳ συνόδῳ· οὗ καταπτύσας ὁ πάπας Ἰννοκέντιος, οὐδὲ ἀντιγράφων ἠξίωσεν.

Ο ΕΠΙΣΚΟΠΟΣ. Καταξίωσον οὖν ὑποσχεῖν μοι τὴν ἀκοήν, ἵνα σοι καθ᾿ ἕκαστον ἀφηγήσωμαι· πάνυ γάρ, ὡς λέγει ὁ Ἐλιοῦς τῷ Ἰώβ, "Συνέχει με τὸ πνεῦμα τῆς γαστρός," -"γαστέρα" τὴν διάνοιαν αἰνιττόμενος πεπληρωμένην λόγων.

Ο ΔΙΑΚΟΝΟΣ. Ἀναγκαῖόν ἐστιν ἐκπληρῶσαί με, ἀγαθώτατε πάτερ, τὴν ἀκρίβειαν τῶν καθ᾿ ἡμᾶς φθασάντων, ἵν᾿ οὕτως ἄρξωμαι τῆς πρὸς σὲ ἐρωτήσεως. πάλιν τοίνυν μεθ᾿ ἡμέρας τινὰς ἐπέστη ὁ Συννάδων ἐπίσκοπος Κυριακός, γράμματα μὲν οὐκ ἔχων, ἱκανὸς δὲ πρὸς διήγησιν ἐναρμόνιον· ὃς ἔλεγεν πεφευγέναι διὰ τὴν τοῦ βασιλικοῦ διατάγματος ἀπειλὴν περιέχουσαν, ὅτι "Εἴ τις οὐ κοινωνεῖ Θεοφίλῳ καὶ Ἀρσακίῳ καὶ Πορφυρίῳ, ὁ τοιοῦτος τῆς μὲν ἐπισκοπῆς εἰργέσθω· προσαπολλύτω δέ, εἴ τινα δοκεῖ ἔχειν οὐσίαν χρημάτων ἢ κτημάτων." μετὰ τὸν Κυριακὸν παρεγένετο Εὐλύσιος, ὁ Ἀπαμείας ἐπίσκοπος τῆς Βιθυνίας, ἐπιδοὺς γράμματα πεντεκαίδεκα ἐπισκόπων τῆς συνόδου Ἰωάννου καὶ τοῦ καλογήρου Ἀνυσίου, τοῦ Θεσσαλονίκης ἐπισκόπου· ἐν οἷς οἱ μὲν τὴν προγενομένην καὶ γινομένην ἀναδιδάσκουσι λαφυραγωγίαν πάσης τῆς Κωνσταντινουπόλεως· ὁ δέ, ὡς ἐμμένει τῇ κρίσει τῇ τῶν Ρωμαίων. ὁ δὲ καὶ αὐτὸς Εὐλύσιος διηγήσατο συνῳδὰ τῷ Κυριακῷ. παραδραμόντος δὲ μηνὸς ἡμερῶν ἐπέστη Παλλάδιος, ὁ ἐπίσκοπος Ἑλενουπόλεως, δίχα γραμμάτων, ὃς ἔλεγεν καὶ αὐτὸς πεφευγέναι τὴν τῶν ἀρχόντων μανίαν· ἐγκεντρότερον δὲ ἡμῖν ἀφηγήσατο, ἐπιδείξας ἀντίγραφον διατάγματος περιέχοντος, ὡς "Τὸν κρύπτοντα ἐπίσκοπον ἢ κληρικόν, ἢ ὅλως δεχόμενον ἐν οἰκίᾳ κοινωνικὸν Ἰωάννου, τὸν οἶκον δημεύεσθαι." μετὰ τὸν Παλλάδιον Γερμανὸς πρεσβύτερος ἅμα Κασσιανῷ διακόνῳ τῶν Ἰωάννου, ἄνδρες εὐλαβεῖς, ἐπιδόντες γράμματα παντὸς τοῦ κλήρου Ἰωάννου ἐπέστησαν· ὅπου γράφουσι βίαν καὶ τυραννίδα ὑπομεμενηκέναι αὐτῶν τὴν ἐκκλησίαν, τοῦ ἐπισκόπου αὐτῶν στρατιωτικῇ βοηθείᾳ ἐκβληθέντος, καὶ εἰς ἐξορίαν

πεμφθέντος κατὰ συσκευὴν Ἀκακίου Βεροίας, καὶ Θεοφίλου Ἀλεξανδρείας, καὶ Ἀντιόχου Πτολεμαΐδος, καὶ Σευηριανοῦ Γαβάλων· ἐν οἷς καὶ βρέβιον ἐπέδειξαν οἱ προειρημένοι, ὅπου τὰ κειμήλια παραδιδόασιν ὑπὸ μάρτυσι τοῖς δικασταῖς, Στουδίου ἐπάρχου πόλεως, καὶ Εὐτυχιανοῦ τῶν πραιτωρίων, καὶ Ἰωάννου κόμητος θησαυρῶν, καὶ Εὐσταθίου κυαίστορος καὶ ταβουλαρίου, ἔν τε χρυσῷ καὶ ἀργύρῳ καὶ ἀμφίοις, ἀποτριψάμενοι τοῦ ἐπισκόπου Ἰωάννου τὴν συκοφαντίαν. μετὰ τούτους ἦλθε Δημήτριος ἐκ δευτέρου, ὁ ἐπίσκοπος Πισινούντων, περιδραμὼν τὴν ἀνατολήν, καὶ κηρύξας τὴν Ῥωμαίων κοινωνίαν τὴν πρὸς τὸν ἐπίσκοπον Ἰωάννην μετὰ γραμμάτων τοῦ πάπα Ἰννοκεντίου, ἐνεγκὼν καὶ γράμματα τῶν ἀπὸ Καρίας ἐπισκόπων, ὅπου ἀσπάζονται τὴν Ἰωάννου κοινωνίαν, καὶ τῶν ἀπὸ Ἀντιοχείας πρεσβυτέρων, ὅπου ἐπισπῶνται τὴν τῶν Ῥωμαίων εὐταξίαν καὶ ἀποδύρονται τὴν Πορφυρίου χειροτονίαν ἀθέσμως καὶ ἀνοσίως γεγενημένην. μεθ᾽ οὓς πάντας ἐλήλυθεν ὁ πρεσβύτερος Δομετιανός, οἰκονόμος τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας, καὶ Οὐαλλαγᾶς τις, πρεσβύτερος Νισίβιος, διηγούμενος τῶν μοναστηρίων τῶν ἐν Μεσοποταμίᾳ τὸν ὀδυρμόν, ἐπιδόντες καὶ ὑπομνήματα Ὀπτάτου τινὸς ἐπάρχου, ὅπου κόσμιαι γυναῖκες ἐκ γένους ὑπάτων ἄγονται δημοσίᾳ ὄψει πρὸς αὐτόν, διάκονοι τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας, ἀναγκαζόμεναι ἢ κοινωνῆσαι Ἀρσακίῳ ἢ δοῦναι πρὸς διακοσίας λίτρας χρυσίου ταῖς ταμειακαῖς ψήφοις. περὶ δὲ ἀσκητῶν καὶ παρθένων τί δεῖ καὶ λέγειν; οἵτινες ἐπεδείκνυντο ξεσμὸν πλευρῶν ἐπὶ ξύλου καὶ αἰκισμὸν νώτων· ὡς μηκέτι καρτερήσαντα τὸν πάπαν Ἰννοκέντιον ἀποστεῖλαι πρὸς τὸν εὐσεβῆ βασιλέα Ὁνώριον, ὑποτάξαντα κατὰ μέρος τῶν γραμμάτων τὴν δύναμιν. ἐν οἷς κινηθεῖσα αὐτοῦ ἡ εὐσέβεια προστάσσει σύνοδον συγκροτηθῆναι τῶν δυτικῶν, καὶ κοινῇ μίαν ἐξενεγκόντας ψῆφον ἀνενεγκεῖν ἐπὶ τὴν αὐτοῦ εὐσέβειαν. οἵτινες ἐπίσκοποι τῆς Ἰταλίας συναχθέντες παρακαλοῦσι τὸν βασιλέα γράψαι τῷ ἑαυτοῦ ἀδελφῷ καὶ συμβασιλεῖ Ἀρκαδίῳ, προστάξαι ἐν Θεσσαλονίκῃ γενέσθαι σύνοδον, ὥστε δυνηθῆναι εὐκόλως ἀμφότερα συνδραμεῖν τὰ μέρη ἀνατολῆς τε καὶ δύσεως πρὸς τὸ τελείαν γενομένην σύνοδον, οὐκ ἐν ποσότητι ἀριθμοῦ, ἀλλ᾽ ἐν ποιότητι γνώμης, ἀναμφίλεκτον ἐξενεγκεῖν ψῆφον. ἐξ ὧν πυρωθεῖσα αὐτοῦ ἡ εὐσέβεια τῷ μὲν ἐπισκόπῳ Ῥώμης ἐπιστέλλει πέμψαι ἐπισκόπους μὲν πέντε, πρεσβυτέρους δὲ δύο τῆς Ῥώμης, διάκονον δὲ ἕνα, ὥστε διακομίσαι

αὐτοῦ τὴν πρὸς τὸν ἀδελφὸν ἐπιστολήν, ἥτις ἐπιστολὴ περιεῖχεν τὴν δύναμιν ταύτην· “Τρίτον γράφω πρὸς τὴν σὴν ἡμερότητα, ἀξιῶν ἵνα διορθώσεως τύχῃ τὰ κατὰ τὴν συσκευὴν τοῦ ἐπισκόπου Ἰωάννου τῆς Κωνσταντινουπολιτῶν· καί, ὡς ἔοικεν, οὐκ ἤνυσται. ὅθεν πάλιν ἐπέστειλα διὰ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων, πάνυ φροντίζων τῆς ἐκκλησιαστικῆς εἰρήνης, δι᾽ ἧς καὶ ἡ ἡμῶν εἰρηνεύεται βασιλεία, ἵνα καταξιώσῃς προστάξαι ἐν Θεσσαλονίκῃ συνελθεῖν τοὺς τῆς ἑῴας ἐπισκόπους. καὶ γὰρ οἱ τῆς ἡμετέρας ἑσπερίας ἐπίσκοποι, ἐκλεξάμενοι ἄνδρας ἀκλινεῖς πρὸς κακίαν καὶ ψεῦδος, ἀπεστάλκασιν ἐπισκόπους μὲν πέντε, πρεσβυτέρους δὲ δύο, διάκονον δὲ ἕνα τῆς μεγίστης ἐκκλησίας Ρωμαίων. ὧν φροντίσαι παντοίαις τιμαῖς καταξίωσον, ἵν᾽, ἢ μὲν πεισθέντες ὅτιπερ δικαίως ἐκβέβληται ὁ ἐπίσκοπος Ἰωάννης, διδάξωσί με ἀποστῆναι τῆς αὐτοῦ κοινωνίας· ἢ ἐλέγξαντες ἐθελοκακοῦντας τοὺς τῆς ἀνατολῆς ἐπισκόπους, ἀποστρέψωσί σε τῆς αὐτῶν κοινωνίας. τίνα γάρ ἐστιν ἃ φρονοῦσιν περὶ τοῦ ἐπισκόπου Ἰωάννου οἱ δυτικοί, ἐκ πασῶν τῶν ἐπιστολῶν τῶν πρός με γραφεισῶν ὑπέταξα δύο, ἰσοδυναμούσας ταῖς πάσαις, τὴν ἐπιστολὴν τοῦ Ρώμης καὶ τοῦ Ἀκυληΐας. τοῦτο δὲ παρακαλῶ τὴν σὴν ἡμερότητα πρὸ πάντων, καὶ ἄκοντα τὸν Ἀλεξανδρείας Θεόφιλον παραστῆναι δικαίωσον, δι᾽ ὃν μάλιστα λέγεται ἅπαντα τὰ κακὰ γεγενῆσθαι· ἵνα εἰς μηδὲν ἡ τῶν παραγενομένων ἐπισκόπων ἐμποδισθεῖσα σύνοδος τὴν πρέπουσαν τοῖς καιροῖς ἡμῶν εἰρήνην βραβεύσῃ.”

-Κεφάλαιον Δ΄.

Λαβόντες τοιγαροῦν οἱ περὶ τὸν ἅγιον ἐπίσκοπον Αἰμίλιον Βενεβεντοῦ καὶ Κυθήγιον καὶ Γαυδέντιον σὺν Οὐαλεντινιανῷ καὶ Βονιφατίῳ τοῖς πρεσβυτέροις τὰ γράμματα τοῦ τε βασιλέως Ὀνωρίου τοῦ τε Ἰννοκεντίου καὶ τῶν Ἰταλῶν ἐπισκόπων, Χρωματίου Ἀκυληΐας καὶ Βενερίου Μεδιολάνων καὶ τῶν λοιπῶν, καὶ ὑπομνηστικὸν τῆς συνόδου πάσης δύσεως, δημοσίοις συνθήμασιν ἀπεστάλησαν εἰς τὴν Κωνσταντινούπολιν σὺν τοῖς περὶ Κυριακὸν καὶ Δημήτριον καὶ Παλλάδιον καὶ Εὐλύσιον τοὺς ἐπισκόπους. εἶχεν δὲ τὸ ὑπομνηστικόν, μὴ δεῖν εἰσελθεῖν Ἰωάννην εἰς κρίσιν, ἐὰν μὴ πρότερον ἀποκατασταθῇ αὐτῷ ἥ τε ἐκκλησία καὶ ἡ κοινωνία, ἵν᾽ εἰς μηδὲν ἔχων

ὑπερτίθεσθαι, αὐθαίρετος εἰσέλθῃ εἰς τὸ συνέδριον. ἀπελθόντες οὖν εἰς τὴν Κωνσταντινούπολιν, ὑπέστρεψαν μετὰ τέσσαρας μῆνας, διηγούμενοι Βαβυλώνια πράγματα· ὅτι "Κατεσχέθημεν παραπλέοντες τὴν Ἑλλάδα Ἀθήναζε ὑπὸ χιλιάρχου τινὸς δυστήνου, ὃς ἐξαυτῆς συνέζευξεν ἡμῖν ἑκατοντάρχην ἕνα, μὴ συγχωρήσας ἡμῖν παραβαλεῖν τῇ Θεσσαλονίκῃ·" ἐκεῖ γὰρ αὐτῶν ἦν ὁ σκοπὸς πρῶτον ἀποδοῦναι τὰ γράμματα Ἀνυσίῳ τῷ ἐπισκόπῳ. "Ἐμβαλὼν οὖν ἡμᾶς," φησιν, "εἰς δύο πλοῖα ἐξέπεμψεν. ἐπιγενομένου δὲ βιαίου νότου, ἄσιτοι διὰ τριῶν ἡμερῶν διαπλεύσαντες τὸ κατὰ τὸν Αἰγαίωνα πέλαγος καὶ τὰ στενά, δωδεκάτην ὥραν τῇ τρίτῃ ὡρμήσαμεν πρὸ τῆς πόλεως πλησίον τῶν Βίκτορος προαστείων. ἐν ᾧ κατασχεθέντες τόπῳ ὑπὸ τῶν τοὺς λιμένας πραττόντων, ἀπήλθομεν εἰς τὰ ὀπίσω (τίνος δὲ κελεύσαντος οὐκ ἔγνωμεν), καὶ συγκλεισθέντες εἰς φρούριον τῆς Θρᾴκης παραθαλάσσιον, Ἀθύραν καλούμενον, ἐκεῖθέν τε στρεβλωθέντες, οἱ μὲν Ρωμαῖοι ἐν οἰκίσκῳ ἐνί, καὶ ἐν διαφόροις οἱ περὶ Κυριακόν, ὡς μηδὲ παῖδα ἔχειν εἰς ὑπηρεσίαν. καὶ ἀπαιτούμενοι τὰ γράμματα, οὐ δεδώκαμεν, εἰπόντες ὅτι 'Πῶς οἷόν τέ ἐστι πρεσβευτὰς ἡμᾶς ὄντας μὴ αὐτῷ τῷ βασιλεῖ ἐπιδοῦναι τὰ τοῦ βασιλέως γράμματα καὶ τῶν ἐπισκόπων;' ὡς οὖν ἐμένομεν μὴ διδόντες, πρώτου ἐλθόντος Πατρικίου νοταρίου πρὸς ἡμᾶς, ἔπειτά τινων ἑτέρων, τελευταῖον ἦλθέ τις ἀφηγούμενος ἑνὸς ἀριθμοῦ, Οὐαλεριανὸς ὀνόματι, Καππαδόκης, καὶ κλάσας τὸν ἀντίχειρα τοῦ ἐπισκόπου Μαριανοῦ, ἀφεῖλεν ἐσφραγισμένην τὴν ἐπιστολὴν τοῦ βασιλέως σὺν ταῖς λοιπαῖς ἐπιστολαῖς. ἐπιγενομένης οὖν δευτέρας ἡμέρας, ἀπέστειλαν πρὸς ἡμᾶς, εἴτε οἱ τῆς τοῦ βασιλέως αὐλῆς, εἴτε οἱ περὶ Ἀττικόν, ἀγνοοῦμεν (αὐτὸς γὰρ ἐλέγετο ἐπιπεπηδηκέναι τῷ θρόνῳ τῆς ἐκκλησίας), ἐπιδιδόντες ἡμῖν νομίσματα τρισχίλια, ἀξιοῦντες πεισθέντας ἡμᾶς κοινωνῆσαι τῷ Ἀττικῷ, παρασιωπήσαντας τὴν Ἰωάννου δίκην. οἷς μὴ πεισθέντες, ἐμένομεν προσευχόμενοι, πρὸς τὸ μηδὲν εἰρηνικὸν ἀνύειν, κἂν ἀκινδύνως καταλαβεῖν ἡμῶν τὰς ἐκκλησίας, τὴν τοσαύτην ὁρῶντες ἀνημερότητα." τοῦτο καὶ τοῦ Σωτῆρος Θεοῦ διαφόροις ἀποκαλύψεσιν αὐτοὺς φωτίσαντος, ὡς καὶ τῷ διακόνῳ τοῦ ἁγίου Αἰμιλίου Παύλῳ, ἀνδρὶ πραϋτάτῳ καὶ σώφρονι, ὀφθῆναι ἐν τῷ πλοίῳ τὸν μακάριον Παῦλον τὸν ἀπόστολον λέγοντα αὐτῷ· "Βλέπετε πῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι ἀλλ᾽ ὡς σοφοί, εἰδότες ὅτι αἱ ἡμέραι πονηραί εἰσιν," -αἰνιττομένου τοῦ ὀνείρου τὴν πολύτροπον αὐτῶν ἀπάτην, τήν τε διὰ

δώρων καὶ κολακείας ἐπὶ παραχαράξει τῆς ἀληθείας. "Ἐπιστὰς οὖν ὁ αὐτός," φησιν, "Οὐαλεριανὸς ὁ χιλίαρχος ἐνέβαλεν ἡμᾶς εἰς σαθρότατον πλοῖον, ὡς ἐθρυλεῖτο, δοὺς τὴν τιμὴν τῷ ναυκλήρῳ ἐπισκόπων τῆς ἀπωλείας τῶν ἐμπλεόντων, ἅμα εἴκοσι στρατιώταις ἐκ τάξεων διαφόρων, παραχρῆμα ἐξέωσεν τῶν Ἀθύρων. διαπλεύσαντες οὖν ἱκανοὺς σταδίους καὶ μέλλοντες ἀπόλλυσθαι, προσωρμήσαμεν τῇ Λαμψάκῳ· κἀκεῖθεν ἀμείψαντες τὴν ὁλκάδα κατήχθημεν τῇ εἰκοστῇ ἐν Ὑδροῦντι τῆς Καλαβρίας." οὐκέτι δὲ ἡμῖν εὗρον εἰπεῖν ἐν τίσιν ὁ μακάριος ἐπίσκοπος Ἰωάννης ἢ ποῦ νῦν οἱ ἐπίσκοποι οἱ περὶ Δημήτριον καὶ Κυριακὸν καὶ Εὐλύσιον καὶ Παλλάδιον σὺν τοῖς ἡμετέροις ἐπισκόποις τὴν πρεσβείαν στειλάμενοι.

Ο ΕΠΙΣΚΟΠΟΣ. Δεῦρο δὴ λοιπόν, ἱερώτατε, ὑπόσχου μοι τὸν νοῦν, προσέχων σαφῶς τοῖς λεγομένοις· καὶ καθεξῆς σοι γνωρίσω πάσης τραγῳδίας τοὺς ἐν μέσῳ σατυρικοὺς θορύβους, πόθεν τε τῆς μέθης ἤρξαντο, καὶ μέχρι τίνος ἔδοξαν παύεσθαι, οὐδέπω δὲ πέπαυνται. ἡ μὲν ἁπάντων τῶν κακῶν, ὡς ἂν εἴποι τις, πηγὴ ἢ ἀρχή ἐστιν ὁ μισόκαλος δαίμων, ἀεὶ ἀντιπράττων ὡς λύκος ταῖς τοῦ Χριστοῦ λογικαῖς ἀγέλαις, λυμαινόμενος μὲν ἀφειδῶς τοὺς ἐμπείρους τῶν ἀγελαιοκόμων πάθεσι πολυτρόποις, καθάπερ ὁ βασιλεὺς τῶν Αἰγυπτίων τοὺς ἄῤῥενας τῶν Ἰουδαίων, λιπαίνων δὲ ταῖς ἀπάταις τῶν ἐπὶ γῆς ἡδονῶν τοὺς φένακας τῶν ψευδοποιμένων. οἱ δὲ μετὰ ταῦτα τῆς πονηρᾶς πηγῆς ὀχετοί, ὡς ἅπας ὁ περίγειος ἐπίσταται χῶρός, εἰσιν Ἀκάκιος καὶ Ἀντίοχος καὶ Θεόφιλος καὶ Σευηριανός, οἱ λεγόμενοι μὲν ὃ μή εἰσιν, ὄντες δὲ ὃ λέγεσθαι οὐκ ἀνέχονται· τοῦ δὲ τάγματος τῶν κληρικῶν πρεσβύτεροι δύο, διάκονοι δὲ πέντε, οἱ μὲν ἐξ ἀκαθάρτου, οἱ δὲ ἐκ κακωτικοῦ ἀριθμοῦ συναγόμενοι, -οὐκ οἶδα δὲ εἰ ἀκίνδυνον τοὺς τοιούτους λέγειν πρεσβυτέρους ἢ διακόνους· τῆς δὲ τοῦ βασιλέως αὐλῆς δύο ἢ τρεῖς μόνοι, οἳ καὶ ἐνεύρωσαν τοὺς περὶ Θεόφιλον, στρατιωτικῇ βοηθείᾳ συνεπαγωνιζόμενοι· γυναικῶν δὲ πρὸς ταῖς φημιζομέναις τρεῖς, χῆραι μέν, ἀνδρόπλουτοι δέ, ἐπ᾽ ὀλέθρῳ τῆς ἑαυτῶν σωτηρίας τὰ ἐξ ἁρπαγῆς χρήματα κεκτημέναι, ταραξάνδριαι καὶ ἀνασείστριαι, Μάρσα Προμότου γυνή, καὶ Καστρικία ἡ Σατορνίνου, καὶ Εὐγραφία, ἀμφιμανής τις, -τὰ δὲ λοιπὰ αἰδοῦμαι καὶ λέγειν. αὗται καὶ οὗτοι νωθροκάρδιοι ὄντες ἐν τῇ πίστει, καθάπερ φάλαγξ οἰνομανής, εἰς μίαν συναχθέντες μισοδιδασκαλίας

γνώμην, χείμαῤῥον ἀπωλείας κατὰ τῆς ἐκκλησιαστικῆς εἰρήνης εἰργάσαντο.

Ο ΔΙΑΚΟΝΟΣ. Τοιγαροῦν προθυμήθητι, πάτερ, ἐπὶ μαρτυροῦντος τοῦ Θεοῦ εἰπεῖν ἡμῖν, πόθεν τε τούτων τὸ πρὸς αὐτὸν μῖσος καὶ τίς ἡ φιλονεικία τοῦ ἐπισκόπου Ἰωάννου λυπῆσαι τοσαύτας ἀξίας· ὁμοῦ δὲ γνώρισον ἡμῖν πόθεν τε ἤρξατο τοῦ βίου, καὶ πῶς ἤχθη ἐπὶ τὴν Κωνσταντινουπόλεως ἐπισκοπήν, καὶ πόσον ἐκράτησεν χρόνον, καὶ ὁποῖον τὸ τούτου ἦθος, καὶ τίς ἡ τοῦ βίου κατάλυσις, εἴ γε κεκοίμηται, ὡς ἀκούομεν. εἰ καὶ τὰ μάλιστα διὰ πάντων τρέχει θαυμασία καὶ ἐνάρετος μνήμη τοῦ ἀνδρός, ἀλλ᾽ ὅμως σύνηθές μοι τὸ μὴ προχείρως πιστεύειν ταῖς φήμαις, πρὶν ἂν παρὰ τῶν ὀρθῶς ψέγειν καὶ ἐπαινεῖν εἰδότων μάθω βεβαίως.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἐπαινῶ μέν σου τὴν ἀκρίβειαν, οὐκ ἀποδέχομαι δὲ τὴν διάκρισιν, φιλαληθέστατε ἄνερ καὶ Θεοῦ ἄνθρωπε Θεόδωρε· ἔδει γάρ σε ἐξ αὐτῆς τῆς πολιᾶς ἡμῶν (ἵνα περιαυτολογήσω) καὶ ἐκ τοῦ ἀξιώματος ἀρκεσθῆναι πρὸς ἀληθείας ἀπόδειξιν· ἐπειδὴ δὲ τοῦτο μὲν οὐ πεποίηκας, δὶς δέ με κατακρίνεις, κἂν μετὰ ταῦτα ἀπροφάσιστόν μοι τὴν ἀκοὴν παρεγγύησαι, ἵνα μὴ εἰς ἀνόητον οἱ τῶν λόγων γένωνται δίαυλοι. ἐπίσταμαι γὰρ τὰ γεγραμμένα παρὰ τῷ θείῳ νόμῳ, τό, “Ἀπολεῖ Κύριος πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος,” καὶ παρὰ τῷ ἀποστόλῳ Ἰωάννῃ, “Ὁ λαλῶν τὸ ψεῦδος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ,” καὶ πάλιν παρὰ τῷ Δαυείδ, “Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.” ἀδικεῖ γὰρ ἀληθῶς ὁ ψευδόμενος ὃν πείθει· ἀδικεῖ δὲ καὶ ὁ πειθόμενος τὸν ψευδόμενον, ῥᾳδίως πιστεύων. ἐπίσης οὖν ἐξαμαρτανόντων ἑκατέρων, μηδ᾽ ὁπότερος ἡμῶν ἀδικήσοι τὸν πέλας. ἀρετὴ γὰρ αὑτή, τοῦ μὲν λέγοντος, λέγειν τἀληθῆ· τοῦ δὲ ἀκούοντος, δοκιμάζειν τὰ ἄδικα· “Γίνεσθε,” γάρ φησιν ἡ Γραφή, “δόκιμοι τραπεζῖται,” τὸ κίβδηλον ἀπὸ τοῦ δοκίμου ῥίπτοντες· οὐχ ἵνα κομπήσαντες τὸν ἦχον δεξώμεθα, ἀλλ᾽ ἵνα σταθμίσαντες τῷ θείῳ φόβῳ μετὰ ὀρθοῦ συνειδότος τὰ λαλούμενα πάντα, ἢ τὰ γραφόμενα, τῇ τῶν πραγμάτων μαρτυρίᾳ δεξώμεθα. ὤτων καὶ γλώττης μέγας ὁ κίνδυνος· διὸ καὶ ὁ καλλιτέχνης Θεὸς τὴν μὲν ὑπὸ δύο χειλέων τηρεῖσθαι πεποίηκεν, ἐνδοτέρω τὸ τῶν ὀδόντων ἔρυμα πήξας, ἵν᾽ ἀσφαλὲς τὸ φρούριον ὑπάρχον σωφρονίζῃ ταύτης τὴν εὐκολίαν (κατὰ τὸ γεγραμμένον, “Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου”), τῶν δὲ τὴν ὀπὴν ἑλικοειδῶς ἐξετόρνευσεν -διὰ τοῦ σχήματος

αἰνιττόμενος μὴ θᾶττον εἰσδύνειν τὸν λόγον, ἵνα ἐν πλείονι χρόνῳ ἑλιττόμενος, τὴν ὕλην τοῦ ψεύδους μετὰ τῶν τῆς κακίας σκυβάλων προσκαταλείψῃ ταῖς ὄχθαις λεπτῶς διωθούμενος. οὐ μόνον δὲ τούτων ἐφρόντισε τῶν ὀργάνων, ὡς μόνων πταιόντων· ἤδη δὲ καὶ ταῖς κόραις, καθάπερ θυρίσι, καταπετάσματα τέθεικεν, ἵνα μὴ τὸν τῆς ἀκολασίας εἰσδέχωνται θάνατον, ὃν ὁ προφήτης μαρτύρεται λέγων· "Θάνατος ἀνέβη διὰ τῶν θυρίδων. "

Ο ΔΙΑΚΟΝΟΣ. Εἰ μὲν ἐν τοῖς τυχοῦσιν ἦν ἡ ἐξέτασις, ἱερώτατε πάτερ, ἤρκει σου ἡ τοῦ εἴδους κατάστασις πιστῶσαι τοὺς λόγους· ἐπειδὴ δὲ οὐ μικρὰν φέρει νῦν μὲν κατάγνωσιν, μετέπειτα δὲ κατάκρισιν, συναχθέντων ἀρχόντων τε καὶ λαῶν παρὰ τῷ βήματι τῷ φοβερῷ, ἀληθείας οὔσης τῆς ζητουμένης, δός μοι συγγνώμην, ἄριστε, μὴ τὰς τῶν τριχῶν προβαλλόμενος πολιὰς μάρτυρας. γεγηράκασι γὰρ καὶ φαῦλοι, οὐκ ἀρετῇ τὴν ψυχὴν πολιώσαντες, ἀλλὰ τὰ σώματα χρόνου μήκει ῥυτιδώσαντες· οἷοι ἦσαν οἱ κατὰ Βαβυλῶνα ψευδοπρεσβύτεροι, καὶ ὁ ἐν τῷ Ἰερεμίᾳ Ἐφραΐμ, περὶ οὗ μεμφόμενος ὁ λόγος βοᾷ· "Ἐφραΐμ περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν· πολιαὶ αὐτῷ ἐξήνθησαν, αὐτὸς δὲ οὐκ ἔγνω." δισσεύων δὲ λέγει πληκτικώτερον· "Ἐγένετο Ἐφραΐμ ἐγκρυφίας οὐ μεταστρεφόμενος, καὶ ἀλλότριοι ἔφαγον τὴν ἰσχὺν αὐτοῦ." κἀκεῖνο δὲ προσθήσω, εἰ καὶ μηκυνῶ τὸν λόγον· τίς πολιώτερος ἢ τίς ἐπιεικέστερος τὸ φαίνεσθαι Ἀκακίου τοῦ Βεροίας, ὃν νῦν διαμέμφεσθε ὡς ταραξάρχην καὶ ἡγεμόνα τῆς τῶν νεωτεροποιῶν πλημμελείας; οὗ καὶ αὐτοὶ οἱ μυκτῆρες τὰς λευκὰς ἐπεσύροντο τρίχας, ἡνίκα ἐπέστη τῇ Ῥώμῃ κομίσας τῆς χειροτονίας τὸ ψήφισμα τοῦ ἐπισκόπου Ἰωάννου.

Ο ΕΠΙΣΚΟΠΟΣ. Νῦν ἔγνων σαφῶς, ὅτι δόκιμος εἶ τραπεζίτης, μὴ πειθόμενος τῇ δερματίνῃ σκηνῇ, ἀλλὰ τὴν τοῦ ἐνοικοῦντος ἐπιζητῶν ἐπιστήμην. καὶ γὰρ καὶ οἱ Αἰγυπτίων ναοὶ μέγιστοι ὄντες, καὶ κάλλει λίθων κομπάζοντες, πιθήκους ἔχουσιν ἔνδον καὶ ἴβιες καὶ κύνας ἀντὶ θεῶν· ὁ δ᾽ ἡμέτερος Κύριος καὶ Θεός, χρηματίζων τῷ Σαμουὴλ περὶ καταστάσεως ἡγεμόνος τοῦ Ἰσραήλ, παρεγγυᾷ μὴ βλέπειν εἰς ἕξιν καὶ πλάσιν πηλίνου σώματος, λέγων· "Οὐχ ὡς ἄνθρωπος βλέψει ὁ Θεός· ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπον, Θεὸς δὲ εἰς καρδίαν." διὸ οἱ "μιμηταὶ τοῦ Θεοῦ" ἐπὶ παντὸς πράγματος τὸ βαθύτερον ἐρευνῶσιν. ὅθεν προθύμως ἐμαυτὸν ἐπιδίδωμι, ἐξαγιάσας σου τὸν ζυγὸν μηδαμῶς ἑτεροκλινοῦντα. οἱ δὲ Βαβυλώνιοι, γέροντες μὲν τὰ σώματα, τὰς δὲ ψυχὰς ὑπ᾽ ἀναισθησίας κομιδῇ νήπιοι, εἰ ἐπίστευον τῇ τῶν

νεκρῶν ἀναστάσει, πρότερον μέν, ἐῤῥωμένην ἔχοντες τὴν σοφίαν, οὐκ ἂν ἤρων Σωσάννης γυναικὸς ἀλλοτρίας· ἔπειτα δ', εἴπερ εἶχον τὸν τοῦ Θεοῦ φόβον, οὐκ ἂν συνέπλεξαν τῇ ἀκολασίᾳ τὴν συκοφαντίαν. τοῦ δὲ ἀτίμου ἐν γήρᾳ ἀπόδειξις τῆς νεωτερικῆς ὥρας ἡ καπηλεία.

-Κεφάλαιον Ε΄.

Ἰωάννης οὗτος τὸ μὲν γένος ἦν Ἀντιοχεύς (κεκοίμηται δέ), υἱὸς γεγονὼς τῶν διαπρεψάντων εὐγενῶς παρὰ τῇ τάξει τοῦ στρατηλάτου τῆς Συρίας, τεχθεὶς πρὸς ἀδελφῇ τῷ πατρί. δεξιωτέρας δὲ ὑπάρχων γνώμης ἐξησκήθη τοῖς λόγοις πρὸς διακονίαν τῶν θείων λογίων. ἐκεῖθεν ὀκτωκαιδέκατον ἔτος ἄγων τὴν τοῦ σώματος ἡλικίαν, ἀφηνίασεν τοὺς σοφιστὰς τῶν λεξυδρίων· ἀνδρυνθεὶς δὲ τὴν φρένα, ἤρα τῶν ἱερῶν μαθημάτων. ἦρχεν δὲ τὸ κατ' ἐκεῖνο καιροῦ τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας ὁ μακάριος Μελέτιος ὁ ὁμολογητής, τὸ γένος Ἀρμένιος· ὃς προσσχὼν εὐφυῆ τὸν νεανίσκον ἐπέτρεπεν αὐτῷ συνεχῶς πλησιάζειν, ἐρασθεὶς τοῦ κάλλους τῆς τούτου καρδίας, προφητικῷ ὄμματι προορῶν τοῦ νεανίσκου τὴν ἔκβασιν. ὡς δὲ παρήδρευσε, μυσταγωγηθεὶς τὴν τοῦ "λουτροῦ παλιγγενεσίαν," ἀμφὶ τὰ τρία ἔτη, προάγεται ἀναγνώστης. νυττόμενος δὲ ὑπὸ τοῦ συνειδότος μὴ ἀρκεῖσθαι τοῖς ἐν τῇ πόλει πόνοις, σφριγώσης τῆς νεότητος, εἰ καὶ σῶον ἦν τὸ φρονοῦν, καταλαμβάνει τὰ πλησίον ὄρη· καὶ περιτυχὼν γέροντι Σύρῳ, ἐγκράτειαν τημελοῦντι, ἀπομιμεῖται τὴν σκληραγωγίαν, χρονίσας παρ' αὐτῷ δὶς δύο ἔτη, ἀπομαχόμενος ταῖς τῆς ἡδυπαθείας σπιλάσιν. ὡς δὲ ῥᾷον περιεγένετο τούτων, οὐ πόνῳ τοσοῦτον, ὅσον λόγῳ, ἀναχωρεῖ ἐν σπηλαίῳ μόνος, γλιχόμενος ἀδηλίας· κἀκεῖ διατρίψας τρὶς ὀκτὼ μῆνας, ἄϋπνος διετέλει τὸ πλεῖστον, ἐκμανθάνων τὰς τοῦ Χριστοῦ διαθήκας πρὸς ἐξοστρακισμὸν τῆς ἀγνοίας. μὴ ἀναπεσὼν δὲ τὸν τῆς διετίας χρόνον, μὴ νύκτωρ, μὴ μεθ' ἡμέραν, νεκροῦται τὰ ὑπὸ γαστέρα, πληγεὶς ἀπὸ τοῦ κρύους τὰς περὶ τοὺς νεφροὺς δυνάμεις. οὐκ ἐπαρκῶν δὲ ἑαυτῷ χρησιμεύειν, πάλιν καταλαμβάνει τὸν ἐκκλησιαστικὸν λιμένα. καὶ τοῦτο τῆς τοῦ Σωτῆρος προνοίας, πρὸς τὸ χρήσιμον τῆς ἐκκλησίας διὰ τῆς ἀσθενείας τῶν τῆς ἀσκήσεως πόνων αὐτὸν ἀπελασάσης, ἵν' ἐμποδισθεὶς τῇ ἀδυναμίᾳ ἀπόσχηται τῶν σπηλαίων. ἐντεῦθεν

χειροτονεῖται διάκονος διὰ τοῦ Μελετίου, ὑπηρετήσας τῷ θυσιαστηρίῳ δύο πρὸς τοῖς τρισὶν ἔτεσιν. ἤδη δὲ τῆς διδασκαλικῆς αὐτοῦ ἀρετῆς διαλαμπούσης, καὶ τῶν λαῶν ἐκ τῆς τοῦ βίου ἅλμης γλυκαινομένων αὐτοῦ τῇ συντυχίᾳ, πρεσβύτερος χειροτονεῖται διὰ Φλαβιανοῦ τοῦ ἐπισκόπου. καὶ διαπρέψας τρὶς τέσσαρα ἔτη ἐν τῇ τῶν Ἀντιοχέων ἐκκλησίᾳ, ἀποσεμνύνει τὸ ἐκεῖσε ἱερατεῖον τοῦ βίου τῇ ἀκριβείᾳ, τοὺς μὲν ἀλίζων τῇ σωφροσύνῃ, τοὺς δὲ φωτίζων τῇ διδασκαλίᾳ, τοὺς δὲ ποτίζων τοῖς τοῦ πνεύματος νάμασιν. τούτων δὲ οὕτως οὐριοδρομούντων τῇ τοῦ Χριστοῦ κυβερνήσει, κοιμᾶται ὁ μακάριος Νεκτάριος ὁ ἐπίσκοπος τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας. ἐντεῦθεν συντρέχουσί τινες τῶν μὴ ζητουμένων, μαστεύοντες τὴν προεδρίαν, ἄνδρες τινὲς οὐκ ἄνδρες, πρεσβύτεροι μὲν τὴν ἀξίαν, ἀνάξιοι δὲ τῆς ἱερωσύνης, οἱ μὲν πραιτωριοκτυποῦντες, οἱ δὲ καὶ δωροδοκοῦντες, ἄλλοι δὲ καὶ τοὺς δήμους γονυπετοῦντες. ἐπὶ τούτοις κλονεῖται ὁ λαὸς τῶν ὀρθοδόξων, διασκύλλων τὸν βασιλέα, ἐπιζητῶν τὸν ἐπιστήμονα τῆς ἱερωσύνης. ἐκράτει δὲ τῶν πραγμάτων Εὐτρόπιος ὁ σπάδων, ἀφηγητὴς τῶν βασιλικῶν κοιτώνων. βουλόμενος οὖν αὐτὸν παραθέσθαι τῇ πόλει (εἶχεν γὰρ πεῖραν τῆς ἀρετῆς Ἰωάννου, βασιλικῆς αἰτίας αὐτὸν εἰς ἀνατολὴν τὴν ἐνδοτέραν ἀγαγούσης), οὗτος παρασκευάζει τὸν βασιλέα γράμματα χαράξαι πρὸς τὸν κόμητα Ἀντιοχείας, ἀψοφητὶ ἐξαποστεῖλαι τὸν Ἰωάννην, μὴ ταράξαντα τὴν Ἀντιοχέων. ὃς ἐξαυτῆς δεξάμενος τὸ γράμμα παρακαλεῖ αὐτὸν ἔξω τῆς πόλεως γενέσθαι μέχρι τῶν μαρτυρίων πλησίον τῆς πύλης καλουμένης Ρωμανησίας, καὶ ἐπιβιβάσας αὐτὸν δημοσίῳ ῥηδίῳ παραδίδωσι τῷ ἀποσταλέντι εὐνούχῳ σὺν τῷ στρατιώτῃ τοῦ μαγίστρου. οὕτως ἀχθεὶς χειροτονεῖται ἐπίσκοπος τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας. ἀπ᾽ ἀρχῆς οὖν ὁ Θεόφιλος, ὁ τῆς Ἀλεξανδρέων ἐπίσκοπος, προσσχὼν αὐτοῦ τῇ καταστάσει, τῷ ἀνεπιλήπτῳ τῆς παῤῥησίας, ἠντισκότει πρὸς τὴν χειροτονίαν. ἔστι γὰρ δεινὸς ἐκ τῆς φανερᾶς ὄψεως (ἀφανὲς γάρ) ἀνθρώπου βούλημα καὶ γνώμην συνιδεῖν.

Ο ΔΙΑΚΟΝΟΣ. Ἐπίσχες, πάτερ, μικρὸν ἀνθυπενέγκω.

Ο ΕΠΙΣΚΟΠΟΣ. Τί τοῦτο μάλιστα;

Ο ΔΙΑΚΟΝΟΣ. Καὶ εἰ τοιοῦτος ὑπάρχει ὁ Θεόφιλος, ὡς πρὸς τὸ βλέπειν δι᾽ ὀξύτητα, πῶς ἠγνόησεν ὅτι τὴν οἰκουμένην ταράξει ἐξεώσας αὐτόν;

Ο ΕΠΙΣΚΟΠΟΣ. Τοῦτο οὐ θαυμαστόν, ὦ βέλτιστε· καὶ γὰρ οἱ δαίμονες, γνωρίσαντες τὴν τοῦ Σωτῆρος ἐπιδημίαν, ἠγνόησαν ὅτι ἑνὶ φυσήματι τῶν αὐτῷ πεπιστευκότων δεθήσονται.

Ο ΔΙΑΚΟΝΟΣ. Ποῦ δὲ ἐγνώρισαν τὴν τοῦ Σωτῆρος παρουσίαν;

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἡνίκα ἐβόων· "Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ· τί ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς;" ὁρᾷς ὅτι προῄδεισαν, οὐ μόνον ὅτι ἅγιός ἐστιν, ἀλλ᾽ ὅτι καὶ κριτής; τί δὲ λέγω περὶ τῶν δαιμόνων; αἱ κακοδαίμονες τῶν ἑταιρίδων ἐκ τῆς τῶν ὀφθαλμῶν καταστάσεως γνωρίζουσι τοὺς σώφρονας ἄνδρας καὶ ἀποστρέφονται, ὥσπερ ὁ νοσῶν ὀφθαλμὸς τὴν τοῦ ἡλίου αἴγλην, καὶ ὁ γὺψ τὸ μύρον. πόθεν δὲ τό, "βδέλυγμα ἁμαρτωλοῖς θεοσέβεια," εἰ μὴ ταύτην ἐγνώριζον; οὕτω καὶ ὁ Θεόφιλος, ἐξ ὧν τοῦ ἰδίου ὀφθαλμοῦ τὸ κατάλληλον ἢ τὸ καταθύμιον ἐν τῇ τοῦ Ἰωάννου ὄψει οὐχ εὗρεν, στοχαστικῶς τὸ ἐναντίον ὑπετόπασεν, οὐ καταληπτικῶς.

Ο ΔΙΑΚΟΝΟΣ. Θαυμασίως εἴρηκας, πάτερ. πρὸς τί δὲ ἀντέπιπτεν τῇ χειροτονίᾳ;

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἔθος αὐτῷ τοιοῦτον ἦν, μὴ χειροτονεῖν τοὺς χρηστοὺς καὶ ἐχέφρονας, εἰ μή τι ἂν ἀστοχήσοι, βουλόμενος ἁπάντων κρατεῖν ὡς ἀνοήτων· ἄμεινον ἡγούμενος ἀνοήτων κρατεῖν ἢ φρονίμων ἀκούειν. πλὴν ὅμως νικᾶται ὑπὸ τῆς σωτηρίου προνοίας καὶ ἑκὼν καὶ ἄκων. οὕτως χειροτονηθεὶς ὁ Ἰωάννης ἄρχεται τῆς τῶν πραγμάτων ἐπιμελείας, ἀπὸ τῆς λογικῆς ἀρξάμενος σύριγγος τῆς τῶν προβάτων δοκιμασίας. ὀλιγάκις δὲ καταχρώμενος καὶ τῇ ἐλεγκτικῇ βακτηρίᾳ, κατατείνει λόγον κατὰ τῆς ἐπιπλάστου ἀδελφοζωΐας, τὸ δ᾽ ἀληθές, κατὰ τῆς ἀσχήμου κακοζωΐας περὶ τῶν καλουμένων συνεισάκτων, ἀποδεικνὺς ἐν αἱρέσει κακῶν ἀμείνους εἶναι τοὺς πορνοτρόφους· ἐκεῖνοι μὲν γὰρ πόῤῥω τοῦ ἰατρείου οἰκοῦντες, καθ᾽ ἑαυτοὺς ἔχουσι τοῖς βουλομένοις τὴν νόσον· οὗτοι δὲ ἔνδον τοῦ ἐργαστηρίου οἰκοῦντες τῆς σωτηρίας, καὶ τοὺς ὑγιαίνοντας ἐκκαλοῦνται εἰς νόσον. ἐντεῦθεν θλίβεται τὸ ἀφιλόθεον μέρος τοῦ κλήρου πυρέττον τὸ πάθος. μετ᾽ ἐκεῖνον τὸν λόγον ἄρχεται κατὰ τῆς ἀδικίας, καταστρέφων τὴν μητρόπολιν τῶν κακῶν τὴν πλεονεξίαν εἰς οἰκοδομὴν τῆς δικαιοσύνης. τοῦτο γὰρ ἴδιον τῶν σοφῶν ἀρχιτεκτόνων, πρότερον καταστρέψαι τὴν οἰκοδομὴν τοῦ ψεύδους, εἶθ᾽ ὕστερον θεῖναι τὸν θεμέλιον τῆς ἀληθείας, ὡς λέγεται παρὰ τῷ προφήτῃ· "Καθέστακά σε ἐπὶ ἔθνη καὶ βασιλείας, ἐκριζοῦν καὶ καταφυτεύειν, καὶ κατασκάπτειν καὶ ἀνοικοδομεῖν" -τὸ μὲν ὡς

γεωργῷ, τὸ δὲ ὡς οἰκοδόμῳ. ἐκ τούτου ταράσσεται πάλιν τὸ μέρος τῶν βαλαντιοσκόπων· μετὰ τοῦτο ἐπιμελεῖται αὐτῶν τῆς διαίτης, παρακαλῶν ἀρκεῖσθαι τοῖς ἰδίοις ὀψωνίοις καὶ μὴ διώκειν τὰς κνίσας τὰς τῶν πλουσίων, ἵνα μὴ καπνὸν ἔχοντες τὸν δᾳδοῦχον, τῇ φλογὶ τῆς ἀκολασίας παραδοθῶσι, κολάκων καὶ παρασίτων μεταδιώξαντες βίον. ἐντεῦθεν ἀνορύττονται οἱ πλείους τῶν γαστριμάργων, συγκλωθόμενοι τοῖς σοφισταῖς τῆς κακηγορίας. μετὰ τοῦτο διερευνᾷ τὰ βρέβια τοῦ οἰκονομείου καὶ εὑρίσκει ἀνάλωμα οὐκ ὠφελοῦν τὴν ἐκκλησίαν· προστάσσει τούτων ἀργεῖν τὴν ἐπικουρίαν. ἔρχεται εἰς τὸ μέρος τοῦ ἀναλώματος τοῦ ἐπισκοπείου καὶ εὑρίσκει δαψίλειαν οὐ τὴν τυχοῦσαν καὶ κελεύει μετενεχθῆναι τὴν πολυτέλειαν τούτων εἰς τὸ νοσοκομεῖον. περιττευούσης δὲ τῆς χρείας, κτίζει πλείονα νοσοκομεῖα, προσκαταστήσας δύο τῶν εὐλαβῶν πρεσβυτέρων, ἔτι μὴν καὶ ἰατροὺς καὶ μαγείρους καὶ χρηστοὺς τῶν ἀγάμων ἐργάτας τούτοις εἰς ὑπηρεσίαν· ὥστε τοὺς ἐπιχωριάζοντας ξένους καὶ ὑπὸ νόσου ληφθέντας [μάλιστα δὲ τὴν ἱερὰν καλουμένην] τυγχάνειν ἐπιμελείας, καὶ δι᾽ αὐτὸ τὸ καλὸν καὶ διὰ τὴν τοῦ Σωτῆρος δόξαν. μετὰ τοῦτο προσκαλεῖται τὸ τῶν χηρῶν τάγμα, ἐμπερινοστῶν ἐν αὐταῖς τὰς οὐκ ὀρθῶς ἀναστρεφομένας, καὶ εὑρὼν φιλοσάρκους τινὰς παρῄνει ἢ νηστείαν ἀναλαβεῖν ἀπεχομένας βαλανείων καὶ περιέργων ἱματίων, ἢ θᾶττον χωρεῖν ἐπὶ δεύτερον γάμον, ἵνα μὴ ὑβρίζηται ὁ νόμος ὁ τοῦ Κυρίου. μετὰ τοῦτο παρεκάλει τοὺς δήμους προσκαρτερεῖν ταῖς νυκτεριναῖς λιτανείαις, τὰς δὲ τούτων γυναῖκας οἴκοι μένειν ἐν ἡμέρᾳ προσευχομένας παρακαλῶν, διὰ τὸ μὴ σχολάζειν ἐν ἡμέρᾳ τοὺς ἄνδρας. ταῦτα δὲ πάντα ἐλύπει τοὺς ἀμελεστέρους τοῦ κλήρου παννύχιον καθεύδειν συνειθισμένους. μετὰ τοῦτο ἥπτετο τοῦ ἐλεγκτικοῦ ξίφους κατὰ τῶν πλουσίων, τέμνων τὰ τῆς ψυχῆς ἀποστήματα, ἀτυφίαν αὐτοὺς ἐκδιδάσκων, μετριοφρονοῦντας πρὸς τοὺς λοιποὺς ἀνθρώπους, ἀποστολικῷ πειθόμενος λόγῳ, τῷ πρὸς Τιμόθεον φερομένῳ· “Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι.” τούτων οὖν οὕτως ἐχόντων, καὶ τῆς ἐκκλησίας ὁσημέραι ἐπὶ τὸ κρεῖττον ἀνθούσης, πάσης τῆς πόλεως εἰς εὐσέβειαν μεταχρωσθείσης, σωφροσύνῃ καὶ ψαλμῳδίᾳ τῶν ψυχῶν γεγανωμένων, οὐκ ἤνεγκεν ὁ μισόκαλος δαίμων τὸν δρασμὸν τῶν ὑπ᾽ αὐτοῦ κρατουμένων, οὓς ἀπέστησεν ὁ λόγος τοῦ Κυρίου διὰ τῆς Ἰωάννου διδασκαλίας· ὡς τοὺς ἱππομανεῖς καὶ θεατροσκόπους,

καταλιμπάνοντας τὰς αὐλὰς τοῦ διαβόλου, δρομαίως χωρεῖν ἐπὶ τὴν μάνδραν τοῦ Σωτῆρος ἔρωτι τῆς σύριγγος τοῦ φιλοπροβάτου ποιμένος.

-Κεφάλαιον ΣΤ΄.

Ἐκ τούτου προκαταλαμβάνει φθόνος τὰς διανοίας τῶν μισθωτῶν ποιμένων ἐλεγχομένων ἐκ τοῦ παραλλήλου. μὴ δυνηθέντες δὲ αὐτοῦ περιγενέσθαι διὰ τὸ μὴ ἐπικαλέσασθαι τὸν καταλυτὴν τοῦ φθόνου Σωτῆρα, πλέκουσι διαβολὰς κατὰ τοῦ Ἰωάννου, μεταποιήσαντες αὐτοῦ τινας ὁμιλίας εἰς ὕθλους κατὰ τῆς βασιλίσσης καὶ ἑτέρων τῶν ἐν τῇ αὐλῇ τοῦ βασιλέως. συνέβη δὲ κατ᾽ ἐκεῖνο καιροῦ ἐπιστάντα Ἀκάκιον, τὸν ἐπίσκοπον Βεροίας, ἀστοχῆσαι, ὡς ἔλεγεν, καταγωγίου καλοῦ· καὶ λυπηθεὶς ἐπὶ τούτῳ, ὀργῇ ὑπετυφοῦτο ὡς καταφρονηθεὶς ὑπὸ τοῦ Ἰωάννου. ἀκατασχέτοις δὲ λογισμοῖς ἡττηθεὶς ἐκφέρει λόγον ἄλογον, “ἐκ τοῦ περισσεύματος τῆς καρδίας,” ἄξιον τῆς αὐτοῦ διανοίας, ἐπί τινων κληρικῶν Ἰωάννου εἰπών· “Ἐγὼ αὐτῷ ἀρτύω χύτραν.” ἐξαυτῆς οὖν συγκλωσθεὶς Σευηριανῷ καὶ Ἀντιόχῳ καὶ Ἰσαακίῳ Συρίσκῳ, περιτρίμματι, ἀφηγητῇ ψευδομοναζόντων, ἐν κακολογίαις κατατριβέντι πάντοτε κατὰ ἐπισκόπων, σκέπτονται θωρακίζεσθαι δῆθεν μὲν κατὰ Ἰωάννου, τὸ δ᾽ ἀληθὲς κατὰ τῆς δόξης τοῦ Σωτῆρος. ἀποστείλαντες δὲ πρῶτον εἰς τὴν Ἀντιοχέων ζητοῦσι νεότητος αὐτοῦ πλημμελείας. ὡς δὲ “ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις,” καὶ οὐχ εὗρον οὐδέν, ἀποστέλλουσιν εἰς τὴν Ἀλεξάνδρειαν πρὸς τὴν εὐχέρειαν Θεοφίλου, καλουμένου Ἀμφαλλάξ, τὰ τοιαῦτα σοφῶς ἀρχιτεκτονοῦντος· ὅς, ἐξαυτῆς ἀναπτύξας αὐτοῦ τὰ τῆς διανοίας βιβλία μετὰ πολλῆς τῆς ληστρικῆς ἡσυχίας, ἠρεύνα ζητῶν τρόπον προφάσεως κἂν τῆς τυχούσης.

Ο ΔΙΑΚΟΝΟΣ. Ἐπίσχες, ὦ πάτερ, τῶν λόγων τὴν ῥύμην, πρὶν ἐπιλήσομαι, ἵνα σοι εἴπω τὴν ἀπὸ Ἀλεξανδρείας διαβᾶσαν πρὸς ἡμᾶς καὶ θρυληθεῖσαν αἰτίαν. φασὶ γὰρ ὅτι καθαιρεθέντας κληρικοὺς ὑπὸ Θεοφίλου ἐδέξατο Ἰωάννης εἰς κοινωνίαν, λυπήσας τὸν Θεόφιλον, ὅπερ οὐκ ἔδει· ὡς ἐκ τούτου διενεχθέντα αὐτὸν χωρῆσαι κατὰ τοῦ Ἰωάννου.

Ο ΕΠΙΣΚΟΠΟΣ. Δῶμεν ἀληθῆ εἶναι τὸν εἰρημένον θρῦλον· καὶ ἐπισκόπου ἐστί, κακὸν ἰᾶσθαι κακῷ; καὶ ποῦ τὸ εὐαγγελικὸν ἐκεῖνο

τὸ λέγον· "Μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν"; ποῦ δὲ τὸ ἀποστολικόν· "Νίκα τὸ κακὸν ἐν τῷ ἀγαθῷ"; ποῦ δὲ τὸ προφητικόν· "Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά"; εἶτα οὐκ ἦν φιλονεικότερον εἰπεῖν ἐγκαλοῦντα ἐπὶ εὐλαβῶν ἐπισκόπων· "Ἀδελφὲ Ἰωάννη, παρῆλθέν σε πεποιηκότα τὸ ἤ τό"; καὶ τὸν Ἰωάννην ἀπολογησάμενον, ἠγνοηκέναι τὸ πρᾶγμα;

Ο ΔΙΑΚΟΝΟΣ. Ἀληθὲς εἴρηκας, εἴ γέ τις ἦν ἐν αὐτῷ καλοθέλεια, καὶ μὴ κατεσχηματίζετο τὴν τῶν κληρικῶν αἰτίαν, τὴν οἰκείαν ὀργὴν ἐκπληρῶν.

Ο ΕΠΙΣΚΟΠΟΣ. Νὴ τὸν φόβον τοίνυν τὸν τοῦ Θεοῦ, ὃς δεσπόζει τῶν ἀπείρων φόβων, οὐκ ἐρῶ σοι ἄλλως, ἀλλ᾽ ὡς ἔχει φύσεως τὸ πρᾶγμα περὶ τούτων ὧν εἴρηκας κληρικῶν. Ἰσίδωρός τις, πρεσβύτερος ἔτι τῆς τοῦ μακαρίου Ἀθανασίου τοῦ μεγάλου χειροτονίας, ὀγδοηκοστὸν ἔτος ἄγων τὴν ἡλικίαν (ὃν ἴσασι Ρωμαίων οἱ πλεῖστοι ἐκκλησιαστικῶν ἕνεκεν εἰσβαλόντα εἰς αὐτήν, ξενοδόχον Ἀλεξανδρείας ὄντα· οἶσθα δὲ καὶ αὐτὸς τὸν ἄνδρα, ἡνίκα σὺν Ἀκακίῳ ἐλθὼν τὴν Φλαβιανοῦ πρὸς Θεόφιλον κοινωνίαν ἐκόμισεν, εἴκοσι ἔτεσιν ἀπεσχοινισμένην Εὐαγρίου ἕνεκεν τοῦ μακαρίου, τοῦ πολλοὺς ἀγῶνας ἀγωνισαμένου ἐν ἐκκλησιαστικοῖς πόνοις)· τούτῳ τοίνυν τῷ Ἰσιδώρῳ γυνή τις χήρα τῶν μεγιστάνων δίδωσι χιλίους χρυσίνους, ὁρκώσασα αὐτὸν κατὰ τῆς τοῦ Σωτῆρος τραπέζης συναγοράσαντα ἄμφια ἐνδῦσαι τὰς πτωχοτέρας τῶν Ἀλεξανδρέων, μὴ μεταδόντα γνώσεως τῷ Θεοφίλῳ, ἵνα μὴ λαβὼν αὐτὰ τοῖς λίθοις προσαναλώσῃ (λιθομανία γάρ τις αὐτὸν Φαραώνιος ἔχει εἰς οἰκοδομήματα, ὧν οὐδαμῶς χρῄζει ἡ ἐκκλησία -καὶ τὰ μὲν τοιαῦτα ἐν δευτέρῳ κείσθω· τὸ δὲ κατεπεῖγον περὶ τοῦ Ἰσιδώρου ἄκουσον). λαβὼν τοιγαροῦν ὁ Ἰσίδωρος τὰ νομίσματα ἀναλίσκει ταῖς πενομέναις καὶ ταῖς χήραις. ἔγνω ποθὲν ὁ Θεόφιλος (οὐδὲν γὰρ αὐτῷ ἐλάνθανε τῶν πανταχοῦ πραττομένων ἢ λαλουμένων, ἔχοντι ἐργοσκόπους καὶ λογοσκόπους -ἵνα μὴ ἄλλως εἴπω), καὶ προσκαλεῖται τὸν Ἰσίδωρον, μετριοπαθῶς πυνθανόμενος, εἰ ταῦθ᾽ οὕτως ἔχει. οὐκ ἀρνησάμενος ὡμολόγησε τὴν τοῦ πράγματος διακονίαν. ὁ δὲ ἀκούσας τὴν σκηνὴν ἐναλλάσσει, καὶ ὁ πρὸ ῥοπῆς ἐπιεικὴς καὶ χρηστοφανὴς ἐν τῇ ἐρωτήσει, μετὰ τὴν ῥοπὴν οἴδησεν ὅλος, τὰς μορφὰς ἐναλλάττων, τῆς ἀποκρίσεως εἰσελθούσης τοῦ Ἰσιδώρου. καὶ μικρὸν ἐφησυχάσας χρόνον, καθάπερ λαθροδάκτης κύων, μετὰ δύο μῆνας προφέρει χαρτίον, συγκροτήσας τὸ ἱερατεῖον, παρόντος τοῦ Ἰσιδώρου λέγων, ὅτι "Τοῦτο ἐδεξάμην πρὸ

δέκα ὀκτὼ ἐτῶν, Ἰσίδωρε, κατὰ σοῦ· καὶ ἐπειδὴ περιάσχολος ἐγενόμην, λήθῃ παρέδωκα τὸ πρᾶγμα. νῦν δὲ ἑτέρους ἐπιζητῶν χάρτας, εὕρηκα τοῦτο τὸ περὶ σοῦ χαρτίον. ἀπολόγησαι πρὸς αὐτό.” περιεῖχεν δὲ ὁ χάρτης ἔγκλημα τὸ Σοδόμων. πρὸς ταῦτα ὁ Ἰσίδωρος ἀπολογούμενος λέγει τῷ Θεοφίλῳ· “Συγχωρήσωμεν ἀληθὲς εἶναι, ὅτι καὶ ἐδέξω τὸν χάρτην, καὶ παρέπεσεν, οὐκ ἦν ὁ δοὺς τὸν λίβελλον, ἵνα ἐκ δευτέρου τοῦτον ἀπαιτηθῇ;” πρὸς ταῦτα ὁ Θεόφιλος· “Ἀλλ᾽ οὐ παρῆν ὁ παῖς, πλεύστης ὑπάρχων.” καὶ ὁ Ἰσίδωρος· “Οὐ παρῆν πάραυτα, ὡς λέγεις, πάπα; μετὰ τὸν πλοῦν οὐ παρῆν; τῷ δευτέρῳ ἔτει οὐ παρῆν, οὐδὲ τῷ τρίτῳ; καὶ νῦν εἰ πάρεστι, κέλευσον στῆναι τὸν ἄνθρωπον.” πρὸς ταῦτα ὁ Θεόφιλος, ὑπ᾽ αὐτῆς τῆς ἀληθείας μέλλων εὐκαταφρόνητος γίνεσθαι, ἀναβάλλεται εἰς ἡμέραν ἑτέραν. καὶ λιπαρήσας τινὰ νεανίσκον ὑποσχέσεσι πολλαῖς, ἤλειψεν εἰς κατηγορίαν κατὰ τοῦ Ἰσιδώρου, δοὺς αὐτῷ, ὥς φασι, πεντεκαίδεκα χρυσίνους· ὃς ἐξαυτῆς ἀνατίθεται τῇ μητρί. ἡ δὲ τοῦτο μὲν οὐ κατεδέξατο ὑπὸ τοῦ ἀκλινοῦς ὀφθαλμοῦ, τοῦτο δὲ ὑπὸ τοῦ δέους τῶν νόμων ἀνατραπεῖσα, ἐνθυμουμένη μήποτε ὁ Ἰσίδωρος συκοφαντηθεὶς ἐκκαλέσηται ἐπὶ τὸν ἄρχοντα τῶν δήμων, ἐλθοῦσα ὁμολογεῖ τὴν δραματουργίαν τῷ Ἰσιδώρῳ, δείξασα αὐτῷ τοὺς χρυσίνους, οὓς ἔλεγεν παρὰ τῆς ἀδελφῆς Θεοφίλου εἰληφέναι, “μισθὸν κατὰ τοῦ ἀθῴου.” καὶ αὑτὴ μὲν διὰ πολλά, ἐξαιρέτως δὲ διὰ τοῦτο τὴν ἀξίαν τίσασα ποινὴν τελευτᾷ, τοὺς μαστοὺς χειρουργουμένη. πρὸς ταῦτα ὁ Ἰσίδωρος ἔμενεν οἴκοι τὸν Θεὸν ἱκετεύων. ὁ δὲ νεανίσκος, τὸ μὲν τοὺς νόμους φοβούμενος, τὸ δὲ τὸν Θεόφιλον δεινότερον ἐννοῶν τῇ ἀστοχίᾳ, ἐπὶ τὸ λυσιτελὲς καταφεύγει τεῖχος, τὴν ἐκκλησίαν, προσφυγὼν τῷ θυσιαστηρίῳ. οὕτως ὁ Θεόφιλος κωφῇ τῇ δίκῃ ἀποκηρύττει τὸν Ἰσίδωρον τῆς ἐκκλησίας ἀνήκεστα ἐπιφημίσας, σχηματισάμενος σεμνοπρέπειαν τῇ ἀδικίᾳ. πρὸς τούτοις δείσας ὁ Ἰσίδωρος μήποτε χαλεπωτέρῳ τῷ θυμῷ πιεσθεὶς ὁ Θεόφιλος σκέψηται κατ᾽ αὐτοῦ ἐνέδραν τῆς σωτηρίας (φθάνει γάρ, ὥς φασι, καὶ μέχρι τούτων), δρομαῖος χωρεῖ ἐπὶ τὸ ὄρος τὸ τῆς Νιτρίας πρὸς τὸ τάγμα τῶν μοναχῶν, ἔνθα τὰς τῆς νεότητος ἠσκήκει διατριβάς· καὶ καθίσας ἐν τῷ κελλίῳ αὐτοῦ προσηύχετο τῷ μακροθύμῳ Θεῷ ἐντυγχάνων. ἐπὶ τούτοις τὸ ἀπρεπὲς καὶ ἄδηλον συνειδὼς ἑαυτῷ τῆς νίκης ὁ Θεόφιλος πέμπει γράμματα πρὸς τοὺς σύνεγγυς ἐπισκόπους, καὶ κελεύει τινὰς τῶν πρώτων ῥιφῆναι τοῦ ὄρους καὶ τῆς ἐνδοτέρας ἐρήμου, τοὺς ἐπὶ κεφαλῆς μοναχούς, οὐκ

ἐπαγαγὼν τὴν αἰτίαν. οἵτινες μοναχοὶ σὺν τοῖς πρεσβυτέροις κατελθόντες εἰς τὴν Ἀλεξάνδρειαν παρεκάλουν τὸν Θεόφιλον εἰπεῖν τὴν αἰτίαν, δι᾽ ἣν κατεδικάσθησαν ῥιφῆναι. ὁ δὲ ὑφαίμοις ὀφθαλμοῖς δρακοντῶδες ἐνατενίσας ταυρηδὸν ὑπεβλέπετο, ποτὲ μὲν πελιδνός, ποτὲ δὲ ὠχρός, ποτὲ δὲ καὶ σαρκάζων, ὑπ᾽ ἀκράτου ὀργῆς φερόμενος· ἐνειλεῖ τῷ Ἀμμωνίῳ, ἀνδρὶ ἡλικιώτῃ, τὸ ὠμοφόριον ἐν τῷ τραχήλῳ οἰκείαις χερσί, καὶ πληγὰς ταῖς σιαγόσιν αὐτοῦ ἐμφορήσας, συνεσπασμένοις δακτύλοις αἱμάξας αὐτοῦ τὰς ῥῖνας, ἐπιψοφῶν τῇ φωνῇ· "Αἱρετικέ, ἀναθεμάτισον Ὠριγένην"· μηδενὸς προκειμένου πλὴν τῆς ἀξιώσεως ἕνεκεν Ἰσιδώρου. τοιοῦτον γὰρ οἱ θυμοί, καθάπερ οἱ κύνες, τυφλὰ τίκτουσι καὶ τὰ πράγματα καὶ τὰ ῥήματα. οὕτως οὖν αἱματόφυρτοι καὶ ἀναπόκριτοι ὑποστρέψαντες εἰς τὰς μονὰς αὐτῶν, εἴχοντο τῆς προκειμένης ἀσκήσεως, τῇ μαθήσει τὴν φύσιν ὀξύναντες, δι᾽ ὧν ἡ σωτηρία προσγίνεται, ἔλαττον φροντίσαντες τῆς τούτου μανίας, τῷ μηδὲν ἑαυτοὺς συνειδέναι κακόν.

-Κεφάλαιον Ζʹ.

Πρὸς τούτοις οὐκ ἠρεμήσας ὁ Θεόφιλος ἀποστέλλει πρὸς τοὺς ἐκ γειτόνων ἐπισκόπους, καὶ συγκροτεῖ κατὰ τῶν μοναχῶν συνέδριον· οὔτε δὲ καλέσας αὐτοὺς εἰς ἀπολογίαν, οὔτε μεταδοὺς λόγου, ἀποκηρύττει τρεῖς ἄνδρας τοὺς ἐπ᾽ ἐξοχῆς (φοβηθεὶς ἀθρόως κατὰ τοῦ πλήθους ἐξενεγκεῖν τὴν τιμωρίαν), σχηματισάμενος δογμάτων παραφθοράν. καὶ οὓς πολλάκις ὑπὲρ ἐπισκόπων ἐτίμησεν ὡς διδασκάλους διὰ τὸν βίον, διὰ τὸν λόγον, διὰ τὸν χρόνον, τούτους οὐκ ᾐδέσθη γόητας ὀνομάζων διὰ τὴν πρὸς Ἰσίδωρον σχέσιν. καὶ μετὰ τὸ ἀποκηρῦξαι, ἐξ αὐτοῦ τοῦ ὄρους ἀλείφει ἀνθρωπάρια πέντε, ἃ μηδέποτε ἐν συλλόγῳ τῶν τῆς ἐρήμου γερόντων ἔστησαν -ὀκνῶ λέγειν ἀνάξια καὶ θυρωρίου· καὶ τὸν μὲν χειροτονεῖ ἐπίσκοπον, ἐγκατατάξας κωμυδρίῳ, πόλιν οὐκ ἔχων (ἀδεῶς γὰρ καὶ τὰς καινοτομίας εἰργάζετο, ἄλλον ἑαυτὸν Μωϋσέα ὀνομάζων), τὸν δὲ πρεσβύτερον, τοὺς δὲ τρεῖς διακόνους, οὐκ ὄντας τῶν Αἰγυπτίων, ἀλλὰ διαφόρων τόπων (ὁ μὲν γὰρ ἦν Λίβυς, ὁ δὲ Ἀλεξανδρεύς, ὁ δὲ Φαρανίτης, ὁ δὲ Παραλεώτης). διὸ καὶ ὑπήκουσαν αὐτοῦ τῇ ματαιοπονίᾳ, τὸ ἀνέλπιστον ἔχοντες τῶν τῆς πατρίδος ἐνεχύρων. καὶ παρασκευάζει αὐτοὺς δοῦναι λιβέλλους κατὰ τῶν τριῶν ἐκείνων,

αὐτὸς ὑφάνας τοὺς λόγους τῆς συκοφαντίας, τούτων μόνον συνεισενεγκάντων τὸ ὑπογράψαι. μετὰ τοῦτο λαβὼν τοὺς λιβέλλους παρ᾽ αὐτῶν ἐπὶ τῆς ἐκκλησίας, εἰσέρχεται πρὸς τὸν αὐγουστάλιον καὶ ἀποτίθεται κατ᾽ αὐτῶν ἐντυχίαν ἐκ προσώπου οἰκείου ὁ ἀρχιερεὺς τῆς Αἰγυπτιακῆς διοικήσεως, συμπλέξας καὶ τοὺς τῆς συκοφαντίας λιβέλλους, καὶ ἀξιοῖ στρατιωτικῇ βοηθείᾳ ῥιφῆναι τοὺς ἄνδρας ἀπὸ πάσης Αἰγύπτου. λαβὼν δὲ σχήματι τὸν στρατιώτην, ἅμα τῷ προστάγματι, συναθροίζει πλῆθος πλημμελῶν εὐκόλως περὶ τὰς ἀξίας, καὶ ἐπισκιρτᾷ τοῖς μοναστηρίοις ἀθρόᾳ νυκτί, οἰνοφλυγήσας τοὺς παῖδας τοὺς σὺν αὐτῷ. καὶ πρῶτον μὲν τὸν τούτων ἀδελφὸν Διόσκορον, ἅγιον ἐπίσκοπον ὄντα τοῦ ὄρους, κελεύει τοῦ θρόνου ῥιφῆναι, συρέντα δι᾽ οἰκετῶν Αἰθιόπων -καὶ αὐτῶν τάχα ἀκμὴν ἀφωτίστων, λαβὼν αὐτοῦ τὴν παροικίαν, ἣν ἀπὸ τῆς παρουσίας Χριστοῦ εἶχεν ἡ τοῦ Διοσκόρου πόλις. μετὰ τοῦτο λαφυραγωγεῖ τὸ ὄρος, μισθὸν τοῖς νεωτέροις τὰ μικρὰ πράγματα τῶν μοναχῶν διδούς. σκυλεύσας δὲ τὰς κέλλας ἐπιζητεῖ τοὺς τρεῖς ἐκείνους, οὓς κεχαλάκεισαν ἐν φρέατι, ψίαθον ἐπιθέντες τῷ στομίῳ· μὴ εὑρὼν δὲ αὐτοὺς ἐμπίπρησιν αὐτῶν φρυγάνοις τὰς κέλλας, συγκαύσας τὰς βίβλους πάσας ἐνδιαθέτους καὶ σπουδαίας, καὶ παιδίον ἕν, ὡς ἔφασαν οἱ ἑωρακότες, καὶ τὰ σύμβολα τῶν μυστηρίων. οὕτως οὖν λωφήσας τῆς ἀλόγου ὀργῆς καταλαμβάνει πάλιν τὴν Ἀλεξάνδρειαν, δοὺς χώραν φυγῆς τοῖς ἁγίοις ἐκείνοις· οἵτινες ἐξαυτῆς λαβόντες αὐτῶν τὰς μηλωτὰς ἐξέρχονται εἰς τὴν Παλαιστίνην, Αἰλίαν καταλαβόντες· οἷς συνεξῆλθον σὺν πρεσβυτέροις καὶ διακόνοις τοῦ ὄρους τριακόσιοι τῶν μοναχῶν σπουδαίων, οἱ δ᾽ ἕτεροι διαφόροις διεσπάρησαν τόποις. τούτων μὴ φέρων τὴν ἰδιοπραγίαν "ὁ σκολιὸς" τὸν δρόμον "ὄφις" ἀνασείει πάλιν κατ᾽ αὐτῶν τὸν Θεόφιλον· ὃς ἀναβρασθεὶς ὑπὸ τῆς ὀργῆς χαράσσει γράμματα πρὸς τοὺς τῆς Παλαιστίνης ἐπισκόπους, λέγων· "Οὐκ ἔδει μὲν ὑμᾶς παρὰ γνώμην μου ἐν ταῖς πόλεσιν ὑποδέξασθαι τούτους· ἐπειδὴ δὲ ἠγνοήσατε, συγγνώμην ὑμῖν νέμω. τοῦ λοιποῦ τοίνυν φροντίσατε, μήτε εἰς ἐκκλησιαστικόν, μήτε εἰς ἰδιωτικὸν τούτους ὑποδέξασθαι τόπον." οὐ μόνον λέγων, ἀλλὰ καὶ φανταζόμενος εἶναι θεός, τῇ ὑπερβολῇ τῆς οἰήσεως. οἱ δὲ ὑπὸ τῆς πολλῆς ἀνάγκης φερόμενοι διὰ τὸ τόπους ἐκ τόπων ἀμείβειν, καταλαμβάνουσι τὸ στρατόπεδον, ἔνθα ἐνεθρόνιστο ὁ ἐπίσκοπος Ἰωάννης ὑπὸ τῆς θείας χειρὸς εἰς ἐπιμέλειαν τῶν δυναστευόντων· καὶ προσπεσόντες αὐτοῦ τοῖς γόνασιν, ἐδέοντο

βοηθῆσαι ψυχαῖς συκοφαντουμέναις καὶ λεηλατουμέναις ὑπὸ τῶν τοῦτο μᾶλλον ἢ εὖ ποιεῖν εἰθισμένων. ἔστη ὁ Ἰωάννης καὶ εἶδεν πεντήκοντα λογάδων ἀνδρῶν πολιὰν πόνοις ἱεροῖς βαφεῖσαν στολὴν ἠμφιεσμένην, καὶ δριμυχθεὶς φιλαδελφίας πάθει, κατὰ τὸν Ἰωσήφ, δάκρυσι συνεσχέθη, πυνθανόμενος παρ᾽ αὐτῶν, ποῖος "ὗς ἐκ δρυμοῦ ἢ μονιὸς ἄγριος τῇ" πολυκάρπῳ "ταύτῃ ἀμπέλῳ" ἐβάσκηνεν. οἱ δέ φασιν· "Καθίσας, πάτερ, μότωσον ἡμᾶς οὐχ ὡς ἔτυχεν τρωθέντας τῇ Θεοφίλου τοῦ πάπα μανίᾳ, εἰ ἄρα δυνηθείης συνουλῶσαι ἡμῶν τὰ τῶν τραυμάτων οἰδήματα· ἐὰν γὰρ καὶ αὐτὸς ἡμᾶς παραλογίσῃ, ἢ αἰδεσθεὶς ἢ φοβηθεὶς τὸν Θεόφιλον κατὰ τοὺς λοιποὺς ἐπισκόπους, οὐδὲν λοιπὸν παρ᾽ ἡμῶν ὑστερεῖται ἢ τῷ βασιλεῖ προσελθόντας ἀναδιδάξαι τὰς αὐτοῦ κακοπραγίας ἐπὶ ὕβρει τῆς ἐκκλησίας. εἰ τοίνυν φροντίζεις τῆς ἐκκλησιαστικῆς ὑπολήψεως, ἐπινεύσας πεῖσον αὐτὸν συγχωρῆσαι ἡμῖν τὴν οἴκησιν τὴν ἐν Αἰγύπτῳ, μηδὲν ἐπταικόσι μήτε εἰς τὸν νόμον τοῦ Σωτῆρος, μήτε εἰς αὐτὸν ἐκεῖνον." ἐπὶ τούτοις νομίσας ὁ Ἰωάννης εὐχερῶς μεταβάλλειν τὴν Θεοφίλου πρὸς αὐτοὺς μνησικακίαν, ἡδέως ἥρπασεν τὸ πρᾶγμα· παρακαλέσας δὲ τοὺς ἄνδρας φιλοθέῳ σιγῇ πρὸς πάντας ἡσυχάσαι τὴν αἰτίαν τῆς παρουσίας, "μέχρις οὗ ἀποστείλω πρὸς τὸν ἀδελφὸν Θεόφιλον." καὶ δοὺς αὐτοῖς ἐν τῇ Ἀναστασίᾳ καλουμένῃ ἐκκλησίᾳ μονὰς πρὸς τὴν ἀνάπαυσιν, αὐτὸς μὲν οὐκ ἐπεκούρει τὰ πρὸς τὴν χρείαν· γυναῖκες δὲ φιλόθεοι ἐπήρκουν αὐτοῖς τὴν δίαιταν, καὶ αὐτῶν συνεισφερόντων ἐκ μέρους τῇ τῶν χειρῶν ἐργασίᾳ. συνέβη οὖν κατ᾽ ἐκεῖνο καιροῦ κληρικοὺς εἶναι τοῦ Θεοφίλου ἐν τῇ Κωνσταντινουπόλει, προαγοράζοντας τῶν χειροτονουμένων ἀρχόντων τὰς προαγωγὰς ἐν τῇ Αἰγυπτιακῇ διοικήσει, τὰς εἰς αὐτὸν εὐνοίας περιποιουμένους ἐπ᾽ ὀλέθρῳ τῶν αὐτὸν λυπούντων. προσκαλεσάμενος οὖν αὐτοὺς ὁ Ἰωάννης ἐπυνθάνετο, εἰ ἐπίστανται τοὺς παρόντας ἀσκητάς. οἱ δὲ φιλαλήθως ἐμαρτύρησαν τοῖς ἀνδράσι, λέγοντες τῷ Ἰωάννῃ, ὅτι "Καὶ ἴσμεν αὐτούς, καὶ μεγάλην ὑπέστησαν βίαν. καὶ εἰ βούλει, δέσποτα, τῆς μὲν πνευματικῆς κοινωνίας αὐτοῖς μὴ μεταδῷς, ἵνα μὴ λυπήσῃς τὸν πάπαν, φιλοφρόνησαι δὲ ἐν τοῖς ἄλλοις -πρέπει γάρ σοι, ὡς ἐπισκόπῳ." οὕτως ὁ Ἰωάννης οὐκ ἐδέξατο μὲν αὐτοὺς εἰς κοινωνίαν, γράφει δὲ λιπαρῶν τῷ Θεοφίλῳ· "Ταύτην μοι παράσχου τὴν χάριν ὡς τέκνῳ σῷ καὶ ἀδελφῷ, ἐναγκαλισάμενος τοὺς ἄνδρας." πρὸς τούτοις ὁ Θεόφιλος τὴν μὲν χάριν οὐ παρέσχεν τῷ Ἰωάννῃ, ἀποστέλλει δέ τινας περισεσυρμένους εἰς λογικὰς ἁμίλλας (περὶ ὧν προείπομεν

ἀνωτέρω) καὶ παρασκευάζει δεήσεις αὐτοὺς ἐπιδοῦναι, ἃς συνήθως αὐτὸς ὑπηγόρευσεν, περιεχούσας μὲν ψεῦδος ὡμολογημένον, ἠμφιεσμένον δὲ τὴν πολυσχιδῆ συκοφαντίαν τὴν ἐν τοῖς ἀοράτοις, μηδὲν ἔχων αὐτῶν διαβάλλειν τὸν βίον· καὶ παρασκευάζει αὐτοὺς ἐν τῷ παλατίῳ ὡς γόητας δακτυλοδεικτεῖσθαι. ὡς δὲ εἶδον οἱ ἀσκηταί, ὅτι οὐ μόνον αὐτὸν οὐ διορθοῦνται, ἀλλὰ καὶ εἰς ὀργὴν πλείονα κινοῦσιν, ἀξιώτας αὐτῷ προσάγοντες πολλούς, μετὰ τοῦ ἀναθεματίζειν πᾶσαν ψευδοδοξίαν, ἐπιδιδόασι λιβέλλους ἐντευκτικοὺς τῷ Ἰωάννῃ, ἀναδιδάξαντες τὰ τῆς τυραννίδος εἴδη, μετὰ καὶ κεφαλαίων τινῶν -ἃ αἰσχύνομαι ἐπὶ τῶν νηπιωτέρων τέως λέγειν, ἵνα μὴ καὶ τῆς πίστεως αὐτοὺς ἀπελάσω, ἴσως καὶ παρὰ τοῖς τελειοτέροις οὐ πιστευόμενος. πάλιν καὶ δι᾽ ἑαυτοῦ καὶ δι᾽ ἑτέρων ἐπισκόπων ὁ Ἰωάννης παρακαλεῖ αὐτοὺς παύσασθαι τῆς κατ᾽ αὐτοῦ κατηγορίας διὰ τὴν ἐκ τῆς δίκης κακοπάθειαν, γράψας τῷ Θεοφίλῳ, ὅτι “Εἰς τοσοῦτον ἠλάθησαν λύπης οἱ ἄνδρες, ὡς καὶ ἐγγράφως σου κατηγορεῖν· λοιπὸν τὸ δοκοῦν σοι ἀντίγραψον· οὐ γὰρ ἀνέχονταί μου ἀποστῆναι τοῦ στρατοπέδου.” ἐπὶ τούτοις διαπυρωθεὶς ὅλος ὁ Θεόφιλος εἴργει καὶ τὸν ἀδελφὸν τῶν μοναχῶν τῆς ἑαυτοῦ ἐκκλησίας, Διόσκορον τὸν ἐπίσκοπον, γεγηρακότα ἐν τῇ ἐκκλησίᾳ· τῷ δ᾽ ἐπισκόπῳ Ἰωάννῃ γράφει· “Οἶμαι μέν σε μὴ ἀγνοεῖν τὸ διάταγμα τῶν κανόνων τῶν ἐν Νικαίᾳ, ὅπου θεσπίζουσιν ‘ἐπίσκοπον ὑπερόριον μὴ κρίνειν δίκην’· εἰ δὲ ἀγνοεῖς, μαθὼν ἀπόσχου τῶν κατ᾽ ἐμοῦ λιβέλλων. εἰ γὰρ καὶ δέοι με κριθῆναι, παρὰ τῶν Αἰγυπτίων, καὶ οὐ παρὰ σοῦ ἀφεστῶτος ἑβδομήκοντα πέντε ἡμερῶν ὁδόν. “

-Κεφάλαιον Η΄.

Λαβὼν τὴν ἐπιστολὴν ὁ Ἰωάννης καὶ ἀναγνούς, ταύτην μὲν ἔσχεν παρ᾽ ἑαυτῷ, τοῖς δὲ ἀσκηταῖς ἀμφοτέρων τῶν μερῶν διελέχθη τὰ πρὸς εἰρήνην. ἀκούσαντα δὲ ἀμφότερα τὰ μέρη ἐτραχύνθη, τὸ μὲν ὡς τετυραννημένον, τὸ δὲ ὡς οὐκ ἔχον ἄνευ Θεοφίλου τὴν τῆς εἰρήνης ἐξουσίαν, διὰ τὸ καὶ κατὰ κέλευσιν αὐτοῦ ἐπιδεδωκέναι τὰς τῆς συκοφαντίας δεήσεις. οὕτως ὁ Ἰωάννης δοὺς αὐτοῖς ἀπόκρισιν ἀπέλυσεν τῆς ἑαυτοῦ διανοίας. πρὸς τούτοις ἀναχωρήσαντες οἱ μοναχοὶ τοῦ μέρους τοῦ ἠδικημένου, συντάσσουσι πολυστίχους δεήσεις, ἐγγράψαντες κατὰ μὲν τῶν μοναχῶν ὡς συκοφαντῶν, κατὰ

δὲ Θεοφίλου τὰ Θεοφίλου -ἵνα μὴ ἄλλως εἴπω τοσαῦτα ὅσα ἕκαστος οἶδεν. καὶ ἐντευξάμενοι τοῖς αὐγούστοις προσέρχονται ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Ἰωάννου τῇ βασιλίσσῃ δεηθέντες, τῶν μὲν ἀντιδίκων μοναχῶν τὴν δέησιν παρὰ τοῖς ἐπάρχοις γυμνασθῆναι, τὸν δὲ Θεόφιλον παραστάντα καὶ ἄκοντα ἐπὶ Ἰωάννου κριθῆναι. ἐπράχθη ἡ δέησις ἔχουσα τὴν ἀπόφασιν τήνδε· "Ὥστε τὸν μὲν Θεόφιλον, παραστάντα διὰ τοῦ μαγίστρου καὶ ἑκόντα καὶ ἄκοντα, δοῦναι δίκην ἐπὶ Ἰωάννου· τοὺς δὲ Θεοφίλου μοναχοὺς ἢ συστῆναι ἑαυτοῖς ἐπὶ τοῖς ἐγκλήμασιν, οἷς κατηγόρησαν τῶν ἁγίων γερόντων, ἢ τὰ τῶν συκοφαντῶν ὑφίστασθαι." οὕτως οὖν εἰς μὲν τὴν Ἀλεξάνδρειαν ἀπεστάλη Ἐλάφιος, ὁ νῦν ἀπὸ πριγκίπων, διαγαγεῖν τὸν Θεόφιλον, τὴν δὲ λοιπὴν ἀπόφασιν οἱ ἔπαρχοι ἐξεβίβασαν. γυμναζομένης δὲ τῆς δίκης καὶ εἰς ἄπορον καταληγούσης, οἱ μὲν νόμοι ἐπέκειντο ἀποστίλβοντες τὸ ξίφος, οἱ δὲ ἄθλιοι ἐκεῖνοι φοβηθέντες τὴν ἔκβασιν ὑπερτίθενται εἰς Θεόφιλον, ὡς αὐτοῦ αὐτοὺς ὑποβαλόντος καὶ τὰς δεήσεις ὑπαγορεύσαντος. οὕτως ἡ τάξις βάλλει αὐτοὺς εἰς δεσμωτήριον μέχρι τῆς Θεοφίλου παρουσίας, μὴ ἀνασχομένη ἐπὶ τοιαύτῃ ὑποθέσει δέξασθαι ἐγγύας. καὶ τούτων οἱ μὲν τελευτῶσιν ἐν τῇ εἱρκτῇ χρονοτριβήσαντες διὰ τὴν Θεοφίλου βραδυτῆτα, οἱ δὲ μετὰ τὴν Θεοφίλου παρουσίαν χρήμασι τὸ πρᾶγμα ἐξευμαρίσαντος, ἐν τελευταίᾳ ἐξετάσει τὴν Προκοννησσὸν οἰκεῖν παρὰ τῶν νόμων κατεκρίθησαν ὡς συκοφάνται. οὕτως ὁ Θεόφιλος παραστάς, καθάπερ κάνθαρος πεφορτωμένος τῆς κόπρου τῶν ἐξ Αἰγύπτου καλλίστων καὶ αὐτῆς τῆς Ἰνδίας, ὑπὲρ δυσώδους φθόνου εὐωδίαν ἐκχέων, εἰσῄει εἰς τὴν Κωνσταντινούπολιν ἕκτην ὥραν, τῇ πέμπτῃ τοῦ σαββάτου, ὑπὸ τοῦ ναυτικοῦ κατακροτούμενος στίφους. τὴν ἄτιμον ἀποφερόμενος δόξαν, περὶ ἧς προεῖπεν ὁ ἀπόστολος· "Ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν," ἐπενεγκών, "οἱ τὰ ἐπίγεια φρονοῦντες." καὶ ξενίζεται ἐν σκηνώμασιν οὐ δικαίων, φυγὼν τὴν ἐκκλησίαν, ἐπιλαθόμενος τὸ Δαυειδικὸν ἐκεῖνο, "Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν"· εἰργόμενος τῆς ἐκκλησίας ὑπὸ τοῦ ἰδίου συνειδότος. διατρίψας δὲ τρεῖς ἑβδομάδας ἡμερῶν, οὔτε τῷ ἐπισκόπῳ Ἰωάννῃ συνέτυχεν κατὰ τὸ ἔθος τῶν ἐπισκόπων, οὔτε ἐπλησίασεν ὅλως τῇ ἐκκλησίᾳ, ἀλλ᾽ ἔμενεν ἀγωνιζόμενος νύκτωρ τε καὶ μεθ᾽ ἡμέραν τὸ νέον ἔχθος τῷ παλαιῷ ἐπισυνάψας, ὅπως τὸν ἐπίσκοπον Ἰωάννην ἐξώσῃ, οὐ μόνον τῆς ἐκκλησίας, ἀλλὰ καὶ αὐτοῦ τοῦ ζῆν· τοῦτο μὲν ἀφειδίᾳ χρυσίου

τοὺς δεισιδαίμονας τῶν κρατούντων ὠνούμενος κατὰ τῆς ἀληθείας, τοῦτο δὲ πολυτελεῖ τραπέζῃ τοὺς γαστριμάργους δουλούμενος, τοῦτο δὲ καὶ κολακείᾳ καὶ ὑποσχέσει τῆς μείζονος ἀξίας τοὺς συμφένακας τῶν κληρικῶν ἐπαγόμενος. συνδήσας πάντας τούτους ἄνευ σχοινίου ταῖς ἡδοναῖς, καθάπερ λαοπλάνος τις δαίμων, τὸ κριτικὸν τῶν ψυχῶν καταγοητεύσας, ἐζήτει πρόσωπον δαιμονιῶδες εἰς τὴν τοῦ δράματος ὑπηρεσίαν, ὃ δὴ καὶ ἐπέτυχεν. δύο γὰρ διακόνων ἐκβληθέντων τῆς ἐκκλησίας ὑπὸ τοῦ ἐπισκόπου Ἰωάννου ἐπὶ πλημμελήμασι παρανόμοις, ἀπεχρήσατο τῇ κουφότητι καὶ πείθει αὐτοὺς ἐπιδοῦναι λιβέλλους κατὰ τοῦ Ἰωάννου, ὑποσχόμενος αὐτοῖς ἀποκαταστῆσαι εἰς τὸν τῆς λειτουργίας τόπον (ἦν δὲ αὐτῶν τὰ πταίσματα, τοῦ μὲν φόνος, τοῦ δὲ μοιχεία), ὃ δὴ καὶ πεποίηκεν. μετὰ γὰρ τὴν ἐξορίαν Ἰωάννου ἀποκατέστησεν αὐτοὺς εἰς τοὺς τόπους αὐτῶν, δηλαδὴ τοὺς λιβέλλους ἐπιδόντας, οὓς ὑπηγόρευσεν αὐτὸς ἐκεῖνος, ἔχοντας μὲν ἀληθὲς οὐδέν, πλὴν τούτου, ὅτι παρῄνει πᾶσι μετὰ τὴν κοινωνίαν ἀπογεύεσθαι ὕδατος ἢ παστίλλου, ἵνα μὴ ἀκουσίως τῷ σιέλῳ ἢ τῷ φλέγματι συνεκπτύσωσί τι τοῦ συμβόλου· αὐτὸς πρῶτος ποιῶν τὸ πρᾶγμα, εὐλάβειαν ἐκδιδάσκων τοὺς βουλομένους. μετὰ δὲ τὸ δέξασθαι τοὺς λιβέλλους συστρέφεται παρὰ τῇ Εὐγραφίᾳ, ἅμα Σευηριανῷ καὶ Ἀντιόχῳ καὶ Ἀκακίῳ καὶ λοιποῖς ἔχουσι μνησικακίαν κατὰ τοῦ Ἰωάννου ἐπὶ ταῖς παραινέσεσι ταῖς κοσμίαις. εἰώθει γὰρ ὁ μακάριος, κατὰ τὸν Παῦλον, "δημοσίᾳ τε καὶ κατ᾽ οἴκους" σεμνοπρέπειαν ἐκδιδάσκειν, μάλιστα συνεχῶς ταῖς τοιαύταις ἐπισκήπτων, ὅτι "Γραΐδες οὖσαι διὰ τὸν χρόνον, τί ἀνηβᾶν παραβιάζεσθε τὸ σῶμα, βοστρύχους ἐπὶ μετώπου φέρουσαι καθάπερ ἑταιρίδες, ὑβρίζουσαι καὶ τὰς λοιπὰς ἐλευθέρας, ἐπὶ ἀπάτῃ τῶν συντυγχανόντων, καὶ τοῦτο χῆραι;" συναχθέντες δὲ ἐζήτουν τρόπον πῶς ἄρξονται τῆς δίκης. εἷς δέ τις τῶν παρόντων ὑπέθετο, δόντας δεήσεις τῷ βασιλεῖ, καὶ ἄκοντα αὐτὸν ἑλκύσαι εἰς τὸ συνέδριον. τοῦτο οὖν γίνεται, καθάπερ ἐπὶ τῶν Ἰουδαίων, χρυσίου τὰ πάντα αὐτοῖς ἐξομαλίζοντος. ἦμεν δὲ ἡμεῖς τεσσαράκοντα ἐπίσκοποι καθεζόμενοι σὺν τῷ ἐπισκόπῳ Ἰωάννῃ ἐν τῷ τρικλίνῳ τοῦ ἐπισκοπείου, ἐξιστάμενοι πῶς ὁ ἀγώγιμος καὶ μόνος κελευσθεὶς παραστῆναι εἰς τὸ στρατόπεδον ἐπ᾽ ἐγκλήμασιν ἀνοσίοις, μετὰ τοσούτων παρεγένετο ἐπισκόπων· πῶς τε ἀθρόον μετεκέρασεν τὰς τῶν κρατούντων γνώμας, ἐπὶ τὸ χεῖρον διαστρέψας τοὺς πλείονας τοῦ κλήρου. διαπορούντων δὲ ἡμῶν ἐμπνευσθεὶς ὁ Ἰωάννης τῷ πνεύματι λέγει

τοῖς πᾶσιν· “Εὔξασθε, ἀδελφοί, καί, εἰ φιλεῖτε τὸν Χριστόν, ἐμοῦ ἕνεκεν μή τις ἀπολείπῃ τὴν ἑαυτοῦ ἐκκλησίαν. ‘Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἀναλύσεώς μου ἐφέστηκεν,’ κατὰ τὸν εἰπόντα, καὶ πολλὰς θλίψεις ὑποστάς, ἀπολείψω τὸ ζῆν, ὡς ὁρῶ. οἶδα γὰρ τὴν σκευωρίαν τοῦ Σατανᾶ, ὅτι οὐκ ἔτι φέρει μου τὴν ἐπάχθειαν τῶν λόγων τῶν κατ᾽ αὐτοῦ γινομένων. καὶ οὕτως ἐλεηθῆτε· ἐν ταῖς προσευχαῖς ὑμῶν μνημονεύετέ μου.” συσχεθέντες δὲ ἀφάτῳ ἀθυμίᾳ, οἱ μὲν ἐδακρύομεν, ἕτεροι δὲ ἐξήρχοντο τοῦ συνεδρίου, τοὺς ὀφθαλμοὺς καὶ τὴν ἱερὰν κεφαλὴν σὺν τῷ εὐστόχῳ καὶ μακαρίῳ στόματι ἠσπάζοντο δεδακρυμένοι καὶ κεκομμένῳ τῷ πνεύματι. παρακαλέσας δὲ ἐπανελθεῖν εἰς τὸ συνέδριον ὧδε κἀκεῖσε περιπετομένους, καθάπερ μελίσσας περιβομβούσας κυψέλῃ, λέγει· “Καθίσατε, ἀδελφοί, καὶ μὴ κλαίετε, ἐπὶ πλέον με θρύπτοντες. ‘ἐμοὶ γὰρ τὸ ζῆν Χριστός, καὶ τὸ ἀποθανεῖν κέρδος.’ ἐθρυλεῖτο γὰρ καρατομεῖσθαι διὰ τὴν ὑπερβολὴν τῆς παῤῥησίας. καὶ εἰ μνημονεύετε, ἀναπτύξατε ὑμῶν τὰς μνήμας, ὅτι πάντοτε ἔλεγον ὑμῖν· ‘Ὁδός ἐστιν ὁ παρὼν βίος, καὶ τὰ χρηστὰ αὐτοῦ καὶ τὰ λυπηρὰ παροδεύεται· καὶ πανήγυρις τὰ παρόντα· ἠγοράσαμεν, ἐπωλήσαμεν, καταλύομεν.’ μὴ ἀμείνους ἐσμὲν τῶν πατριαρχῶν, τῶν προφητῶν, τῶν ἀποστόλων, ἵνα ἀθάνατον ἡμῖν παραμείνῃ τοῦτο τὸ ζῆν;” ἐπολολύξας δέ τις τῶν παρόντων εἶπεν· “Ἀλλὰ θρηνοῦμεν τὴν ἡμῶν ὀρφανίαν, τὴν τῆς ἐκκλησίας χηρείαν, τὴν τῶν θεσμῶν σύγχυσιν, τὴν φιλαρχίαν τῶν μὴ φοβουμένων τὸν Κύριον καὶ ταῖς προστασίαις ἐπιπηδώντων, τῶν πτωχῶν τὸ ἀπροστάτευτον, τῆς διδασκαλίας τὴν ἐρημίαν.” ἐπικρούσας δὲ τῷ λιχανῷ δακτύλῳ τὸν ταρσὸν τῆς ἀριστερᾶς χειρός (εἰώθει γὰρ ὁ φιλόχριστος ἐν ταῖς κατὰ νοῦν φροντίσιν αὐτὸ ποιεῖν), τῷ ὁμιλοῦντι αὐτῷ εἶπεν· “Ἀρκεῖ, ἀδελφέ· μὴ πολλὰ λέγε· ἀλλ᾽ ὃ εἶπον, τὰς ἐκκλησίας ὑμῶν μὴ ἀφῆτε. οὔτε γὰρ ἀπ᾽ ἐμοῦ ἤρξατο τὸ διδασκάλιον, οὔτε εἰς ἐμὲ ἐτελεύτησεν. μὴ οὐκ ἀπέθανεν Μωϋσῆς· οὐχ εὕρηται Ἰησοῦς; οὐκ ἐτελεύτησε Σαμουήλ· οὐ κέχρισται ὁ Δαυείδ; ἀπέλιπε τὸν βίον Ἰερεμίας· οὐκ ἦν ὁ Βαρούχ; ἀνελήφθη Ἠλίας· οὐ προεφήτευσεν Ἐλισσαῖος; ἐκαρατομήθη Παῦλος· οὐ κατέλιπεν Τιμόθεον, Τίτον, Ἀπολλὼ καὶ ἄλλους μυρίους;” μετὰ τούτους τοὺς λόγους λέγει Εὐλύσιος ὁ Ἀπαμείας τῆς Βιθυνίας· “Ἐπάναγκες ἡμᾶς ἐστι κατέχοντας τὰς ἐκκλησίας ἀναγκασθῆναι καὶ κοινωνῆσαι καὶ ὑπογράψαι.” ἔφη ὁ ἅγιος Ἰωάννης· “Κοινωνήσατε μέν, ἵνα μὴ σχίσητε τὴν ἐκκλησίαν, μὴ ὑπογράψητε δέ· οὐδὲν γὰρ

ἐμαυτῷ σύνοιδα ἄξιον καθαιρέσεως ἐννοήσας.” τούτων οὕτως ἐχόντων ἐδηλώθησαν οἱ ἀποσταλέντες ὑπὸ Θεοφίλου. κελεύει αὐτοὺς εἰσελθεῖν· εἰσελθόντας ἤρετο, ποίου εἶεν βαθμοῦ. λέγουσιν· “Ἐπίσκοποι.” παρακαλεῖ καθίσαντας εἰπεῖν ἐφ᾽ ᾧ πάρεισιν. οἱ δὲ λέγουσι· “Παραναγνωστικὸν ἔχομεν μόνον· ποιήσατε οὖν αὐτὸ ἀναγνωσθῆναι.” κελεύει ὁ Ἰωάννης ἀναγνωσθῆναι. προστάσσουσι τῷ παιδαρίῳ τοῦ Θεοφίλου ἀναγνῶναι τὴν ὑπηγορίαν, καὶ ἀνέγνω. ἦν δὲ τὸ ὕφος τοῦτο· “Ἡ σύνοδος ἡ ἁγία ἡ ἐπὶ Δρῦν συναχθεῖσα” (τόπος δέ ἐστιν οὕτω καλούμενος πέραν θαλάσσης, Ρουφίνου προάστειον, ἐν ᾧ ἦσαν συνηθροισμένοι) “Ἰωάννῃ” (παραλείψαντες ὃ ἦν, ‘τῷ ἐπισκόπῳ’· φιλεῖ γάρ πως ἡ ἐσκοτισμένη ψυχὴ οὐκ ἀκολούθως βλέπειν, ἀλλὰ φαντάζεσθαι ἃ τὸ πάθος ὑπαγορεύει)· “λιβέλλους ἐδεξάμεθα κατὰ σοῦ περιέχοντας μυρία κακά. ἀπάντησον τοίνυν, ἐπαγόμενος Σαραπίωνα καὶ Τίγριον τοὺς πρεσβυτέρους· ἔστι γὰρ αὐτῶν χρεία.” ἦσαν δὲ οἱ ἐλθόντες πρὸς αὐτὸν Διόσκορος καὶ Παῦλος ἐν Λιβύῃ ὑπόγυον καταστάντες νέοι. μετὰ τὸ ἀναγνωσθῆναι τὴν δέλτον ἀντιλέγουσιν οἱ σὺν τῷ ἐπισκόπῳ Ἰωάννῃ ἐπίσκοποι, δηλώσαντες τῷ Θεοφίλῳ διὰ τριῶν ἐπισκόπων καὶ πρεσβυτέρων δύο, Λουπικίνου καὶ Δημητρίου καὶ Εὐλυσίου, καὶ πρεσβυτέρων Γερμανοῦ καὶ Σευήρου, τῶν πάντων ἁγίων ἀνδρῶν καὶ ἀξιολόγων· “Μὴ κατάλυε τὰ πράγματα τῆς ἐκκλησίας καὶ μὴ σχίζε τὴν ἐκκλησίαν, δι᾽ ἣν ὁ Θεὸς εἰς σάρκα κατῆλθεν. εἰ δὲ ἀτακτῶν καταλύεις τοὺς ἐν Νικαίᾳ κανόνας τῶν ΤΙΗ΄ ἐπισκόπων καὶ ‘ὑπερόριον δικάζεις δίκην,’ σὺ πέρασον πρὸς ἡμᾶς εἰς τὴν εὐνομουμένην πόλιν, μὴ προκαλούμενος τὸν Ἄβελ κατὰ τὸν Κάϊν εἰς τὸ πεδίον, ἵνα σου ἡμεῖς πρῶτοι ἀκούσωμεν. ἔχομεν γὰρ κατὰ σοῦ ἑβδομήκοντα κεφαλαίων λιβέλλους, προδήλους ἀθεμιτουργίας ἔχοντας. καὶ πλείους ἐσμὲν τῆς συνόδου, Θεοῦ χάριτι συναχθέντες οὐκ ἐπὶ καταλύσει τῆς ἐκκλησίας, ἀλλ᾽ ἐν εἰρήνῃ. σὺ μὲν γὰρ εἶ τριακοστὸς ἕκτος ἐξ ἐπαρχίας μιᾶς· ἡμεῖς δέ ἐσμεν τεσσαράκοντα ἐκ διαφόρων ἐπαρχιῶν, ἐν οἷς ἐσμεν καὶ ἑπτὰ μητροπολῖται· καὶ ἀκόλουθόν ἐστι τὸν ἐλάσσονα παρὰ τῶν πλειόνων καὶ διαφερόντων κατὰ τοὺς κανόνας κριθῆναι. ἔχομεν γάρ σου καὶ τὴν ἐπιστολήν, δι᾽ ἧς παρεγγυᾷς τῷ συλλειτουργῷ ἡμῶν Ἰωάννῃ ‘τὸ μὴ δεῖν ὑπερορίας εἰσδέχεσθαι δίκας.’ ὅθεν πειθόμενος τοῖς ἐκκλησιαστικοῖς νόμοις, παρακάλει σου τοὺς κατηγόρους, ἢ παύεσθαι τῆς κατὰ σοῦ κατηγορίας, ἢ τῆς πρὸς αὐτὸν προσόδου.” πρὸς ταῦτα κινηθεὶς ὁ Ἰωάννης τοῖς μὲν ἐπισκόποις αὐτοῦ ἔλεγεν·

“Ὑμεῖς ὃ δοκεῖ ὑμῖν δηλώσατε, ἐμὲ δὲ ἀκόλουθόν ἐστι πρὸς τὰ δηλωθέντα μοι ἀντισημᾶναι.” τοῖς δὲ περὶ Θεόφιλον ἀνταπέστειλεν ταῦτα· “Ἐγώ, εἰ μὲν ἔχει τις κατ᾽ ἐμοῦ λέγειν, μέχρι τῆς δεῦρο οὐδεπώποτε ἔγνων· εἰ δέ τις κατεῖπέν μου, καὶ βούλεσθέ με παραγενέσθαι, τοὺς προδήλους μου ἐχθρούς, οἵτινες ἐκ τῆς ἀμελείας αὐτῶν ἐκακώθησαν πρὸς ἐμέ, βάλλετε ἔξω τούτους τοῦ ὑμετέρου συλλόγου· καὶ οὔτε τόπου ἀμφισβητῶ ὅπου με δέοι κριθῆναι, εἰ καὶ τὰ μάλιστα ἔδει ἐν τῇ πόλει. εἰσὶ δὲ οὓς παραιτοῦμαι, Θεόφιλος, ὃν ἐλέγχω εἰρηκότα καὶ ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Λυκίᾳ, ὅτι ‘Ἀπέρχομαι εἰς τὸ κομιτᾶτον Ἰωάννην καθελεῖν.’ ἔστι δὲ ἀληθές, ἐξ ὧν παραγενόμενος οὔτε συνέτυχέν μοι οὔτε ἐκοινώνησέν μοι. ὃς οὖν πρὸ τῆς ἀκροάσεως τὰ ἐχθρῶν ἐπετέλεσεν, τί ἂν ποιήσῃ μετὰ τὴν δίκην; ὁμοίως δὲ καὶ Ἀκάκιον διελέγχω ἐφ᾽ ᾧ εἶπεν· ‘Ἐγὼ αὐτῷ ἀρτύω χύτραν.’ περὶ δὲ Σευηριανοῦ καὶ Ἀντιόχου, οὓς τάχιον μετελεύσεται ἡ θεία δίκη, τί δεῖ καὶ λέγειν, ὧν τὰς νεωτεροποιΐας καὶ τὰ κοσμικὰ ᾄδουσι θέατρα; οὐκοῦν παρακέκλησθε, εἰ κατὰ ἀλήθειαν βούλεσθέ με ἐλθεῖν, τούτους τοὺς τέσσαρας· εἰ μὲν ὡς δικαστάς, ἐκβάλλετε τούτους τοῦ συνεδρίου· εἰ δὲ ὡς κατηγόρους, στήσατε εἰς τὴν κρίσιν, ἵνα γνῶ ὅπως κονίζωμαι, πότερον ὡς πρὸς ἀντιδίκους ἢ ὡς δικαστάς· καὶ πάντως ἐλεύσομαι οὐ μόνον πρὸς τὴν ὑμετέραν ἀγάπην, ἀλλὰ καὶ πρὸς πᾶσαν τῆς οἰκουμένης σύνοδον. ὥστε οὖν γνῶτε, ἐὰν μυριάκις ἀποστείλητε πρός με, οὐδὲν πλέον ἀκούσεσθε παρ᾽ ἐμοῦ.” τούτων ἐξελθόντων, νοτάριος παρὰ πόδας γράμμα ἔχων βασιλικόν, ἐν ᾧ προεδεήθησαν ἄκοντα αὐτὸν ἀπαντῆσαι εἰς τὴν δίκην, κατήπειγεν αὐτὸν εἰς τὴν κρίσιν. μετὰ τὴν ἀπόκρισιν τὴν πρὸς τὸν νοτάριον ἐμηνύθησαν δύο πρεσβύτεροι τοῦ Ἰωάννου, Εὐγένιός τις, ὃς μισθὸν τῆς κατὰ τοῦ ἐπισκόπου Ἰωάννου συσκευῆς τὴν προεδρίαν ἔλαβεν Ἡρακλείας, καὶ ὁ ἡσυχαστὴς Ἰσαάκιος -ἵνα μὴ ἄλλως εἴπωλέγοντες· “Ἐδήλωσέν σοι ἡ σύνοδος· ‘Πέρασον πρὸς ἡμᾶς, ἀπολογησόμενος τὰ ἐγκλήματα.’” πρὸς ταῦτα ὁ Ἰωάννης ἀντεδήλωσεν δι᾽ ἐπισκόπων ἑτέρων· “Ποίᾳ ἀκολουθίᾳ δικάζετε, οἱ μήτε τοὺς ἐχθρούς μου ἐξώσαντες, καὶ διὰ τῶν ἐμῶν κληρικῶν με μεταστελλόμενοι;” οἱ δὲ λαβόντες τοὺς ἐπισκόπους, τὸν μὲν ἔδειραν, τὸν δὲ περιέσχισαν, τῷ δὲ σίδηρα τῷ τραχήλῳ περιέθηκαν, ἃ ἦσαν εὐτρεπίσαντες τῷ ἁγίῳ, ἵν᾽ οὕτως βληθεὶς εἰς πλοῖον, εἰς ἄδηλον ἀποσταλῇ τόπον· τοῦ δαίμονος καθάπερ λέοντας ἀγριώσαντος αὐτούς. καὶ ὁ μὲν ὅσιος, εἰδὼς τὴν ἀναιδῆ αὐτῶν γνώμην, ἑαυτὸν

ἐπέσχεν. οἱ δὲ γεννάδες, πράξαντες ὑπομνημάτια ἀράχνης ἀσθενέστερα πρὸς ἀφοσίωσιν, ἀποφαίνονται κατὰ τοῦ μακαρίου, οὗ οὔτε τὸ πρόσωπον εἶδον, οὔτε φωνῆς αὐτοῦ ἤκουσαν, ἐν ἡμέρᾳ μιᾷ τὴν ἐν πολλῷ χρόνῳ ὑφαινομένην κακίαν συμπεραιώσαντες (ἀνεπίσχετον γὰρ τὸ δαιμονιῶδες ὅρμημα, οὐκ ἀναμένον σκέψιν). καὶ πέμψαντες τῷ βασιλεῖ ἀναφορὰν προέταξαν· "Ἐπειδὴ κατηγορηθεὶς Ἰωάννης ἐπὶ κακοῖς τισι καὶ συνειδὼς ἑαυτῷ, οὐκ ἠθέλησεν ἀπαντῆσαι, τόνδε τοιοῦτον καθαιροῦσιν οἱ νόμοι· ὃ δὴ καὶ ὑπέστη. περιέχουσι δὲ οἱ λίβελλοι καὶ καθοσιώσεως ἔγκλημα. κελεύσει οὖν ἡ ὑμῶν εὐσέβεια καὶ ἄκοντα αὐτὸν ἐξωσθῆναι καὶ δίκας δοῦναι ἐπὶ τῇ καθοσιώσει, ἐπειδὴ ἡμῖν οὐκ ἔξεστι ταῦτα ζητεῖν." ὦ τρισάθλιοι, ἃ φρονεῖτε καὶ ποιεῖτε; αἰσχύνεσθε ταῦτα ποιεῖν, οὐ Θεόν, ἀλλὰ ἀνθρώπους αἰδούμενοι ἢ φοβούμενοι. ἦν δὲ ἡ καθοσίωσις ἡ εἰς τὴν βασίλισσαν λοιδορία, ὡς ἐκεῖνοι ἀνήνεγκαν, ὅτι εἶπεν αὐτὴν Ἰεζάβελ. καὶ οἱ μὲν θαυμάσιοι, τὸν διὰ ξίφους θάνατον αὐτοῦ ποθήσαντες ἰδεῖν, οὕτως ἀνήνεγκαν· ὁ δὲ Θεὸς καὶ τούτων ἐφανέρωσεν τὴν ἐνδομυχοῦσαν κακίαν, καὶ τῶν ἀρχόντων ἐμαλάκυνε τὴν καρδίαν, καθάπερ ἐπὶ τοῦ Δανιὴλ συνέβη ἐν Βαβυλῶνι. ἐκεῖ γὰρ οἱ μὲν λέοντες ἡμερώθησαν, φεισάμενοι τοῦ Δανιήλ, οἱ δὲ ἄνθρωποι ἠγριώθησαν, ἀφειδήσαντες τοῦ προφήτου· καὶ ἐδυσώπησεν ὁ Θεὸς τοὺς παρὰ φύσιν ἀγριωθέντας, τῶν παρὰ φύσιν ἡμερωθέντων.

-Κεφάλαιον Θ΄.

Οὕτως ἐξεώσθη ὁ Ἰωάννης τῆς ἐκκλησίας, κόμητος ἀποσταλέντος σὺν στρατιωτικῇ βοηθείᾳ, καθάπερ ἐπὶ βαρβαρικῆς παρατάξεως. ἐκβληθεὶς δὲ φθάνει εἰς τὰ κατὰ Πραίνετον τῆς Βιθυνίας ἀγρίδια. μέσης δὲ διαγενομένης ἡμέρας μιᾶς, συνέβη θραῦσίν τινα γενέσθαι ἐν τῷ κοιτῶνι. φοβηθέντες ἐκ τούτου, δι᾽ οἰκείου νοταρίου ἀνακαλοῦνται τὸν Ἰωάννην μετὰ ἡμέρας ὀλίγας, ἀποδόντες τῷ οἰκείῳ θρόνῳ. οὕτως ὁ Θεόφιλος σὺν τοῖς Αἰγυπτίοις φυγῇ τὴν σωτηρίαν πορίζεται (ἐζήτει γὰρ ἡ πόλις αὐτὸν θαλασσῶσαι). μετὰ δύο μῆνας πάλιν ὑπαναπνεύσαντες τῆς πληγῆς, φρυάττονται ἐκ δευτέρου κατὰ τοῦ Ἰωάννου· καὶ εὐπρόσωπον ἀρχὴν οὐχ εὑρίσκοντες, πέμπουσι πρὸς τὸν σοφιστὴν τῶν τοιούτων εἰς Ἀλεξάνδρειαν δηλώσαντες· "Ἢ πάλιν ἀπάντησον στρατηγήσων κατὰ τοῦ Ἰωάννου,

ἤ, εἰ τοῦτο δέδοικας διὰ τοὺς λαούς, τρόπον ἡμῖν ὑπόθου τινά, δι᾽ οὗ τὴν ἀρχὴν ποιήσωμεν." πρὸς τούτοις ὁ Θεόφιλος αὐτὸς μὲν οὐκ ἀπήντησεν, εἰδὼς ὅπως διέφυγεν, ἀπέστειλεν δὲ τρεῖς ἐλεεινοὺς ἐπισκόπους, Παῦλον καὶ Ποιμένα καὶ ἕτερον νεοχειροτόνητον, συναποστείλας αὐτοῖς καὶ κανόνας τινάς, οὓς πεποιήκεισαν οἱ Ἀρειανοὶ κατὰ τοῦ μακαρίου Ἀθανασίου, ἵνα αὐτοῖς τοῖς κανόσι χρησάμενοι δίκας πλέξωσι τῷ Ἰωάννῃ, ὡς μετὰ καθαίρεσιν ἑαυτῷ ἐπεισελθόντι (ὁρμητικὸς γάρ ἐστιν ἐκ φύσεως, καὶ προπετὴς καὶ θρασὺς καὶ διαφερόντως φιλόνεικος -οὐδὲν γάρ ἐστι τοῦ φανέντος αὐτῷ ὑπὸ τῆς ὄψεως, πρὸς ὃ οὐχὶ θᾶττον τοῦ δέοντος ἀκατασχέτως ὁρμᾷ, ἐπ᾽ αὐτῷ μήτε κρίσιν μήτε σκέψιν ἀναμένων. ἀλογίστῳ δὲ φορᾷ χρώμενος ἀτάκτως βαδίζει ἐπὶ τὴν τούτου συγκατάθεσιν, καὶ τῇ ψηφισθείσῃ ἀποφάσει βεβαίως ἐπερειδόμενος εὐτόνως ἀντιφιλονεικεῖ παντὶ τῷ βουλομένῳ ἀνταποφήνασθαι· σπουδάζων ἀεὶ τὴν ἑαυτοῦ κρίσιν τε καὶ ψῆφον νικῶσάν τε καὶ κρατοῦσαν ἀποφαίνειν)· ὃ δὴ καὶ ποιοῦσιν ἐπιστάμενοι αὐτοῦ τὸ ἦθος. μετακαλεσάμενοι γὰρ τῆς Συρίας καὶ Καππαδοκίας καὶ τῆς Ποντικῆς διοικήσεως καὶ Φρυγίας ὅλους μητροπολίτας καὶ ἐπισκόπους, συναθροίζουσιν εἰς τὴν Κωνσταντινούπολιν. οἱ δὲ παραγενόμενοι κατὰ τὴν τῶν κανόνων ἀκολουθίαν ἐκοινώνησαν τῷ Ἰωάννῃ, ἵνα μὴ τὰ αὐτὰ τοῖς πρώτοις ἐργάσωνται. γνόντες δὲ οἱ κρατοῦντες ἠγανάκτησαν ἐπὶ τῇ κοινωνίᾳ αὐτῶν. καὶ Θεόδωρος μὲν ὁ Τυάνων ἐπίσκοπος, ἀνὴρ εὐσχήμων, συνεὶς τὴν σκευωρίαν ἐξ ὧν ἦλθεν εἰς τὰ ὦτα αὐτοῦ, ἵνα μὴ ἐξακολουθήσῃ τῇ προπετείᾳ Θεοφίλου, ἀσυντάκτως καταλιπὼν τοὺς πάντας, κατέλαβεν ἑαυτοῦ τὴν ἐκκλησίαν, μακρὰν χαίρειν εἰπὼν τῷ κομιτάτῳ, ἀσφαλισάμενος ἑαυτοῦ τὴν ἐπαρχίαν τῷ τείχει τῆς εὐσεβείας, μέχρι τέλους ἐμμείνας τῇ τῶν πιστῶν Ρωμαίων κοινωνίᾳ, οἷς μαρτυρεῖ ὁ Παῦλος λέγων· "Ἡ πίστις ὑμῶν ἐν ὅλῳ τῷ κόσμῳ καταγγέλλεται." Φαρέτριος δέ, ὁ Καισαρείας τῆς πρὸς τῷ Ἀργαίῳ, ὑπερβολῇ δειλιάσας, καθάπερ οἱ κομιδῇ παῖδες τὰ μορμολυκεῖα, μηδ᾽ ἐξελθὼν ἑαυτοῦ τὴν πόλιν, συντίθεται τοῖς ἐναντίοις διὰ γραμμάτων, καίπερ μηδὲ κληθεὶς εἰς τὸ μέσον, ἀπειροκάλως ἔχων περὶ τὴν προεδρίαν ἀνοίᾳ τῶν κρειττόνων. Λεόντιος δέ, ὁ Ἀγκύρας τῆς Γαλατίας, συγκλωσθεὶς Ἀμμωνίῳ τῷ Λαοδικείας τῆς κεκαυμένης, κεκαυμένην ἐποίησαν τὴν ἐκκλησίαν. οὐ μόνον ἡττηθέντες ταῖς τῶν κρατούντων ἀπειλαῖς, ἀλλὰ τοὐναντίον ἐλπίδι δώρων βασιλικῶν ἀπατηθέντες ἐν τῇ δευτέρᾳ συνόδῳ,

εἰσφέρουσι γνώμην μοχθηρὰν τοῖς περὶ Ἀκάκιον καὶ Ἀντίοχον, κρατῆσαι τὴν Θεοφίλου ἄκριτον κρίσιν, καὶ μηδ᾽ ὅλως δοῦναι τόπον ἀπολογίας τῷ Ἰωάννῃ, δικαιολογίᾳ τῇ τῶν κανόνων τῶν ὑπὸ Θεοφίλου ἀποσταλέντων, οὓς ἐθέσπισαν οἱ τεσσαράκοντα τῶν Ἀρείου κοινωνικῶν γράψαντες· "Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, ἀδίκως ἢ δικαίως καθαιρεθείς, ἑαυτῷ ἐπεισέλθοι δίχα συνόδου εἰς τὴν ἐκκλησίαν, τὸν τοιοῦτον μηκέτι ἔχειν χώραν ἀπολογίας ἀλλὰ τέλεον ἐξωθεῖσθαι" -καὶ οὗτος μὲν ὁ κανών, ὡς παράνομος ὑπὸ παρανόμων τεθείς, ἐξωστρακίσθη ἐν Σαρδικῇ ὑπὸ Ῥωμαίων καὶ Ἰταλῶν καὶ Ἰλλυριῶν καὶ Μακεδόνων καὶ Ἑλλαδικῶν (ὡς μᾶλλον αὐτὸς οἶσθα, μεγαλώνυμε Θεόδωρε), ὁπηνίκα Λιβέριος ἢ Ἰούλιος ἐπὶ Κώνσταντος βασιλέως ἐδέξατο τὸν Ἀθανάσιον εἰς κοινωνίαν καὶ Μάρκελλον τὸν Γαλάτην, δι᾽ οὓς καὶ ὁ κανὼν ἐκεῖνος ἐτέθη. ἡ μέντοι δυὰς τῶν θαυμασίων τῶν περὶ Ἀμμώνιον καὶ Λεόντιον, συμπλακέντες Ἀκακίῳ καὶ Ἀντιόχῳ καὶ Κυρίνῳ τῷ Χαλκηδόνος καὶ Σευηριανῷ, εἰσῆλθον πρὸς τὸν βασιλέα ἀναδιδάξαντες εἰσκληθῆναι τοῦ μέρους τοῦ Ἰωάννου δέκα ἐπισκόπους (ἦσαν δὲ πλείους τῶν τεσσαράκοντα) ἐπὶ συστάσει τῶν κανόνων, τῶν μὲν διϊσχυριζομένων ὀρθοδόξων αὐτοὺς εἶναι, τῶν δὲ ἀποδεικνυόντων αὐτοὺς Ἀρειανῶν ὑπάρχειν. εἰσελθόντες δὲ οἱ περὶ τὸν γέροντα ψυχῇ τε καὶ πολιᾷ Ἐλπίδιον, τὸν Λαοδικείας τῆς Συρίας, καὶ Τραγκύλλιον, ἔπειθον τὸν βασιλέα μὴ δεῖν ἀλόγως ἐκβάλλεσθαι τὸν Ἰωάννην· "Οὔτε γὰρ τὸ πρότερον καθῄρηται, ἀλλ᾽ ἐξεώσθη ὑπὸ τοῦ κόμητος· οὔτε μὴν ἑαυτῷ ἐπεισῆλθεν, ἀλλὰ προστάγματι τῆς σῆς εὐσεβείας, νοταρίου ἀποσταλέντος· καὶ νῦν δὲ οὓς προφέρουσι κανόνας, αἱρετικῶν αὐτοὺς δείκνυμεν ὄντας." ὡς δ᾽ ἐπέμειναν ἄτακτα ζυγομαχοῦντες οἱ κατὰ Ἰωάννου, οἱ μὲν γεγωνοτέρᾳ φωνῇ, οἱ δὲ σεσοβημένοι στέρνων κινήσει ἀνασειόμενοι ἰταμῶς ἐπὶ τοῦ βασιλέως· πράως ὁ ἐνθεσμότατος Ἐλπίδιος, μικρᾶς παραγενομένης γαλήνης, ἔφησεν τῷ βασιλεῖ· "Βασιλεῦ, μὴ σκύλλωμεν ἐπὶ πολὺ τὴν σὴν ἡμερότητα, ἀλλὰ τοῦτο γενέσθω· ὑπογραψάτωσαν οἱ περὶ τὸν ἀδελφὸν Ἀκάκιον καὶ Ἀντίοχον οὓς προβάλλονται ὡς ὀρθοδόξων κανόνας, ὅτι 'Τῆς πίστεώς ἐσμεν τῶν ἐκθεμένων αὐτούς,' καὶ λέλυται ἡμῖν ἡ ἀμφιβολία." προσσχὼν ὁ βασιλεὺς τῷ ἁπλῷ τοῦ προβλήματος, ὑπομειδιάσας εἶπεν τῷ Ἀντιόχῳ· "Οὐδὲν τούτου λυσιτελέστερον" -ἦν δ᾽ ἐπὶ πάντων τῶν γεγενημένων ἀναίτιος ὁ βασιλεύς, ἄλλων μεταποιούντων τὰ καλῶς τετυπωμένα. ἰλιγγιάσαντες οὖν καὶ εἰς ἀλλήλους ἑλιττόμενοι

οἱ περὶ Σευηριανόν, καθάπερ ἄτακτον ὕδωρ, ἐπί τε τῷ φρονίμως ῥηθέντι καὶ ἐπὶ τῇ τοῦ βασιλέως κρίσει, κατεσχέθησαν ἀφασίᾳ, ἐπὶ τὸ πελιδνότερον μεταβαλόντες αὐτῶν τὴν μορφήν· ὅμως ὑπὸ τῆς ἀνάγκης τοῦ τόπου σφιγγόμενοι, ὑπισχνοῦνται καὶ ἄκοντες ὑπογράψαι. οὕτως ἐξελθόντες, τὴν μὲν ὑπόσχεσιν οὐ πληροῦσιν ὡς ἀβούλητον οὖσαν, δεδοικότες τὴν ἧτταν, ἐμηχανῶντο δὲ ποίῳ τρόπῳ ἐξωσθῇ ὁ Ἰωάννης. τούτων οὕτως ἄλλων τε ἄλλως διαπραττομένων, παρίππασαν μῆνες ἐννέα ἢ δέκα, τοῦ ἐπισκόπου Ἰωάννου συναγομένου σὺν τοῖς τεσσαράκοντα ἐπισκόποις καὶ δύο, τῶν δὲ λαῶν ἀπολαυόντων μετὰ πολλῆς τῆς εὐθυμίας τῆς αὐτοῦ διδασκαλίας (φιλεῖ γάρ πως ὁ ἀκενόδοξος νοῦς ἐν ταῖς περιστάσεσι χαριέστερον καὶ δυνατώτερον ἀποῤῥέειν λόγον). ἐν τούτοις ἐπήνθησεν ἡ Δεσποτικὴ νηστεία, καθάπερ ἔαρ, δι᾽ ἐνιαυτοῦ παραγενομένη. εἰσελθόντες δὲ πάλιν κατ᾽ ἰδίαν οἱ περὶ Ἀντίοχον ἀνεδίδαξαν τὸν βασιλέα ὡς ἡττηθέντα τὸν Ἰωάννην, ἵνα προστάξῃ αὐτὸν ἐξωσθῆναι τοῦ Πάσχα ἐπικειμένου· ὁ δὲ βασιλεὺς ἐξ ἀνάγκης ὀχλούμενος ὑπ᾽ αὐτῶν, ὡς ἐπισκόποις ἐπίστευσεν (ὁ γὰρ ἀληθῶς πρεσβύτερος ἢ ἐπίσκοπος ψεῦδος οὐκ οἶδεν -τὰ γὰρ ὀνόματα ταῦτα τῆς ἄνω λήξεως ὑπάρχει, ἐπεὶ οὐδὲν πρεσβύτερον Θεοῦ, οὐδὲ ἐπισκοπώτερον· Θεὸς γὰρ ὁ ἐπισκοπῶν ἢ θεώμενός ἐστι τὰ πάντα. ὁ τοίνυν ἐπίσκοπος ἢ πρεσβύτερος, ὡς κοινωνὸς τῶν ὀνομάτων, οὕτως καὶ τῶν πραγμάτων ὀφείλει εἶναι), καὶ δηλοῖ τῷ Ἰωάννῃ· "Ἔξελθε ἐκ τῆς ἐκκλησίας." ὁ δὲ ἀντιδηλοῖ· "Ἐγὼ παρὰ τοῦ Σωτῆρος Θεοῦ ὑποδέδεγμαι τὴν ἐκκλησίαν ταύτην εἰς ἐπιμέλειαν τῆς τοῦ λαοῦ σωτηρίας, καὶ οὐ δύναμαι αὐτὴν καταλεῖψαι· εἰ δὲ τοῦτο βούλει (ἡ γὰρ πόλις σοι διαφέρει), βίᾳ με ἔξωσον, ἵνα ἔχω ἀπολογίαν τῆς λειποταξίας τὴν σὴν αὐθεντείαν." οὕτως μετὰ αἰδοῦς τινος ἀποστείλαντες ἐκ τοῦ παλατίου, ἐξέωσαν αὐτόν, κελεύσαντες τέως διάγειν ἐν τῷ ἐπισκοπείῳ, τὸ ἐνδεχόμενον τῆς τοῦ Θεοῦ ὀργῆς προσδοκῶντες, ἵνα, ἐὰν μὲν συμβῇ τι περὶ αὐτοὺς λυπηρόν, θᾶττον αὐτὸν εἰσαγαγόντες εἰς τὴν ἐκκλησίαν, ἐξιλεώσωνται τὸ θεῖον· εἰ δὲ μή, ἵνα πάλιν ἐπιθῶνται ὡς Φαραὼ τῷ Μωϋσεῖ. ἐν τούτοις ἐπέστη ἡ τοῦ μεγάλου σαββάτου ἡμέρα, ἐν ᾗ ὁ Σωτὴρ σταυρωθεὶς ἐσκύλευσεν τὸν Ἅδην. καὶ πάλιν αὐτῷ δηλοῦσιν· "Ἔξελθε τῆς ἐκκλησίας." ἀντιδηλοῖ τὰ εἰκότα. εὐλαβούμενος τοιγαροῦν ὁ βασιλεὺς τὸ εὐκαθοσίωτον τῆς ἡμέρας καὶ τὸν τῆς πόλεως κλόνον μεταστέλλεται τοὺς περὶ Ἀκάκιον καὶ Ἀντίοχον, φήσας αὐτοῖς· "Τί δέοι γενέσθαι;

βλέπετε μήποτε οὐκ ὀρθῶς βουλεύεσθε.” τότε οἱ γεννάδες καὶ περισσόψυχοι εἶπον τῷ βασιλεῖ· “Βασιλεῦ, ἐπὶ τὴν κεφαλὴν ἡμῶν ἡ Ἰωάννου καθαίρεσις.” τελευταῖον βοήθημα, οἱ τῷ Ἰωάννῃ συνόντες ἐπίσκοποι, ἰσάριθμοι τῆς ἁγίας νηστείας, προσῆλθον τῷ βασιλεῖ καὶ τῇ βασιλίσσῃ ἐν τοῖς μαρτυρίοις μετὰ δακρύων, παρακαλοῦντες φειδοῦς τυχεῖν τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, μάλιστα διὰ τὸ Πάσχα καὶ τοὺς μέλλοντας ἀναγεννᾶσθαι ἤδη μυσταγωγηθέντας, ἀπολαβοῦσαν τὸν ἱερέα. οὐκ ἠκούσθησαν ἐπὶ τούτῳ· ὡς τὸν ἅγιον Παῦλον τὸν ἀπὸ Κρατείας εἰπεῖν ἀδείλῳ τῇ παῤῥησίᾳ· “Εὐδοξία, φοβήθητι τὸν Θεόν, ἐλεήσασά σου τὰ τέκνα· μὴ ὕβριζε τὴν ἑορτὴν τοῦ Χριστοῦ τῇ τῶν ‘αἱμάτων ἐκχύσει.’” ὑποστρέψαντες δὲ οἱ τεσσαράκοντα ἐπίσκοποι ἠγρύπνησαν ἐν τοῖς καταγωγίοις αὐτῶν, οἱ μὲν μετὰ δακρύων, οἱ δὲ μετὰ λύπης, ἕτεροι δὲ ἀμάχῳ τῇ διανοίᾳ κατεσχέθησαν κάρῳ, ὡς ἕκαστον ἐκυβέρνα τὸ πάθος. οἱ μέντοι πρεσβύτεροι Ἰωάννου, οἱ τὸν θεῖον ἔχοντες φόβον, ἐν τῷ δημοσίῳ λουτρῷ τῷ ἐπικαλουμένῳ Κωνσταντιαναῖς τοὺς λαοὺς συναγαγόντες, εἴχοντο τῆς ἀγρυπνίας, οἱ μὲν τὰ θεῖα λόγια ἀναγινώσκοντες, οἱ δὲ βαπτίζοντες τοὺς κατηχηθέντας, ὡς εἰκὸς διὰ τὸ Πάσχα. ταῦτα αὐτὰ προσαναφέρουσιν οἱ γνωμοφθόροι καὶ φρεναπάται, οἱ περὶ Ἀντίοχον καὶ Σευηριανὸν καὶ Ἀκάκιον, τοῖς ἑαυτῶν προστάταις, ἀξιοῦντες ἐμποδισθῆναι τοὺς λαοὺς ἀπὸ τῆς ἐκεῖ συνάξεως. ἀντεῖπεν ὁ τότε μάγιστρος, φήσας· “Νύξ ἐστι καὶ ὄχλοι πολλοί· μή τι ἀτόπημα γένηται.” ἀνθυποφέρουσιν οἱ περὶ Ἀκάκιον· “Οὐδεὶς ἔμεινεν ἐν ταῖς ἐκκλησίαις. καὶ δεδοίκαμεν μήποτε εἰσελθὼν ὁ βασιλεὺς ἐν τῇ ἐκκλησίᾳ καὶ μὴ εὑρὼν μηδένα, αἴσθηται τῆς τοῦ λαοῦ εὐνοίας τῆς πρὸς Ἰωάννην καὶ καταγνῷ ἡμῶν ὡς βασκάνων, ἐπειδὴ μάλιστα εἴπομεν αὐτῷ, ὅτι οὐδείς ἐστιν ὅλως ὁ ἡδέως αὐτῷ προσέχων, ὡς ἀνθρώπῳ ἀσπόνδῳ.” οὕτως ὁ μάγιστρος διαμαρτυράμενος αὐτοῖς ἐπὶ τοῖς ἀποβησομένοις, δίδωσι Λούκιόν τινα, ὡς ἔλεγον, Ἕλληνα, ἀφηγούμενον τοῦ ἀριθμοῦ τῶν ὁπλοφόρων, ἐντειλάμενος ἐπιεικῶς ἀπελθόντα καλέσαι τὸν λαὸν ἐν τῇ ἐκκλησίᾳ. ἀπελθὼν δέ, καὶ μὴ ἀκουσθείς, ὑποστρέφει πρὸς τοὺς περὶ Ἀκάκιον, διηγησάμενος τὸν τόνον καὶ τὴν πυκνότητα τοῦ λαοῦ. μετὰ τοῦτο λιπαρῶς αὐτὸν παρακαλοῦσι χρυσέοις ῥήμασι δυσωποῦντες καὶ ὑποσχέσει μείζονος προκοπῆς, ἵνα ἐμποδίσῃ τῇ δόξῃ τῇ τοῦ Κυρίου, ἐντειλάμενοι αὐτῷ, ἢ λόγῳ πείσαντα ἀγαγεῖν ἐπὶ τὴν ἐκκλησίαν, ἢ ὀργῇ ταράξαντα παῦσαι τὴν ἑορτὴν τοῦ συναγαγεῖν. ὃς ἐξαυτῆς συμπαραλαβὼν κληρικοὺς τοῦ μέρους

Ἀκακίου ἐξῆλθεν δευτέρᾳ φυλακῇ τῆς νυκτὸς ἐφ᾽ ᾧ ἀπεστάλη (παρατείνουσι γὰρ τὸν λαὸν ἐν τοῖς μέρεσιν ἡμῶν ἕως ἀλέκτορος πρώτου), ἔχων Θρᾷκας ξιφήρεις, νεοστρατεύτους (κατὰ τὸν Ἠσαύ) τετρακοσίους, ἀναιδεῖς περισσῶς, ἐπεπήδησεν αἰφνίδιον κατὰ τὴν νύκτα σὺν τοῖς ὑποδεικνύουσι κληρικοῖς καὶ τοῖς στρατιώταις ἰταμῶς, ὡς ἅτε λύκος, σιδήρῳ στίλβοντι διασχίσας τοὺς ὄχλους. χωρήσας δ᾽ ἔνδον τῶν μακαρίων ὑδάτων ἐπὶ κωλύσει τῶν μυουμένων τὴν ἀνάστασιν τοῦ Σωτῆρος, καὶ τῷ μὲν διακόνῳ θρασέως ἐντιναχθείς, τὰ σύμβολα ἐκχέει· τοὺς δὲ πρεσβυτέρους, ἤδη που καὶ ἡλικιώτας, ῥοπάλοις κατὰ κρανίου παίσας, αἵματι κιρνᾷ τὴν κολυμβήθραν. τότε ἦν ἰδεῖν τὴν ἀγγελικὴν ἐκείνην νύκτα, ἐν ᾗ καὶ δαίμονες πίπτουσιν ἐπτηχότες, εἰς λαβύρινθον μεταβληθεῖσαν. γυμναὶ γὰρ γυναῖκες σὺν τοῖς ἀνδράσι δρασμῷ ἐχρῶντο, φόβῳ τοῦ σφαγῆναι ἢ ἀσχημονῆσαι, τὸν ἄσχημον ἀσπαζόμεναι δρόμον· ἕτερος τὴν χεῖρα πληγείς, ὀδυρόμενος ἀπῄει· ἄλλος παρθένον ἔσυρεν περισχίσας· πάντες δὲ λαφυραγωγήσαντες τὰ κειμήλια ἐσφετερίζοντο. οὕτως οἱ μὲν συλληφθέντες τῶν πρεσβυτέρων καὶ διακόνων εἰς τὴν εἱρκτὴν ἐνεβάλλοντο· οἱ δὲ ἀξιωματικοὶ τοῦ λαοῦ τῆς μεγαλοπόλεως ἐξεβάλλοντο. διατάγματα δὲ ἀλλεπάλληλα κατὰ τόπον προετίθεντο διαφόρους ἀπειλὰς περιέχοντα ἐπὶ ἀρνήσει τῆς κοινωνίας Ἰωάννου. πλὴν ὅμως καὶ ταῦτ᾽ ἐγίνετο, καὶ πλείονα ἔξωθεν οἱ λεγόμενοι ἐπίσκοποι προσεφιλοτιμοῦντο· καὶ ἡ σύναξις τῶν φιλοδιδασκάλων, μᾶλλον δὲ φιλοθέων, οὐ κατηργεῖτο, ἀλλὰ κατὰ τὸ εἰρημένον ἐν τῇ Ἐξόδῳ, "Ὅσον ἀπέκτεννον αὐτούς, τοσούτῳ πλείους ἐγίνοντο." τῇ ἐπαύριον γοῦν ἐξελθὼν ὁ βασιλεὺς τοῦ γυμνασθῆναι ἐν τῷ παρακειμένῳ πεδίῳ εἶδεν τὴν ἄσπορον γῆν τὴν περὶ τὸ Πέμπτον λευχειμονοῦσαν, καὶ ἐκπλαγεὶς ἐπὶ τῇ θέᾳ τοῦ ἄνθους τῶν νεοφωτίστων (ἦσαν γὰρ ἀμφὶ τοὺς τρισχιλίους), ἤρετο παρὰ τῶν δορυφόρων· "Τίς ἡ λογὰς τῶν ἐκεῖ συνηθροισμένων;" διαψευσάμενοι λέγουσι· "Τῶν ἑτεροδόξων," ἵνα παραγάγωσι τὸν θυμὸν τοῦ βασιλέως. γνόντες δ᾽ ἐξαυτῆς οἱ τοῦ πράγματος μεσῖται καὶ προστάται τοῦ φθόνου πέμπουσιν εἰς τοὐπίσω τοὺς ἀφειδεστέρους τῶν ἑπομένων ἐπὶ σκορπισμῷ μὲν τῶν ἀκροατῶν, συλλήψει δὲ τῶν διδασκάλων. οἱ δ᾽ ἐλθόντες κατέχουσι πάλιν ὀλίγους μὲν τῶν κληρικῶν, πλείους δὲ τῶν λαϊκῶν.

Καὶ ὁ Θεόδωρος ἔφη·

Ο ΔΙΑΚΟΝΟΣ. Ὦ μακαριώτατε πάτερ, καὶ τοσούτων ὄντων αὐτῶν, ὡς τρισχιλίους μόνον εἶναι τοὺς νεοφωτίστους, πῶς αὐτῶν οἱ βραχεῖς ἐκυρίευσαν στρατιῶται τὸν σύλλογον διαλύσαντες;

Ο ΕΠΙΣΚΟΠΟΣ. Τοῦτο οὐκ ὀλιγότητος δεῖγμα, οὐδὲ τεκμήριον ἀζηλίας, ἀλλὰ πλεονέκτημα εὐλαβείας καὶ διδασκάλων ἐπιμελείας ἀπόδειξις, ἀδιαλείπτως τὸ ἄμαχον τῆς γνώμης ἐπανορθούντων.

Ὁ Θεόδωρος εἶπεν·

Ο ΔΙΑΚΟΝΟΣ. Ἄριστα ἔφης· οὔτε γὰρ ἔπρεπεν τοὺς φρόνησιν ἐκμανθάνοντας καὶ ἐπιείκειαν παρὰ τοῦ ἱεροῦ Ἰωάννου ἀφρόνως καὶ τεταραγμένως αὐτοῦ ἀντιποιεῖσθαι.

-Κεφάλαιον Ι΄.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἡσθεὶς οὖν ἐπὶ τούτῳ, παρακαλῶ, μὴ ἀνάκοπτε τοὺς λόγους τοὺς ὑπὸ κακῶν πραγμάτων τεχθέντας (ἔοικε γὰρ τίκτειν ὡς ἐπὶ τὸ πλεῖστον τοὺς λόγους τὰ πράγματα). σὺν τοῖς κατασχεθεῖσιν οὖν κληρικοῖς τε καὶ λαϊκοῖς συνελήφθησαν καὶ γυναῖκες ἀνδρῶν ἐπισήμων. ἔστι δὲ ὧν καὶ τὰ μαφόρια ἥρπασαν, ἑτέρων δὲ τὰ ἐνώτια σὺν τῷ λοβῷ τοῦ ὠτὸς συναπέσπασαν· ὡς ἰδοῦσάν τινος Ἐλευθέρου γυναῖκα εὐδαιμονεστάτην σφόδρα, καταλείψασαν τὸ ἑαυτῆς μαφόριον, μεταμφιασαμένην τὸ σχῆμα τὸ τῶν δουλίδων, δρομαίαν εἰσβαλεῖν εἰς τὴν πόλιν ἐπὶ σωτηρίᾳ τῆς σωφροσύνης (ἦν γάρ, ὡς εἰκός, εὐανθῆ μορφὴν καὶ εὐφυῆ πλάσιν ἠμφιεσμένη). τούτῳ οὖν τῷ τρόπῳ πληρωθεῖσαι αἱ φυλακαὶ τῶν διαφόρων ἀρχόντων μετεποιοῦντο εἰς ἐκκλησίας· καὶ ὕμνοι μὲν καὶ ἀναφοραὶ μυστηρίων ἐν ταῖς φυλακαῖς ἐπετελοῦντο, μάστιγες δὲ καὶ στρεβλώσεις καὶ ὅρκοι φρικτοὶ ἐν ταῖς ἐκκλησίαις ἡμιλλῶντο ἐπὶ ἀναθεματισμῷ Ἰωάννου τοῦ μέχρι θανάτου ἐχθρεύσαντος τῇ κακίᾳ τοῦ διαβόλου. τῆς Πεντηκοστῆς δὲ συμπληρωθείσης, μετὰ πέντε ἡμέρας εἰσελθόντες οἱ περὶ Ἀκάκιον καὶ Σευηριανὸν καὶ Ἀντίοχον καὶ Κυρῖνον πρὸς τὸν βασιλέα λέγουσιν αὐτῷ· “Βασιλεῦ, σὺ ἡμῖν παρὰ Θεοῦ οὐκ ἐξουσιαζόμενος, ἀλλ᾽ ἐξουσιάζων τῶν πάντων, ἔξεστί σοι ὃ θέλεις ποιῆσαι. μὴ γίνου πρεσβυτέρων πραότερος καὶ ἐπισκόπων ὁσιώτερος· εἴπομέν σοι ἐπὶ πάντων· ‘Ἐπὶ τὴν κεφαλὴν ἡμῶν ἡ Ἰωάννου καθαίρεσις.’ μὴ τοίνυν φείσῃ ἑνὸς ἀνθρώπου, ἀφειδήσας πάντων ἡμῶν·” Ἰουδαϊκοῖς ῥήμασι, τάχα δὲ καὶ πράγμασι,

παραπείσαντες τὸν βασιλέα. οὕτως ἀποστείλας ὁ βασιλεὺς Πατρίκιον τὸν νοτάριον δηλοῖ τῷ Ἰωάννῃ τάδε· “Οἱ περὶ Ἀκάκιον καὶ Ἀντίοχον καὶ Σευηριανὸν καὶ Κυρῖνον τὸ κατὰ σὲ κρῖμα ἐπὶ τὴν ἑαυτῶν ἔθηκαν κεφαλήν. τὸ κατὰ σαὐτὸν οὖν ἀναθεὶς τῷ Θεῷ, ἔξελθε τῆς ἐκκλησίας.” οὕτως κατελθὼν ὁ ἐπίσκοπος Ἰωάννης, μετὰ τὴν τρανὴν φάσιν καὶ ἀνεπισκίαστον, τοῦ ἐπισκοπείου σὺν τοῖς ἐπισκόποις, λέγει πᾶσι· “Δεῦτε, προσευξάμενοι συνταξώμεθα τῷ ἀγγέλῳ τῆς ἐκκλησίας”· γεγηθὼς μὲν ἐπὶ τῷ πράγματι, λυπούμενος δὲ ἐπὶ τῇ τοῦ λαοῦ κακουχίᾳ. ἐξαυτῆς δέ τις σημαίνει τῶν φιλοθέων δυναστῶν τῷ Ἰωάννῃ· “Ἐπειδὴ Λούκιος, ἰταμὸς ἀνὴρ καὶ ἀναιδὴς προσώπῳ, ἕτοιμός ἐστιν ἐν τῷ δημοσίῳ λουτρῷ σὺν τοῖς ὑπ᾽ αὐτὸν στρατιώταις, ὅπως, εἰ ἀντείποις ἢ ἀναβάλλῃ, καὶ ἄκοντά σε σῦραι καὶ ἐξῶσαι· περικλονοῦνται δὲ οἱ δῆμοι τῆς πόλεως· σπούδασον ἐξελθεῖν λεληθότως, ἵνα μή σου ἀντιποιούμενος ὁ λαὸς πόλεμον συνάψῃ μετὰ τῶν στρατιωτῶν.” τότε ὁ Ἰωάννης καταφιλήσας τινὰς τῶν ἐπισκόπων μετὰ δακρύων (τοὺς γὰρ λοιποὺς οὐδὲ καταφιλεῖν συνεχώρει τὸ πάθος) συνετάξατο, εἰπὼν τοῖς λοιποῖς ἔνδον ἐν τῷ ἱερατείῳ· “Μείνατε τέως ὧδε, ἵνα ἀπελθὼν μικρὸν ἀνεθῶ.” εἰσελθὼν δὲ ἐν τῷ βαπτιστηρίῳ καλεῖ τὴν Ὀλυμπιάδα, ἀναπάλλακτον οὖσαν τῆς ἐκκλησίας, σὺν Πενταδίᾳ καὶ Πρόκλῃ, ταῖς διακόνοις, καὶ Σιλβίνῃ, τῇ τοῦ μακαρίου Νεβριδίου γυναικί, εὐσχήμως κοσμούσῃ τὴν ἑαυτῆς χηρείαν, καὶ λέγει αὐταῖς· “Δεῦτε ὧδε, θυγατέρες, ἀκούσατέ μου. ‘τὰ κατ᾽ ἐμὲ τέλος ἔχει,’ ὡς ὁρῶ. ‘τὸν δρόμον μου τετέλεκα,’ καὶ ἴσως ‘οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου.’ τοῦτο δέ ἐστιν ὃ παρακαλῶ· μή τις ὑμῶν ἀνακοπῇ τῆς συνήθους εὐνοίας τῆς περὶ τὴν ἐκκλησίαν. καὶ ὃς ἂν ἄκων ἀχθῇ ἐπὶ τὴν χειροτονίαν, μὴ ἀμβιτεύσας τὸ πρᾶγμα, κατὰ συναίνεσιν τῶν πάντων, κλίνατε τὴν κεφαλὴν ὑμῶν ὡς Ἰωάννῃ (οὐ δύναται γὰρ ἡ ἐκκλησία ἄνευ ἐπισκόπου εἶναι). καὶ οὕτως ἐλεηθῆτε. μέμνησθέ μου ἐν ταῖς προσευχαῖς ὑμῶν.” συγχυθεῖσαι δὲ δάκρυσιν ἐκυλινδοῦντο περὶ τοὺς πόδας αὐτοῦ. τότε νεύσας τινὶ τῶν σεμνῶν πρεσβυτέρων λέγει· “Λάβε ταύτας ἐντεῦθεν, ἵνα μὴ τοὺς ὄχλους ταράξωσιν.” οὕτως οὖν μικρὸν ἐμποδισθεῖσαι ἔδοξαν αὐτῷ συγχωρεῖν. καὶ οὕτως ἐξῆλθεν ἐπὶ τὸ μέρος τὸ ἀνατολικόν (οὐδὲν γὰρ παρ᾽ αὐτῷ δυτικόν), τῷ δὲ δυτικῷ μέρει, ἔνθα ὁ τῆς ἐκκλησίας πυλών, τὸ ὀνοζύγιον, ἐν ᾧ εἰώθει καθέζεσθαι, πρὸ τῆς πύλης κελεύσας στῆναι εἰς περισπασμὸν τῶν λαῶν ἐκεῖθεν αὐτὸν προσδοκώντων, συνεξελθόντος αὐτῷ καὶ τοῦ ἀγγέλου, μὴ φέροντος τὴν ἐρημίαν τῆς

ἐκκλησίας, ἣν ἀρχαὶ πονηραὶ καὶ ἐξουσίαι εἰργάσαντο, καθάπερ θεατρονόμιον ἀποδείξασαι. "ὡς μὲν γὰρ ἐν θεάτρῳ κλωσμὸς ἦν, συριττόντων τῶν ἀσεβῶν, καταμωκωμένων, ἄμετρα διασυρόντων Ἰουδαίων τε καὶ Ἑλλήνων· ὡς δ᾽ ἐν εἱρκτῇ πληγαὶ καὶ κατὰ σπλάγχνων φερόμεναι βάσανοι ὑπὸ τῶν στρατιωτῶν· κατατάσεις δὲ τῆς ὅλης δυνάμεως τῆς ψυχῆς διά τε τὴν τοῦ διδασκάλου ἀφαίρεσιν καὶ διὰ τὴν εἰς τὸ θεῖον βλασφημίαν"· ἔνθα γὰρ "ἁμαρτημάτων ἄφεσις," ἐκεῖ "αἱμάτων ἔκχυσις" ἐγίνετο. μετὰ δὲ τὸν ἄφατον καὶ δυσερμήνευτον ἐκεῖνον σκότον, φλὸξ ἀπὸ μέσου τοῦ θρόνου, ἐν ᾧ εἰώθει ὁ Ἰωάννης καθέζεσθαι, καθάπερ ἐν μέσῳ σώματι κειμένη καρδία τοῖς λοιποῖς ἐξηγεῖσθαι μέλεσι τὰ τοῦ Κυρίου λόγια, φανεῖσα ἐπεζήτει τὸν ὑποφήτην τοῦ λόγου· ὃν οὐχ εὑροῦσα κατεβόσκετο τὴν σκευωρίαν. δενδρωθεῖσα δὲ εἰς ὕφος εἷρψεν διὰ τῶν ἁλύσεων ἐπὶ τὴν στέγην· ἔχεως δὲ δίκην τὴν γαστέρα φαγοῦσα, ἐπὶ νῶτον ἐφέρετο τῶν δωμάτων τῆς ἐκκλησίας, "μισθὸν τῆς ἀδικίας" ὥσπερ τὴν ἐπὶ ταύτῃ ὡρισμένην δίκην ἀποδιδόντος Θεοῦ εἰς σωφρονισμὸν καὶ νουθεσίαν τῶν οὐκ εἰδότων γε νουθετεῖσθαι ἢ διὰ τῆς ὄψεως τῶν τοιούτων θεηλάτων κακῶν· οὐ μόνον δέ, ἀλλὰ καὶ μνημεῖον ὑπολείψας τῆς ἀγρίας συνόδου. καὶ οὐ θαυμαστὸν περὶ τῆς ἐκκλησίας, ὅπου γε καὶ τὴν καλουμένην παρὰ τοῖς ἔξω σύγκλητον, ἀπὸ πολλῶν βημάτων κειμένην ἀντικρὺ τῆς ἐκκλησίας ἐκ μεσημβρίας, φρονίμως τὸ πῦρ, καθάπερ γέφυραν τὸν ἀγοραῖον δῆμον τὸν διὰ μέσου διαπερᾶσαν, ἐλυμήνατο, οὐ πρότερον τὸ μέρος τὸ πλησιάζον τῇ ἐκκλησίᾳ, ἵνα μὴ τὸ πάθος τῇ ἐγγύτητι ἐπιγράψωμεν, ἀλλὰ τὸ μέρος τὸ ἐπὶ τὴν αὐλὴν τῶν βασιλέων, ἵνα τὸ θαῦμα τοῦ πράγματος θεήλατον παραστήσῃ τὸ σόφισμα (ἦν γὰρ ἰδεῖν μεταξὺ δύο ὀρέων πυρίνων τοὺς δήμους ἀβλαβῶς ἐπὶ τὰς οἰκείας χρείας διαπερῶντας). οὕτω δὲ περιπετόμενον τὸ πῦρ καὶ κυμαῖνον, καθάπερ θάλασσα βιαίῳ νότῳ ῥιπιζομένη, ὥσπερ ὑπὸ συνθήματι βαδίζον, ἀφειδῶς ἁπτόμενον τῶν κύκλῳ δωμάτων, μόνου ἐφρόντιζε τοῦ οἰκίσκου, ἐν ᾧ τῶν ἱερῶν σκευῶν ἀπέκειτο τὸ πλῆθος, οὐ τὸν χρυσὸν αἰδούμενον ἢ τὴν λοιπὴν τοῦ ἀργύρου ὕλην, ἀλλ᾽ ἵνα μὴ τοῖς συκοφάνταις χώραν τοῦ ψεύδους παράσχῃ κατὰ τοῦ δικαίου, ὡς αὐτοῦ σφετερισαμένου τι τῶν καλλίστων. οὕτω δὲ διακινοῦν τὸ πῦρ ἀνεχαίτιζεν εἰς τοὐπίσω, τὸν φθόνον ἐξιχνιάζον τῶν ταῦτα πραξάντων, εἰς ἔλεγχον τῆς Θεοφίλου μανίας, ὅπου κατασκευάζει διὰ τὰ κειμήλια αὐτὸν ἐκβεβληκέναι. καὶ ἀποβολὴ μὲν ψυχῆς ἐν τοσούτοις ὄχλοις ὑπὸ πυρὸς οὐδεμία

γεγένηται, οὐ λογικοῦ, οὐκ ἀλόγου· ὁ δὲ ῥύπος τῶν ἐναγῶς ἐκεῖσε ἀναστρεφομένων τῇ τοῦ πυρὸς ἀπεπλύνετο δυνάμει, ἀπὸ ἕκτης ὥρας μέχρις ἐνάτης ἐν τρισὶν ὥραις ἡμεριναῖς πολυχρονίου ἔργου ἀφανισθέντος.

-Κεφάλαιον ΙΑ΄.

Ο ΔΙΑΚΟΝΟΣ. Εἶτα, πάτερ, τούτων οὕτως ἀνυομένων, ποῦ διέτριβεν ὁ μακάριος Ἰωάννης ἢ οἱ λοιποὶ τῶν ἐπισκόπων;

Ο ΕΠΙΣΚΟΠΟΣ. Οἱ μὲν λοιποὶ τῶν ἐπισκόπων, οἱ μὲν συνεκλείοντο, οἱ δὲ καὶ ἐσύροντο, ἄλλοι δὲ καὶ ἐκρύβησαν· Ἰωάννης δὲ σὺν Κυριακῷ καὶ Εὐλυσίῳ παρὰ στρατιωτῶν τοῦ ἐπάρχου δέσμιοι εἰς Βιθυνίαν κατείχοντο κόλασιν ἀπειλούμενοι ἐπὶ τῇ ἐμπρήσει τῆς ἐκκλησίας. ὕστερον δὲ ὁ μὲν Κυριακὸς καὶ Εὐλύσιος δέσμιοι ἀχθέντες ἅμα λοιποῖς κληρικοῖς, ἀθῷοι ἀποφανθέντες ἀπελύθησαν· ὁ δὲ ἅγιος Ἰωάννης πρὸς ταῖς λοιπαῖς παῤῥησίαις καὶ ταύτην τελευτείαν αὐτοῖς ἀπέστειλεν, εἰπών· "Εἰ καὶ ἐν τοῖς ἄλλοις οὐ δεδώκατέ μοι χώραν ἀπολογίας, κἂν γοῦν εἰς τὰ κατὰ τὴν ἐκκλησίαν ἀκουσθῶ, εἴ γε αἴτιος, ὥς φατε, γέγονα τῆς καύσεως." οὕτως μηδ᾽ ἐν τούτῳ ἀκουσθεὶς πέμπεται διὰ στρατιωτῶν εἰς ἐρημοτάτην πολίχνην τῆς Ἀρμενίας, νύκτωρ καὶ μεθ᾽ ἡμέραν πολιορκουμένην ὑπὸ τῶν Ἰσαύρων, ἐπὶ τὸ σφαγῆναι· Κουκουσὸς δέ ἐστιν αὕτη. Ἀρσάκιος δὲ ὁ ἀδελφὸς τοῦ μακαρίου Νεκταρίου ἀντεισήγετο τῷ τόπῳ τοῦ Ἰωάννου, ἀνδρὸς ἱεροφάντου, ἄνθρωπος ἰχθύος ἀφωνότερος καὶ βατράχου ἀπραγότερος (ἔστι γὰρ ὅτε καὶ πρᾶξις λαλεῖ, μάλιστα ὅταν δι᾽ αὐτὸ γένηται τὸ καλόν). διακρατήσας δὲ τὸ ζῆν ἑαυτοῦ δέκα τέσσαρας μῆνας ἀποθνήσκει, εἰς τὰ Εὐαγγέλια παρορκήσας· ὅπου ὤμοσε τῷ ἀδελφῷ Νεκταρίῳ μηδέποτε καταδέξασθαι ἐπισκοπῆς χειροτονίαν, ἡνίκα ὠνείδισεν αὐτῷ μὴ βουληθέντι γενέσθαι ἐν Ταρσῷ, ὡς τὸν αὐτοῦ καιροσκοποῦντι θάνατον. γεγένηται δ᾽ αὐτῷ τῆς ἐπιορκίας αἰτία τὸ μὲν πρὶν ἡ κενοδοξία, δι᾽ ἣν ἐμνηστεύετο -ὡς ἂν εἴποι τις- τὴν γυναῖκα, μετέπειτα δὲ ἡ αἰσχύνη· προφητικῶς τῶν ἐλέγχων αὐτῷ παρὰ τοῦ ἀδελφοῦ ἐπαχθέντων. τούτῳ τῷ Ἀρσακίῳ Ἀττικὸς ἀντεισάγεται ἐκ τῶν πρεσβυτέρων, πάσης μηχανῆς τεχνίτης κατὰ τοῦ Ἰωάννου. ὃς θεασάμενος μηδένα τῶν ἀνατολικῶν αὐτῷ ἐπισκόπων κοινωνοῦντα, μήτε μὴν τοῦ τῆς πόλεως λαοῦ, διὰ τὰ

οὕτως ἀνόμως παρακολουθήσαντα καὶ ἀθέσμως, παρασκευάζει, ἄπειρος ὢν τῶν θείων Γραφῶν, ταῖς ἀντιγραφαῖς καταναγκάζεσθαι τοὺς μὴ κοινωνοῦντας. εἶχεν δὲ ἡ μὲν κατὰ τῶν ἐπισκόπων ἀντιγραφὴ τὴν ἀπειλὴν ταύτην· "Εἴ τις οὐ κοινωνεῖ τῶν ἐπισκόπων Θεοφίλῳ καὶ Πορφυρίῳ καὶ Ἀττικῷ, τῆς μὲν ἐκκλησίας ἐκβαλέσθω, τῆς δὲ ἰδίας τῶν πραγμάτων οὐσίας ῥιπτέσθω." ἐντεῦθεν οἱ μὲν καταβαρυνόμενοι τῷ τῶν πραγμάτων φορτίῳ καὶ ἄκοντες κοινωνοῦσιν, οἱ δὲ πενέστεροι καὶ εἰς πίστιν ὑγιῆ ἀσθενέστεροι ὑποσχέσεσι δώρων τινῶν συνεσύροντο εἰς κοινωνίαν, οἱ δὲ γένους καὶ πραγμάτων καὶ πατρίδος καὶ δόξης φθαρτῆς καὶ θλίψεως σωματικῆς ὑπεριδόντες φυγῇ τὴν τῆς ψυχῆς εὐγένειαν διεφύλαττον, τὸ εὐαγγελικὸν διὰ μνήμης ἔχοντες λόγιον, "Ἐὰν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην," καὶ τὸ τῆς παροιμίας ἑαυτοῖς ἐπιλέγοντες, "Οὐκ ὠφελήσουσιν ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ." ἔφθανον δὲ οἱ μὲν ἐν τῇ Ῥώμῃ, οἱ δὲ ἐν τοῖς ὄρεσιν, ἕτεροι δὲ ἐν τοῖς τῶν ἀσκητῶν φροντιστηρίοις διεσώζοντο ἐκ τῆς Ἰουδαϊκῆς πονηρίας. ἡ δὲ κατὰ τῶν λαϊκῶν ἀντιγραφὴ περιεῖχεν· "Τοὺς μὲν ἐν ἀξιώμασιν ἐκπίπτειν τῆς κατὰ τὰς ἀρχὰς ἀξίας, τοὺς δὲ στρατιώτας τὰς ζώνας ἀπόλλειν, τοὺς δὲ λοιποὺς δήμους καὶ χειροτέχνας, χρυσίῳ πολυολκεῖ προστιμηθέντας, ὑποβάλλεσθαι ἐξορίᾳ." πλὴν ὅμως καὶ ταῦτα ἐπράττετο, καὶ αἱ προσευχαὶ τῶν σπουδαίων ἐν τῷ ὑπαίθρῳ ἐπετελοῦντο μετὰ πολλῆς τῆς κακοπαθείας, φιλίᾳ τῇ πρὸς τὸν Σωτῆρα τὸν εἰρηκότα· "Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια," καὶ πάλιν, "Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον." καὶ ὁ μὲν μακάριος Ἰωάννης οἰκήσας τὴν Κουκουσὸν ἔτος ἕν, πλείστους διαθρέψας πένητας τῆς Ἀρμενίας οὐ τοσοῦτον σίτῳ, ὅσον λόγῳ (ἔφθασε γὰρ κατ᾽ ἐκεῖνο καιροῦ μέγας λιμὸς τὴν χώραν ἐκείνην). βασκήναντες δὲ αὐτῷ καὶ ἐπὶ τούτῳ οἱ ἀδελφοκτόνοι μεταφέρουσιν εἰς Ἀραβισσόν, διαφόροις ὑποβάλλοντες κακουχίαις, ἵνα τὸ ζῆν ἀπολίπῃ. κἀκεῖ πάλιν οὐ μικρῶς διαλάμψας ταῖς ἀρεταῖς ("οὐ δύναται γὰρ πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη," οὐδὲ λύχνος φαιδρῶς καιόμενος ξυλίνῳ σκεπασθῆναι μοδίῳ), ἐξήγειρεν γὰρ καθάπερ ἐξ ὕπνου τῆς ἀγνοίας πρὸς τὴν τοῦ λόγου ἀκτῖνα ἐκ πάσης περιχώρου τοὺς ἄγαν κεκαρωμένους τῇ ἀπιστίᾳ. σφοδρότερον δὲ τῇ φλογὶ τῆς βασκανίας κατακαιόμενοι οἱ περὶ Σευηριανὸν καὶ Πορφύριον καὶ ἕτεροί τινες τῆς Συρίας ἐπίσκοποι παρασκευάζουσιν αὐτὸν κἀκεῖθεν μετενεχθῆναι· βαρὺς γὰρ αὐτοῖς ἦν οὐ μόνον ἐν ταῖς νομιζομέναις εὐημερίαις, ἀλλὰ

πολλῷ πλέον ἐν ταῖς δυσημερίαις, ἀφυῶς διακειμένοις περὶ τὴν φύσιν τῶν πειρασμῶν, οὐ μεμνημένοις τοῦ πρὸς τὸν ἀπόστολον θείου χρησμοῦ ἐν ταῖς θλίψεσι γενομένου, τό· "Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται." θεασάμενοι γὰρ μεταναστᾶσαν τὴν Ἀντιοχέων ἐπὶ τὴν Ἀρμενίων κἀκεῖθεν πάλιν ἐπὶ τὴν Ἀντιοχέων τὴν Ἰωάννου εὐχάριστον φιλοσοφίαν ᾀδομένην, ηὔχοντο καὶ τὸ ζῆν ἀποῤῥῆξαι, καθάπερ ὑπὸ μαστίγων τῶν διηγημάτων βασανιζόμενοι (τοιοῦτον γὰρ ὁ μισόκαλος φθόνος), ὡς τοὺς ὁρῶντας τῶν ἑπομένων αὐτοῖς κληρικῶν θαυμάζοντας λέγειν· "Ἴδετε νεκρὸν φοβερὸν τοὺς ζῶντας καὶ κρατοῦντας διαπτοοῦντα, καθάπερ τοὺς παῖδας τὰ μορμολυκεῖα; βαβαί! οἱ τὰς κοσμικὰς δυναστείας καὶ τὸν ἐκκλησιαστικὸν ἐνημμένοι πλοῦτον μετ᾽ ἐξουσίας, μετὰ καὶ τῆς τῶν πραγμάτων ἀρχῆς, τὸν ἱερέα, τὸν μόνον, τὸν ἄπολιν, τὸν ἀσθενῆ τῇ σαρκί, τὸν ἐξόριστον δεδιότες, ὠχριῶσι σφαδάζοντες." μηκέτι οὖν καρτερήσαντες τῇ σκηνῇ κρύπτειν τὸν ὄφιν, ἀποστείλαντες εἰς τὸ στρατόπεδον ἐκπορίζουσι πάλιν ἀντιγραφὴν σφοδροτέραν μετὰ προστίμου· ἐντὸς στενῆς προθεσμίας μετενεχθῆναι αὐτὸν εἰς Πιτυοῦντα, τόπον πανέρημον τῶν Τζάνων, ἐπικείμενον τῇ ὄχθῃ τῆς Ποντικῆς θαλάσσης. οἱ δὲ διάγοντες αὐτὸν στρατιῶται τοῦ ἐπάρχου τῶν πραιτωρίων ἐπὶ τοσοῦτον κατήπειγον διὰ τῆς ὁδοῦ, λέγοντες τοιαύτας ἔχειν τὰς ἐντολάς, ὡς, εἰ ἀποθάνοι κατὰ τὴν ὁδόν, μειζόνων ἀξιωθήσονται τῶν βαθμῶν. καὶ ὁ μὲν εἷς ἐξ αὐτῶν, ἔλαττον φροντίσας τῆς παρούσης στρατείας, φιλανθρωπίαν τινὰ ποσῶς διακλέπτων ἐνεδείκνυτο· ὁ δ᾽ ἕτερος ἐπὶ τοσοῦτον ἦν ἀπηνὴς καὶ δύσκολος, ὡς τὰς εἰς αὐτὸν γινομένας κολακείας παρὰ τῶν προστυγχανόντων ἐπὶ φειδοῖ τοῦ ἁγίου ὕβρεις νομίζειν, τούτου μόνον φροντίζων τὸν Ἰωάννην δυσθανατῆσαι. ὑετοῦ μὲν γὰρ λάβρου ὄντος, ἀφροντίστως ἐξῄει, ὡς διὰ νώτου καὶ στέρνων φέρεσθαι τὰς τῶν ὑδάτων λιβάδας. σφοδρὸν δὲ πάλιν καῦμα ἡλίου ἀντὶ τρυφῆς ἡγεῖτο, εἰδὼς ἐν τούτῳ δυσφορεῖν τὸ Ἐλισσαϊκὸν κρανίον τοῦ μακαρίου. εἰς πόλιν δὲ ἢ κώμην, ἔνθα λουτροῦ παραμυθία ἦν, οὐδὲ στιγμὴν ὁ δύστηνος συνεχώρει ποιεῖν. καὶ ἐν τούτοις πᾶσιν ἐπὶ τρίμηνον τὴν ἀργαλεωτάτην ἐκείνην βαδίζων ὁδόν, ἔμενεν ὁ ἅγιος ὡς ἀστὴρ διαστίλβων, ἔχων τὸ σωμάτιον καθάπερ μῆλον ἐπ᾽ ἄκρων κλάδων ἡλιοφοινισσόμενον. πλησιάσαντες δὲ τῇ Κομάνῃ, καθάπερ γέφυραν, αὐτὴν παρῆλθον, ἔξω τοῦ τείχους ἐν τῷ μαρτυρίῳ μείναντες ἀπὸ πέντε ἢ ἓξ σημείων. κατ᾽ αὐτὴν δὲ τὴν νύκτα παρέστη

αὐτῷ ὁ τοῦ τόπου ἐκείνου μάρτυς, Βασιλίσκος ὄνομα αὐτῷ, ὃς μαρτυρεῖ, ἐπίσκοπος ὢν Κομανῶν, ἐν Νικομηδείᾳ ἐπὶ Μαξιμιανοῦ, ἅμα Λουκιανῷ τῷ ἐν Βιθυνίᾳ πρεσβυτέρῳ ὄντι Ἀντιοχείας, φήσας· "Θάρσει, ἀδελφὲ Ἰωάννη· αὔριον γὰρ ἅμα ἐσόμεθα." φασὶ δέ, προειρήκει καὶ τῷ παραμένοντι πρεσβυτέρῳ· "Ἑτοίμασον τόπον τῷ ἀδελφῷ Ἰωάννῃ· ἔρχεται γάρ." ἔχων δὲ πιστῶς τὸν χρησμὸν ὁ Ἰωάννης ἐπὶ τὴν αὔριον παρεκάλει αὐτοὺς ἕως πέμπτης ὥρας ἐκεῖ παραμεῖναι. οἱ δὲ μὴ πεισθέντες ἐξήλαυνον· ἐλθόντες δὲ ὡς σταδίους τριάκοντα πάλιν ὑποστρέφουσιν εἰς τὸν τόπον τοῦ μαρτυρίου, ἀφ᾽ οὗ ἀπῆραν, ἔχοντος αὐτοῦ ὀξέως. οὕτως οὖν ἐλθὼν ἐπιζητεῖ τὰ ἄξια τοῦ βίου λαμπρὰ ἱμάτια, καὶ ἀποδυσάμενος τὰ πρότερα ἐνεδύσατο νήφων, ἀλλάξας ἕως ὑποδημάτων· τὰ λοιπὰ δὲ διένειμεν τοῖς παροῦσιν. καὶ κοινωνήσας τῶν Δεσποτικῶν συμβόλων ποιεῖ τὴν τελευταίαν ἐπὶ τῶν παρόντων προσευχήν, εἰπὼν τὸ ἐξ ἔθους ῥῆμα· "Δόξα τῷ Θεῷ πάντων ἕνεκεν," ἐπισφραγισάμενός τε τὸ ὕστερον ἀμήν, "ἐξῆρεν τοὺς πόδας," τοὺς ὡραίως δραμόντας ἐπὶ σωτηρίᾳ τῶν τὴν μετάνοιαν ἑλαμένων καὶ ἐλέγχῳ τῶν τὴν ἁμαρτίαν πλουσίως γεωργησάντων (εἰ δὲ οὐδὲν ὤνησαν οἱ ἔλεγχοι τοὺς φαύλους, τοῦτο οὐκ ἀτονία τοῦ παῤῥησιασαμένου, ἀλλ᾽ ἰταμότης τῶν μὴ ἀνασχομένων), "προστεθεὶς πρὸς τοὺς πατέρας αὐτοῦ," τὴν κόνιν ἀπομαξάμενος, καὶ πρὸς Χριστὸν διαπεράσας, ὡς γέγραπται· "Ἥξεις δὲ εἰς τὸν τάφον σου ὥσπερ σῖτος ὥριμος κατὰ καιρὸν θεριζόμενος· παρανόμων δὲ ψυχαὶ ἄωροι ἀποθανοῦνται." τοσοῦτος δὲ ἑσμὸς παρθένων καὶ ἀσκητῶν καὶ τῶν ἐπὶ σεμνότητι μαρτυρουμένων παρῆν ἀπό τε Συρίας καὶ Κιλικίας καὶ Πόντου καὶ Ἀρμενίας, ὡς τοὺς πολλοὺς νομίσαι ἀπὸ συνθήματος αὐτοὺς παραγενέσθαι. ἐνταφιασθεὶς δὲ καὶ ἑορτασθείς, καθάπερ ἀθλητὴς νικηφόρος τὸ σωμάτιον, θάπτεται μετὰ τοῦ Βασιλίσκου ἐν τῷ αὐτῷ μαρτυρίῳ.

-Κεφάλαιον ΙΒ΄.

Πρὸς τούτοις ὁ Θεόδωρος ἐπιθαυμάσας ἤρετο, λέγων τὸ γραφικόν·

Ο ΔΙΑΚΟΝΟΣ. Ἐπειδὴ γέγραπται, "Μὴ ἀστοχήσῃς διηγήματος γερόντων, καὶ γὰρ καὶ αὐτοὶ παρὰ τῶν πατέρων ἔμαθον," ἀόκνως φράσον ἡμῖν τίς ἡ αἰτία τοῦ μόνον αὐτὸν ἐσθίειν, καὶ εἰ ἀληθῶς μόνος, ὡς λέγουσιν, ἤσθιεν.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ὡμολόγηται μέν, ὅτι μόνος ἤσθιεν· οὐκ ἐβουλόμην δέ σε, Θεόδωρε ἐμμελέστατε, τὰ τῶν γαστριμάργων νηπίων διερωτᾶν. ἀνὴρ γὰρ ὑπάρχων, τὰς ἀνδρῶν ἀρετὰς ἐπιζητεῖν ὀφείλεις, πῶς εἶχεν περὶ ἀφοβίας, περὶ χρημάτων, περὶ σωφροσύνης, πραΰτητός τε καὶ δικαιοσύνης, ἐλεημοσύνης, φρονήσεώς τε καὶ ἀνδρείας καὶ λήθης ἢ μνήμης. "βρῶμα γὰρ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ, οὔτε ἐὰν φάγωμεν οὔτε ἐὰν μὴ φάγωμεν," ἀλλὰ γνῶσις μετὰ πράξεως ἐνεργουμένη. αὐτὸς δὲ ἤσθιεν μόνος, ὡς ἐκ μέρους γινώσκω, διὰ ταύτας τὰς αἰτίας· πρῶτον μέν, οἶνον οὐκ ἔπινεν διὰ τὴν τῆς κεφαλῆς θέρμην, εἰ μή που ἐν τοῖς καύμασι τὸ διὰ ῥόδων ἐχρῆτο· δεύτερον δέ, ὅτι τάξιν ὁ στόμαχος αὐτοῦ οὐκ εἶχεν ἀπό τινος ἀσθενείας, ὡς πολλάκις τὰ εὐτρεπισθέντα ἀηδῆ φανῆναι καὶ ἐπιζητεῖν τὰ μὴ παρόντα. εἶτα ἦν ὅτε καὶ λήθην ἐλάμβανε τῶν βρωμάτων, παρατείνων ἕως ἑσπέρας, τοῦτο μὲν ταῖς ἐκκλησιαστικαῖς διασπώμενος φροντίσι, τοῦτο δὲ ταῖς πνευματικαῖς περισπώμενος θεωρίαις· ἠγωνίζετο γὰρ μηδὲν ἀπορεῖν τῶν θείων Γραφῶν, -φιλεῖ δέ πως τὰ τοιαῦτα ἢ τὴν ἀσιτίαν ἢ τὴν κουφοσιτίαν. ἔθος δὲ τοῖς δαιτυμόσιν, ἐὰν μὴ αὐτοῖς τις συμβρώσῃ ἢ συμβροχθίσῃ ἢ συγκαχάσῃ γέλωτι ἀσήμῳ, ἐπ᾽ ἄκρων δακτύλων χλιαρὰν φέρων τὴν κύλικα, εἰς κακηγορίαν ἄγειν τὴν τῆς τραπέζης φιλοφροσύνην. τὸ δ᾽ ὅλον (ὡς οἶμαι) καὶ ἀληθέστερον· φειδωλὸς ἦν εἰσάγαν πρὸς τοὺς τῆς τρυφῆς, ἱεροσυλίαν νομίζων τὴν εἰς τοὺς τοιούτους δαπάνην· ὁμοῦ καὶ τῶν οἰκονόμων τὰς τῆς κλοπῆς ἀφορμὰς περικόπτων, ἵνα μὴ δεκαπλασιάσωσι τὰς τιμὰς τῶν ὀψωνίων ἐν τοῖς βρεβίοις, τὰς τῶν πενήτων σφετερισάμενοι χρείας. πρὸς τούτοις τὸ πλῆθος τῆς πόλεως ἐννοῶν ἐσκόπει, ὅτι ἢ πᾶν ἀξίωμα ὀφείλει ταύτης τῆς τιμῆς ἀξιῶσαι ὡς Χριστοῦ οἰκονόμος, ἢ μηδενὶ παρασχεῖν τὸ πρᾶγμα. ἀποβλέψας δὲ εἴς τε τοὺς τῆς τραπέζης θορύβους καὶ εἰς τὸ πλῆθος τῶν ἀναλωμάτων τῶν πτωχικῶν, ἐφρικίασεν πρὸς τὸ πρᾶγμα, μακρὰν χαίρειν εἰπὼν ταῖς τοιαύταις κακολογίαις, τὸ τῶν Πράξεων ἑαυτῷ κατεπᾴδων, "Ἄνδρες ἀδελφοί, οὐκ ἐξὸν ἡμῖν τραπέζαις διακονεῖν, ἀλλὰ καταστήσωμεν ἄνδρας εὐλαβεῖς ἐπὶ τῆς χρείας· ἡμεῖς δὲ σχολάσωμεν τῷ λόγῳ καὶ τῇ προσευχῇ." ὥσπερ γὰρ ἀγωνιστὴς ἵππος σταδιοδρομεῖν οὐκέτι δυνάμενος μύλωνι ἐγκατατάσσεται, ἀτέλεστον κύκλον γυρεύων· οὕτως ἀποκνήσας διδάσκαλος πρὸς τοὺς τῆς ἀρετῆς λόγους, τὴν ἐκ τῆς τραπέζης προβάλλεται θήραν· καὶ εἴθε κἂν τοῖς πεινῶσι καὶ δεομένοις, ὅθεν ἔνεστι καὶ κερδᾶναι τὸν μακαρισμὸν τοῦ

Δεσπότου, τό, "Ἐπείνων, καὶ ἐχορτάσατέ με"· ἀλλ᾽ ἢ μόνοις πλουσίοις τοῦ εὖ ἀκοῦσαι χάριν, ἢ δόξης μαραινομένης, ἢ τοῦ ὁμοίως ἀντικληθῆναι, ἢ εἰ τούτων οὐδέν, ἵνα μὴ κακὸς ἀκούσῃ, οὐ μεμνημένος τοῦ ταλανισμοῦ τοῦ Κυρίου λέγοντος· "Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμῖν εἴπωσιν πάντες οἱ ἄνθρωποι" -οὐκ εἶπεν, "οἱ πτωχοί," ἀλλ᾽, "οἱ ἄνθρωποι"·- "κατὰ ταὐτὸν γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν." μὴ ζητῶμεν οὖν ὡς οἱ κενόδοξοι, ὦ Θεόδωρε, ψευδοπροφήτου δόξαν. "ἦλθεν γὰρ Ἰωάννης, μήτε ἐσθίων μήτε πίνων, ἐν ὁδῷ δικαιοσύνης· καὶ λέγουσι, 'Δαιμόνιον ἔχει.' ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου, ἐσθίων καὶ πίνων· καὶ λέγουσιν, 'Ἰδού, ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν.'"

Ο ΔΙΑΚΟΝΟΣ. Οὐ πάντως, ὦ ἄριστε πάτερ, ψέξας ἢ καταδραμὼν τῆς τοιαύτης ἀσκήσεως, τὴν πεῦσιν προσήγαγον τῇ σῇ ἀκριβολογίᾳ· ᾔδειν γὰρ καὶ ἐξ αὐτῆς τῆς φήμης καὶ ἐκ τῶν εἰς ἡμᾶς φθασάντων αὐτοῦ συγγραμμάτων, ἢ ὁμιλιῶν ἢ ἐπιστολῶν, τὴν τοῦ ἀνδρὸς διάνοιαν· ἀλλ᾽ ἵνα τὸν σκοπὸν μαθὼν ζηλώσω τὸ πρᾶγμα. τίς γὰρ οὕτως εἰς ἅπαν ἠλίθιος, ἵνα ἀγνοήσῃ ὅτι μείζων ἡ ζημία τοῦ ἐκ τραπέζης κέρδους, εἰ μή που χρεία γένηται ἐν ἀνάγκῃ ξενίσαι ἁγίους;

Ο ΕΠΙΣΚΟΠΟΣ. Ταῦτα εἶπον κἀγώ, φιλαληθέστατε Θεόδωρε, οὐκ ἐξευτελίζων τὴν πατρικὴν ἀρετήν, μάλιστα τῆς φιλοξενίας. μία γάρ ἐστι τῶν λοιπῶν ἀρετῶν τῶν εἰς εὐσέβειαν συντεινουσῶν, δι᾽ ὧν καὶ οἱ κύριοι πατριάρχαι, ὁ μὲν τὸν Σωτῆρα Θεὸν τῇ τραπέζῃ ἐθήρευσεν, ὁ δὲ τοὺς ἀγγέλους ἐξένισεν, ὁ μὲν υἱὸν ἐν γήρει, ὁ δὲ σωτηρίαν τὴν ἐκ Σοδόμων μισθὸν σὺν ταῖς θυγατράσιν εὑράμενοι· περὶ ὧν καὶ ὁ ἀπόστολος λέγει, παρορμῶν ἡμᾶς εἰς τὸ μίμημα· "Τῆς φιλοξενίας," λέγων, "μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους." δεῖ δὲ τὸν ξενοδόχον τὸ μὲν φρόνιμον ἔχειν τοῦ ὄφεως, τὸ δὲ ἀκέραιον τῆς περιστερᾶς, πειθόμενον τοῖς δύο λογίοις, καὶ τῷ, "Παντὶ τῷ αἰτοῦντί σε δίδου," καὶ τῷ, "Μὴ πάντα ἄνθρωπον εἰσάγαγε εἰς τὸν οἶκόν σου," ἵνα μὴ λύκον ἀντὶ προβάτου δεξάμενος, ἢ ἄρκον ἀντὶ βοός, τῇ ζημίᾳ τὸ κέρδος ἀπεμπολήσῃ. δοκιμάζειν δὲ πρῶτον τὸν τόπον ὀφείλει ἐν ᾧ τις ἐτάγη, εἰ ἔρημος ἢ πολύοχλος, εἶτα τὴν ἑαυτοῦ ἐπιτηδειότητα, εἰ οἷός τέ ἐστιν ἀλλόκοτα βαστάζειν ἤθη· τότε διακρίνειν τὸν εὖ ὀφείλοντα παθεῖν, εἰ πλούσιός ἐστιν ἢ πένης, ἢ ὑγιὴς ἢ ἄῤῥωστος, ἢ βρωμάτων ἐπιδέεται ἢ ἐνδυμάτων· ἐν τούτοις γὰρ ὁ πρακτικὸς ἔλεος διανύεται. ὁ γὰρ μακάριος Ἀβραὰμ οὐχ ὑπάτους, οὐδὲ στρατηγούς, οὐδὲ τοὺς ἐπ᾽ ἐξοχῆς ἄνδρας τοῦ

περιγείου κόσμου ἐξένισεν, παρ᾽ οἷς ἵπποι κημῷ ἢ χαλινῷ ἀποστίλβοντες ἢ σαράβαρα χαλκοτύμπανα πόῤῥωθεν τῆς ὑπερηφανίας τὸν κτύπον ἀπερευγόμενα· ἀλλ᾽ ἔρημον οἰκῶν τόπον τοὺς ἐκεῖ φθάνοντας ἐδεξιοῦτο. οἱ δὲ τὴν ἔρημον διαβαίνοντες, ἢ δι᾽ ἀρετὴν ἀπῄεσαν πρὸς τὸν πατριάρχην, ἢ διὰ πτωχείαν τὴν ἐπιτεταμένην καὶ πενίαν. [πενία γάρ ἐστι μεσότης ὑπερβολῆς καὶ ἐλλείψεως· ὑπερβολῆς μὲν πλούτου, ἐλλείψεως δὲ πτωχείας.] ὁμοίως δὲ καὶ ὁ Λὼτ χείρονα τῆς ἐρήμου πόλιν οἰκῶν εἰκότως ἐδεξιοῦτο τοὺς ἐπιχωριάζοντας ξένους διὰ τὸν τρόπον τῶν κατοικούντων. εἰ δέ τις πόλιν οἰκῶν εὐνομωτάτην, οἵα ἡ Κωνσταντίνου, ἐν ᾗ πάντες εἰσὶ ξενοδόχοι, περισσῶς τάχα τις τῶν πρεσβυτέρων "τὴν τοῦ λόγου καταλείψας διακονίαν," βρεβίοις σχολάζων ὀψωνίων, οὗτος λέληθεν ἑαυτὸν κάπηλον ἀντὶ διδασκάλου νομίζων, τῇ ὑδαρότητι τῶν λογισμῶν τὴν ἄκρατον ἐξαφανίζων γνῶσιν, τὸν προφητικὸν καρπούμενος ὄνειδον· "Οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι." ὅσον γὰρ διαφέρει τοῖς ἀτονοῦσιν ὕδατος ὁ οἶνος, τοσοῦτον ὑπερβάλλει ξενοδοχίας διδασκαλία. ἡ μὲν γὰρ ὠφελεῖ τοὺς κατ᾽ αὐτόν, ἡ δὲ καὶ τοὺς μετ᾽ αὐτόν· καὶ ἡ μὲν τοὺς παρόντας μόνον κερδαίνει, ἡ δὲ καὶ τοὺς ἀπόντας· τοὺς παρόντας μὲν τῆς γλώσσης, τοὺς ἀπόντας δὲ διὰ τῶν γραφομένων. οἷος ἦν ἐν σαρκὶ ὁ Σωτήρ, θρέψας μὲν τοῖς ἄρτοις πεντακισχιλίους, οὐκ ἐν πόλει, ἀλλ᾽ ἐν ἐρήμῳ, διδάξας δὲ καὶ τοὺς παρόντας διὰ τῆς γλώσσης, σώσας δὲ τὴν οἰκουμένην διὰ τῶν γεγραμμένων Εὐαγγελίων (τοιοῦτον γὰρ οἱ λόγοι μάλιστα τῶν πνευματοφόρων). καὶ μὴ θαυμάσῃς, Θεόδωρε, εἴ τις πεινῶντα βρωμάτων ἐμπλήσῃ, ἀλλ᾽ εἴ τίς τινος ἀγνοίας τὴν ψυχὴν ἀπαλλάξῃ. ὁ μὲν γὰρ τὴν γαστέρα χορτάζων ἢ δωρεᾷ ἢ ἀργυρίου, ἢ δι᾽ ἄρτου ἢ διὰ λαχάνων, εὐκόλως εὑρίσκεται τὴν χρείαν παρέχων· ὁ δὲ τοῦ λόγου τροφεὺς σπανίως μὲν εὑρίσκεται, εὑρεθεὶς δέ, ἢ οὐ πιστεύεται ἢ μόλις πιστεύεται, τῶν πονηρῶν πνευμάτων ἀεὶ ἀντιπραττόντων τῇ τῶν ψυχῶν σωτηρίᾳ. τοῦτον τὸν τοῦ λόγου τῆς διδασκαλίας λιμὸν ἐν εἴδει τιμωρίας ἀπειλῶν ἐπάγειν ὁ Δεσπότης Θεὸς ἔλεγεν τῷ προφήτῃ· "Ἐπάξω ἐπ᾽ αὐτοὺς λιμόν, οὐ λιμὸν ἄρτου καὶ ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου." καὶ περὶ μὲν τοῦ αἰσθητοῦ λιμοῦ, ἔστιν ἐγκαταλείψαντα τὴν ἐνδεομένην πόλιν ἢ χώραν ἐν ἄλλῃ σωθῆναι, ὥσπερ οἱ ἅγιοι πατριάρχαι ἀπὸ Παλαιστίνης εἰς Αἴγυπτον κατιόντες· περὶ δὲ τοῦ κατὰ νοῦν λιμοῦ, ὃς οὐκ ἄλλοθεν συμβαίνει ταῖς ἐκκλησίαις ἢ δι᾽ ἀπορίαν τῶν διδασκάλων, πάλιν

ἔλεγεν ἕτερος προφήτης· “Περιδραμοῦνται ἀπὸ ἀνατολῶν ἕως δυσμῶν ζητοῦντες τὸν λόγον τοῦ Κυρίου καὶ οὐ μὴ εὑρήσωσιν.” τί γὰρ ἀγαθὸν οὐ φύεται ἀπὸ διδασκαλίας; τί δὲ ἄκαιρον οὐκ ἐφευρίσκεται ἀπὸ ἀκαίρου τροφῆς ἢ συμποσίου; νόσοι, μάχαι, ὕβρεις αἱ ὑπὸ γαστέρα, καὶ τὰ τούτων ἑξῆς. πότε ἡ Εὔα ἐκβέβληται τοῦ παραδείσου; οὐχ ὅτε τοῦ ὄφεως ἤκουσεν φαγοῦσα τοῦ ξύλου, μὴ ἀρκεσθεῖσα τῇ τεταγμένῃ τροφῇ; πότε Κάϊν τὸ τῆς ἀδελφοκτονίας εἰργάσατο μίασμα; οὐχ ὅτε τῶν ἀπαρχῶν ἀπεγεύσατο πρῶτος, τῇ ἑαυτοῦ λαιμαργίᾳ τὰ πρωτεῖα φυλάξας; πότε τὰ τέκνα τοῦ Ἰὼβ αὐτοσχέδιον τάφον τὴν τράπεζαν εὕραντο; οὐχ ὅτε ἤσθιον καὶ ἔπινον; πότε ὁ Ἠσαὺ εὐλογίας ἐξέπεσεν; οὐχ ὅτε τῇ κοιλίᾳ ἐδούλευσεν ἀπατηθεὶς τῷ τροφίῳ; πότε Σαοὺλ τῆς βασιλείας ἐξέπεσεν; οὐχ ὅτε τὰ κάλλιστα τῶν προβάτων παρὰ τὸν νόμον ἔφαγεν; πότε δὲ ὁ λαὸς τοῦ Ἰσραὴλ τὸν Θεὸν παρώξυνεν; οὐχ ὅτε τῆς Αἰγυπτιακῆς ἐπεθύμει τραπέζης, κρέα καὶ λέβητας ἐπιζητῶν παρὰ τοῦ διδασκάλου; Ὀφνὶ καὶ Φινεές, οἱ υἱοὶ τοῦ Ἠλεί, διὰ τί ἐθανατώθησαν ἐν ὥρᾳ μιᾷ ἐν τῷ πολέμῳ; οὐχ ὅτι ἥρπαζον ταῖς κρεάγραις ἀπὸ τῶν λεβήτων τὰ κρέατα τὰ ὄντα τῆς θυσίας; Ἰακὼβ δὲ ὁ ψεκτός, διὰ τί “ἀπελάκτισεν”; οὐκ ἐπειδὴ “ἐνεπλήσθη καὶ ἐλιπάνθη καὶ ἐπαχύνθη καὶ ἐπλατύνθη”; πότε δὲ Σοδομῖται παρὰ φύσιν ἐξώστρησαν; οὐχ ὅτε συνεχέσι συμποσίοις τὴν γνώμην παρέφθειραν, ὑπὸ τοῦ Ἰεζεκιὴλ ἐφ᾽ ὕβρει μνημονευόμενοι λέγοντος· “Ἐν εὐθηνίᾳ οἴνου καὶ ἐν πλησμονῇ ἄρτου ἐσπατάλων αὐτοί” (τοῦτ᾽ ἔστιν ἡ πόλις) “καὶ αἱ θυγατέρες αὐτῆς” (τοῦτ᾽ ἔστιν αἱ κῶμαι, τὸν νόμον ἀεὶ τῆς πόλεως ἔχουσαι); ὁ τῆς σωφροσύνης δὲ λογισμός, πότε παρείθη τοῦ παλαιοῦ λαοῦ; οὐχ ὅτε ὁμοίως κατεγήρασαν ἐπὶ στιβάδων, τοῦ προφήτου σχετλιάζοντος· “Οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων καὶ μόσχους ἐκ βουκολίων γαλαθηνούς, πίνοντες τὸν διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι, κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, καὶ οὐδὲν ἔπασχον ἐπὶ τῇ συντριβῇ Ἰωσήφ”; τίσι τὸν ταλανισμὸν ὁ Ἠσαίας ἐπήγαγεν; οὐχὶ τοῖς ἐν συμποσίοις ὀρθρίζουσιν· οὑτωσὶ λέγων· “Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωῒ καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος συγκαύσει αὐτούς. μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνουσιν, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσιν”; πότε οἱ ἱερεῖς τοῦ Βὴλ ὑπὸ τοῦ Δανιὴλ κατησχύνθησαν; οὐχ ὅτε ἡ σποδὸς αὐτοὺς ἤλεγξεν διὰ βρωμάτων ἢ πομάτων θηρεύσασα; καὶ τί δεῖ με λέγειν περὶ τῶν τὴν πλατεῖαν

βαδίζειν ἐλαμένων καὶ τὴν στενὴν λοιδορούντων; ἀρκεῖ μοι ὁ σωτήριος λόγος πρὸς ἔλεγχον τῶν κνισοδιωκτῶν, ὅπου τὸν ἀνώνυμον πλούσιον, λαμπρῶς καθ᾽ ἡμέραν εὐφραινόμενον ἐν τῷ παρόντι βίῳ, δείκνυσι ψιχίων καὶ ῥανίδος τοῦ πένητος Λαζάρου ἐπιποθοῦντα καὶ ἀστοχοῦντα. ἴδωμεν δὲ καὶ τὸν χορὸν τῶν πάλαι ἁγίων καὶ μάθωμεν ὅλως ποίῳ χαρακτῆρι τῆς διδασκαλίας ἐχρήσαντο, τῷ διὰ βίου σεμνοῦ καὶ λόγου εὐθοῦς, ἢ τῷ διὰ συμποσίων καὶ εὐωχίας. πρῶτος ὁ Ἑνὼχ πίστει μετετέθη, ἢ συμποσίῳ; εἶτα ὁ Νῶε τὸ τῆς οἰκουμένης γένος πίστει διέσωσεν ἐν τῷ ξύλῳ, ὅτε ὁ περίγειος ἐκαθαρίζετο κόσμος, ἀπὸ τῆς τῶν συμποσίων καὶ ἀκαθάρτων ἔργων συνεχείας, ἢ νηστείᾳ καὶ προσευχαῖς; οὐχ ἵνα μικρὸν ἀπὸ τοῦ τοσούτου κλύδωνος πόματι ἀνεθῇ, ἀσχημοσύνην αὐτοῦ, καὶ οὐ κλέος, κηρύσσουσιν αἱ Γραφαί; ὁ μακάριος Ἀβραὰμ τῶν πέντε βασιλέων τῶν ἐν Σοδόμοις πίστει καὶ δικαιοσύνῃ περιεγένετο, ἢ βρώμασι καὶ πόμασι, τὸν Λὼτ ἀνακαλεσάμενος;

Καὶ ὁ Θεόδωρος εἶπεν·

Ο ΔΙΑΚΟΝΟΣ. Εἰ τὸν Ἀβραὰμ ἄγεις εἰς μέσον, οὐκοῦν ἄκουσον καὶ παρ᾽ ἐμοῦ· λέξει σοι γὰρ ὁ τυχών, ὅτι τοῦ μὲν πολέμου πίστει περιεγένετο, τὸν δὲ Θεὸν διὰ τραπέζης ἐθήρευσεν, ὡς προλαβὼν αὐτὸς ὑφηγήσω.

Ο ΕΠΙΣΚΟΠΟΣ. Βαβαί! ἐπεὶ ὁ Ἀβραὰμ τραπέζῃ τὸν Θεὸν ἐθήρευσεν, οὐκοῦν πάντες καταλείψαντες τὴν πίστιν καὶ τὰς λοιπὰς ἀρετάς, τὰ συμπόσια φιλοκαλήσωμεν; οὐδὲν διαφέροντες καπήλων ἢ πανδοχέων τῶν τὰς λεωφόρους δι᾽ αὐτὸ τοῦτο ἐπιτειχισάντων ἕνεκα κέρδους. καὶ αἱ παρθένοι τοίνυν, αἱ ἀγωνιζόμεναι ἅγιαι εἶναι σώματι καὶ πνεύματι εἰς δόξαν Θεοῦ, ἐπειδὴ Μαρία τὸν Χριστὸν ἐγέννησεν, καὶ αὗται γεννησάτωσαν· εἰ γὰρ οὕτως ποιήσουσιν, οὐδὲν τῶν ἑταιρίδων διαλλάσσουσιν. εἰ γὰρ οἱ διδάσκαλοι διὰ τὸν Ἀβραὰμ τὰ τῶν τραπεζῶν εὐτρεπίζουσιν, καὶ αἱ παρθένοι διὰ τὴν Μαρίαν γεννάτωσαν. ἄπαγε, τιμιώτατε, τὰ καλῶς κατὰ τὸν οἰκεῖον καιρὸν γεγενημένα ἢ γινόμενα μὴ ὑβρίζωμεν· ἑκάστου γὰρ τὸ συνειδός, ἐὰν βούληται, τὸ συμφέρον ὑπαγορεύει. εἶτα ὁ παλαιστὴς Ἰακὼβ ἀσκήσει τὰ τοῦ Λαβὰν ἀφείλατο, ἢ συμποσιαρχίᾳ; -ὁ λέγων· “Ἐγενόμην τοῖς καύμασι συγκαιόμενος καὶ τῷ παγέτῳ τῆς νυκτός, καὶ ἀφίστατο ἀπ᾽ ἐμοῦ ὁ ὕπνος”· καὶ οὐδὲν πλέον αἰτῶν ἐν τῇ προσευχῇ ἢ ἄρτον καὶ ἱμάτιον, λέγων· “Ἐὰν δῷς μοι ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι, πᾶν ὃ ἐὰν δῷς μοι, δεκάτην ἀποδεκατώσω αὐτά σοι”

-οὐκ εἶπεν, "τραπέζαις καταναλώσω." ὁ τοῦ Θεοῦ ὑποφήτης καὶ πιστὸς θεράπων Μωϋσῆς ἐκεῖνος, ποίαν τράπεζαν εὐτρεπίσας ἐξεκλησίασεν λαὸν ἐν τῷ ὄρει; τίνας δὲ καὶ κρατῆρας πομάτων εἶχεν; ὁ πέτραν ῥάβδῳ ἀμέλξας διὰ τὴν τοῦ λαοῦ ἀπιστίαν, ὁ ἑξακοσίων χιλιάδων ἀφηγητής, πυξία νόμου ἐβάσταζεν εἰς διόρθωσιν τοῦ λαοῦ, ἢ φιάλας ἀεροφανεῖς ὑστέρας τε χοίρων καὶ ὄρνεις ἐκ Φάσιδος καὶ ἰχθὺν ἐκ πελάγους καὶ οἶνον διϋλισμένον ἐκ Τύρου καὶ ἄρτους πλυτοὺς προβαλλόμενος τοῖς παιδευομένοις, ἢ λόγον;

Ο ΔΙΑΚΟΝΟΣ. Ἀλλ᾽ ἀνθυποίσει σοί τις πρὸς ταῦτα, πάτερ· "Κἀμοὶ δὸς μάννα κἀκεῖνο τὸ ὕδωρ, καὶ οὐδὲν ἐπιζητῶ πλέον. "

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ τίς οὕτως ἀργαλέος, ἵνα προκρίνῃ τῆς πνευματικῆς διδασκαλίας μάννα αἰσθητὸν καὶ ὕδωρ ῥευστόν; εἶτα Σαμουήλ, ὁ διδάσκαλος τοῦ λαοῦ, ἐπὶ εἴκοσι καὶ πέντε ἔτη ἐν Ἀρμαθαῒμ ἡσυχάσας, τίνα ποτὲ τραπέζῃ τῶν εἰδώλων ἀπέστησεν καὶ οὐ λόγῳ; πότε δὲ ὁ βασιλεύς, ὁμοῦ καὶ προφήτης καὶ ψαλμῳδός, τρυφῆς ἐστήσατο τράπεζαν; -ὁ λέγων, ὅτι "Σποδόν, ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκρίνων." ὁ τῆς οἰκουμενικῆς νηστείας δημιουργὸς τρία ἔτη καὶ μῆνας ἓξ ἀσιτίαν ἀκουσίως τοῖς γαστριμάργοις παρασκευάσας, ποίᾳ τραπέζῃ τῆς ἁμαρτίας ἀπήλλαξεν ὁ Θεσβείτης Ἠλίας; τίνας δὲ καὶ ὀψοποιοὺς εἶχεν; οὐχὶ διὰ κοράκων τὴν ἐπιούσιον ἐδέχετο μᾶζαν; ὁ σοφὸς Δανιὴλ καὶ τῶν μελλόντων αὐτόπτης, ποίᾳ τραπέζῃ τοὺς Ἀσσυρίους ἐπαίδευσεν; οὐχὶ νηστείᾳ καὶ προσευχῇ τὸν δράκοντα ὤλεσεν καὶ τὸν Βὴλ κατέστρεψεν καὶ τοὺς λέοντας ἐφίμωσεν καὶ τὸν βασιλέα ἔπεισεν τοὺς πατρῴους θεοὺς ἀπαρνήσασθαι ὁμολογίᾳ τοῦ ὄντως ὄντος Θεοῦ; τίσι τραπέζαις, ποίᾳ δὲ χρηστοφαγίᾳ ἐχρήσατο ὁ χορὸς τῶν λοιπῶν προφητῶν ἢ ἀποστόλων; οὐκ ἦσαν διδάσκαλοι; οὐ τὴν ὑπουράνιον ἐπιστεύθησαν; οὐ τούτων ἐσμὲν διάδοχοι; οὐ μιμητὰς ἡμᾶς τούτων εἶναι βούλεται ὁ λόγος, προσέχοντας τοῖς τρόποις, καθὼς ὁ Παῦλος διδάσκει λέγων· "Ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν"; ποῖα μελίπηκτα εἶχεν ἐν τῇ ἐρήμῳ ὁ κήρυξ τῆς μετανοίας, ὁ βαπτιστὴς Ἰωάννης, ὁ τοῖς προσερχομένοις οὐ μόνον εὐτρεπίσας ἄριστα, ἀλλὰ καὶ αὐτὴν τὴν συντυχίαν πικρὰν μετ᾽ ἐπιπλήξεως παρέχων; οὐ μόνον γὰρ δριμεῖ τῷ βλέμματι τὸ μεμολυσμένον συνειδὸς αὐτῶν σείων, ἀλλὰ καὶ αὐτῷ τῷ σχήματι, πολλῷ δὲ μᾶλλον καθάπερ ξίφει τῷ λόγῳ τὰ τῶν ψυχῶν ἀποστήματα τέμνων· "Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν

φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας,' καὶ μὴ μόνῳ τῷ βαπτίσματι ἐπερείδεσθε ἢ τῷ τέκνα εἶναι τοῦ Ἀβραάμ." τί δαὶ ὁ διδάσκαλος τῶν ἐθνῶν, ὁ τῆς περιτομῆς καταλυτής, ἵνα περιτομὴν πίστεως στήσῃ, "τὸ σκεῦος τῆς ἐκλογῆς," Παῦλος; ὅλως εὑρίσκεται σχολὴν ἄγων τραπέζης, ὁ πάντων μᾶλλον χρεώστης τούτου, καὶ ὀφείλων ὡς ἔθνεσιν ἀπίστοις πρότερον τὴν διὰ τραπέζης ποιεῖσθαι σχέσιν; τί δαὶ καὶ γράφει τῷ Τιμοθέῳ ἐπισκόπῳ Ἐφέσου· "Πρόσεχε" τῇ τῆς τραπέζης φιλοτιμίᾳ ἢ "τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ" (ἐν οἷς μάλιστα ἄοκνος ἦν καὶ εὔτονος ὁ μακάριος Ἰωάννης); -"ἀκαίρως, εὐκαίρως ἐπίστηθι," λέγων, "ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον" (μηδενὸς αὐτῷ ἐπισκήπτοντος, ὅτι δύο μὲν τὰ πικρὰ καὶ ἓν τὸ προσηνές, ἴσως κἀκεῖνο μετὰ φειδωλίας ἐπάγοντος· τὸ δέ, "ἔλεγξον, ἐπιτίμησον," πικρῶν ὄντων σφοδρῶς, ἐν τῷ "παρακάλεσον," καὶ οὐ "κολάκευσον"· ὅπερ ἐπιστημονικῶς γιγνόμενον, πικρότερόν ἐστι τοῖς φιληδόνοις καὶ ἀναπεπτωκόσι φορτικωτέρων εὑρισκομένων τῶν ἐλέγχων. ἐκεῖ μὲν γὰρ ἴσως ὑπό τινος θυμοῦ ἀντιβαίνουσα ἡ ψυχὴ ἀναισθήτως ἔχει πρὸς τὰ λεγόμενα τοῦ ἐλέγχου· ἐνταῦθα δὲ ἡσύχως καὶ κατὰ μικρὸν τοῖς ἐπιεικέσι μετὰ τῆς ἀληθείας λόγοις αἰσθητικῶς, ὡς ὑπὸ πυρὸς μαλακοῦ, καιομένη διαπρίεται). τί δὲ καὶ ὑπομιμνήσκει αὐτόν· τὰ συμπόσια καὶ τὰς εὐωχίας ἢ τὰ τῶν θλίψεων σεμνολογήματα; -λέγων· "'Σὺ γὰρ παρηκολούθηκάς μου τῇ ἀγωγῇ,' ὅπως διετέθην τῇ προθέσει τοῦ πάντα εἰς δόξαν Θεοῦ ποιεῖν ἐν τοῖς διωγμοῖς." ἐπὶ τοῖς ἐλέγχοις τῆς πλάνης, μή που τραπέζης μνεία; Τίτῳ δὲ πάλιν τῷ ἐπισκόπῳ Κρήτης ἴδωμεν τί ἐπιστέλλει· περὶ βρωμάτων καὶ πομάτων ἢ περὶ ἐλέγχων καὶ διδασκαλίας; -λέγων· "Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπανορθώσῃς καὶ πείσῃς αὐτοὺς μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις," ἐπιφέρων καὶ τῶν ἐλέγχων τὸν τρόπον· "Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί." εἰπάτωσαν ἡμῖν οἱ κοιλιολάτραι καὶ τραπεζογίγαντες καὶ γυναικοϊέρακες, οἱ τὴν Ἰωάννου ἄσκησιν μεμφόμενοι, ἐμπερινοστήσαντες Παλαιὰν καὶ Καινὴν Διαθήκην, ποῦ εὗρον ἐν ἐπαίνῳ συμπόσιον, εἰ μή που πρὸς ἀλλοφύλους, καὶ τοῦτο διὰ τὴν τῆς εἰρήνης σπεῖσιν τῷ τῆς τραπέζης νόμῳ θηρίων τε καὶ βαρβάρων τιθασσευομένων; πότε δὲ τὰ συμπόσια ὑπόθεσις ἁμαρτίας οὐ γέγονεν; τί δὲ λέγω "ἁμαρτίας," τάχα δὲ καὶ "τῆς μείζονος εἰδωλολατρείας καὶ ἀδελφοκτονίας"; -καθὼς γέγραπται· "Ἐκάθισεν ὁ

λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν.” ἦν δὲ τὸ παίγνιον μέθης ἔκγονον. “Δεῦτε, ποιήσωμεν θεοὺς οἵτινες προπορεύσονται ἡμῶν.” οἱ γὰρ σεισμὸν ὑποστάντες δι᾽ οἴνου κινητοὺς θεοὺς ἐπεζήτουν, τὸν ἄσειστον καὶ πάντα πληροῦντα ἄνευ τοῦ βαδίζειν ἀφέντες. τί δαὶ λέγει ὁ προφήτης· “Χείλη ἱερέως μελετήσωσι συμπόσια, ὅτι δεῖπνα καὶ ἄριστα ἐκζητήσουσιν ἀπ᾽ αὐτοῦ”; ἢ “Ὅτι χείλη ἱερέως φυλάξεται νόμον, καὶ λόγον ἐκ στόματος αὐτοῦ ἐκζητήσουσιν, ὅτι ἄγγελος Κυρίου ἐστί,” -καὶ οὐ μάγειρος; καὶ ὁ ἐν Χαλαννῇ δὲ πύργος πότε ᾠκοδομήθη; πρὸ οἴνου ἢ μετὰ οἶνον; οὐ μετὰ οἴνου ἡνίκα Νῶε φυτεύσας τὸ κλῆμα πρῶτος τὸν ὄνειδον ἐκαρπώσατο; εἴ γε οὕτως ἔχει, οὐ διὰ τὴν πόσιν ἢ τὴν φυτείαν, ἀλλὰ διὰ τὴν ἀμετρίαν. Ἰωσὴφ πότε ἐπράθη ὑπὸ τῶν ἀδελφῶν; ὅτε τὰ πρόβατα ἐποίμαινον ἐν αὐτοῖς ἀσχολούμενοι, ἢ ὅτε τὰ κάλλιστα σφάζοντες καὶ ἐσθίοντες ἐπὶ σχολῆς κατ᾽ αὐτοῦ ἐν συμποσίῳ τὸν φθόνον ἐτεκταίνοντο; τὴν τοῦ βαπτιστοῦ Ἰωάννου κεφαλὴν ἐπὶ πίνακος ποῦ ἐπέδοσαν τῷ πορνιδίῳ; ἐν συλλόγῳ σοφίας ἢ ἐν συμποσίῳ ἀνομίας; ὁ μακάριος Παῦλος πίνων καὶ τρώγων παρέτεινεν ἕως μεσονυκτίου τὸν λόγον, ἢ ἀσιτῶν καὶ διδάσκων καὶ τοὺς τὸν Θεὸν ἀγνοοῦντας εἰς πίστιν ἄγων; αὐτὸς ὁ ἀρχιποίμην καὶ ἀρχιδιδάσκαλος καὶ ἀρχισοφιστής, Ἰησοῦς ὁ Χριστός, ὁ τῆς ἀνθρωπίνης πλάνης διορθωτής, ποῦ εὑρίσκεται ἐν πόλει φαγὼν πλὴν τοῦ Πάσχα; -ὃ ἦν μυστηρίων ἐκπλήρωσις. τί δαὶ καὶ μεριμνῶσι τοῖς μαθηταῖς εὑρίσκεται λέγων, περὶ βρωμάτων ἢ περὶ ἀναγνωσμάτων; -”Ἐργάζεσθε,” λέγων, “μὴ τὴν ἀπολλυμένην βρῶσιν, ἀλλὰ τὴν μένουσαν.” λεγέτω τοίνυν μετὰ τοῦ Κυρίου καὶ ὁ καλὸς Ἰωάννης· “Ἐμὸν συμπόσιόν ἐστιν ἡ τοῦ λόγου διδασκαλία καὶ διανομή, εἰς ἣν καὶ ἐξελέχθην εἰς τὴν τοῦ λαοῦ σωτηρίαν.” “βρῶμα γὰρ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ, οὔτε ἐὰν φάγωμεν, οὔτε ἐὰν μὴ φάγωμεν.” ἐθνικῶν γὰρ ἡ συνήθεια αὕτη, τὸ τραπέζαις ἀπατᾶν τοὺς ὑπ᾽ αὐτῶν δελεαζομένους, λόγῳ πείθειν μὴ δυναμένων τῶν λεγόντων· “Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν.” πρὸς οὓς ὁ ἀπόστολος πληκτικώτερον τὴν διόρθωσιν ἐπάγει, λέγων· “Μὴ πλανᾶσθε· ‘Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί’”· -”ὁμιλίας” λέγων “κακὰς” τὰς περὶ τὰ τοιαῦτα ἑλισσομένας λέξεις.

-Κεφάλαιον ΙΓ΄.

Ο ΔΙΑΚΟΝΟΣ. Γνησίως μὲν καὶ πολυμαθῶς εἴρηκας τὰ εἰρημένα, καὶ οὕτως ἔχει. "οὐαὶ γὰρ τῷ λέγοντι τὸ γλυκὺ πικρόν, καὶ τὸ πικρὸν γλυκύ. οὐαὶ τῷ τιθέντι τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος." λέξει δέ τις, ὅτι "Οὔτε ἡμεῖς τοῦτο λέγομεν εἶναι αὐτὸν ἔκδοτον ταῖς τοιαύταις τραπέζαις. ἡ γὰρ ἄμετρος φιλοτιμία φιληδονίας ὑπόθεσις, καὶ ἡ εἰς ἄγαν ἀπόκλεισις ὄκνου καὶ μικρολογίας ἀπόδειξις. ἐδύνατο γὰρ κἂν μόνους ἐπισκόπους καλεῖν, καὶ τούτων μάλιστα τοὺς εὐσεβεστέρους· ἢ εἰ μὴ τούτους, κἂν τὸν ἴδιον κλῆρον, μιμούμενος τὸν Δεσπότην ἐσθίοντα μετὰ τῶν δώδεκα ἀποστόλων. "

Ο ΕΠΙΣΚΟΠΟΣ. Συνεκτικώτατα ἀνθυπήνεγκας, φιλαληθέστατε τῶν ἀνδρῶν, εἴ γε ἠνείχοντο οἱ κληρικοὶ συναριστεῖν τῷ Ἰωάννῃ, παρ᾽ ὥραν ἢ παρ᾽ ἡμέραν ἐσθίοντες· οἱ δὲ ὡς τάχιστα μετὰ πολλῆς τῆς παρασκευῆς πολυτέλειαν ἐπεζήτουν. ἄτοπον ἦν τὰς τῶν νοσούντων ἢ πτωχευόντων τροφὰς τῇ τῶν ὑγιαινόντων ἀκρασίᾳ προσαναλῶσαι. ποῖος δὲ καὶ νόμος οὗτος, νομοθετεῖν τὸν παιδευτὴν τοὺς παιδευομένους, ἢ τοὺς ἀῤῥώστους τὸν ἰατρόν, ἢ τοὺς ἐπιβάτας τὸν κυβερνήτην, ἀεὶ τοῦ ἰατροῦ τοὺς νοσοῦντας ὑγιάζοντος, καὶ τοῦ διδάσκοντος τοὺς παιδευομένους ἐπανορθοῦντος, καὶ τοῦ κυβερνήτου τοῖς ἐμπλέουσι τὸ συμφέρον μνηστευομένου; καὶ ἰατρῷ μὲν καὶ κυβερνήτῃ πειθόμενοι οἱ ὑπ᾽ αὐτοὺς διὰ φιλοζωΐαν πᾶσαν ὀδύνην καὶ ἐπάχθειαν φέρουσι, παρ᾽ οἷς καὶ τὸ ἐπιτυχεῖν ἄδηλον· διδασκάλῳ δὲ τῶν κρειττόνων, νόσους καὶ μαλακίας ἀπελαύνειν ἐμπεπιστευμένῳ καὶ τρικυμίας ἡδονῶν ὑπερβαίνειν ἐξησκημένῳ, ἀχαλινώτοις στόμασιν ἐπανατείνονται ἀνίπτοις ποσὶ πάντα φύροντες. εἰ δὲ καὶ ἐδεδώκει ἑαυτὸν ἔκδοτον ταῖς τραπέζαις, πόσοις ἐξήρκει ἀξιώμασι τὴν τηλικαύτην πόλιν οἰκῶν, ἑκάστου ἢ δι᾽ εὐλογίαν, ἢ διὰ πενίαν, ἢ διὰ γαστριμαργίαν τὸ φαγεῖν ἐπιζητοῦντος; ποῦ δὲ καὶ σχολὴν ἦγεν ἡ τοῦ Θεοῦ θεωρία, ἡ τοῦ λαοῦ θεραπεία, ἡ τῶν Γραφῶν ἱστορία, ἡ τῶν χηρῶν κηδεμονία, ἡ τῶν παρθένων παραμυθία, ἡ τῶν ἀῤῥωστούντων νοσοκομία, ἡ τῶν καταπονουμένων ἐπικουρία, ἡ τῶν πλανωμένων ἐπιστροφή, ἡ τῶν συντετριμμένων φροντίς, ἡ τῶν ἐν φυλακαῖς ἐπίσκεψις; πῶς δὲ ἔφυγεν τὸν ὀνειδιστικὸν ταλανισμὸν τοῦ Θεοῦ, ὃν ὀνειδίζει ἐν τῷ Ἰεζεκιήλ; -"Ὦ οἱ ποιμένες οἱ ποιμαίνοντες ἑαυτούς, καὶ οὐ τὰ πρόβατα νέμοντες· τὸ πεπλανημένον οὐκ ἐπεστρέψατε, τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε, τὸ ἀσθενὲς οὐκ ἐπεσκέψασθε, τὸ συντετριμμένον οὐ

κατεδήσατε, τὰ λιπαρὰ σφάζοντες ἐσθίετε.” -περὶ ὧν γράφει ὁ Παῦλος· “Ἀνέχεσθε γάρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει.” -”καὶ τὰ μὲν ἔρια περιεβάλλεσθε, τὰ δὲ πρόβατα οὐ ποιμαίνετε.” καὶ ἐν τῷ Ἰερεμίᾳ περὶ ἀργοτρόφων ποιμένων λέγει· “Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου. “

Λέγει ὁ διάκονος·

Ο ΔΙΑΚΟΝΟΣ. Ἐδύνατο καὶ τούτους διὰ χρόνου θεραπεύειν καὶ τῶν ἐκκλησιαστικῶν φροντίζειν, ἵνα μὴ δόξῃ κακῶς ἀκούειν, ἐν τοῖς ἄλλοις ὢν μέγας.

Ο ΕΠΙΣΚΟΠΟΣ. Τοῦτο γάρ ἐστι τὸ ζητούμενον, ἵνα μὴ κακῶς ἀκούῃ, ἵνα πλουσίως παρέχῃ τὸν λόγον, τὴν σπουδήν, τὸν ζῆλον, τὴν ἄλλην ἱερατικὴν εὔνοιαν. ἢ οὐκ οἶδας, ὦ τιμιώτατε Θεόδωρε, ὅτι καὶ ἀλόγου κακηγορίας μακαρισμὸς ὥρισται ὑπὸ τοῦ Κυρίου σὺν τοῖς ἄλλοις μακαρισμοῖς εἰπόντος· “Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ᾿ ὑμῶν. οὐαὶ δὲ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι· κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν”; πῶς δὲ καὶ στόμα ἐξησκημένον ἐν θείοις λογίοις καὶ οὖς χρησμῶν ἐπακούειν θείων ἠνείχετο πολυλογίας τραπέζης, τοῦ Δεσπότου λέγοντος· “Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν”· ἔπειτα, “οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ”; ζητήσωμεν ἄρα τίς ὁ μαμωνᾶς, μή ποτε εὑρεθῶμεν οὐχὶ τοῖς δύο κυρίοις δουλεύοντες, ἀλλ᾿ ἢ μόνῳ τῷ μαμωνᾷ. “μαμωνᾶν” γὰρ νῦν οὐ “τὸν διάβολον” λέγει, ἀλλὰ τὴν ματαιοπονίαν τοῦ κόσμου τούτου, οὗ τοὺς ἑαυτοῦ μαθητὰς ὁ λόγος ἀπέστησεν.

Ο ΔΙΑΚΟΝΟΣ. Ἐπανάζευξον, ὦ ἱερώτατε πάτερ, ἐπὶ τὰ λοιπὰ τῶν πραγμάτων, ἱκανῶς ἀποδεδειγμένου τοῦ περὶ τραπέζης λόγου. κἀμοὶ δὲ μὴ χαλεπήνῃς ἐπὶ τοῖς ἀνθυπενεχθεῖσι· πλέον γάρ τι βουλόμενος μαθεῖν, ἐπεξεργαστικώτερον ἠρόμην τὴν σὴν πολυμάθειαν.

Ο ΕΠΙΣΚΟΠΟΣ. Τοῦτό σοι παρ᾿ ἐμοῦ σαφέστερον εἰρήσθω, Θεόδωρε φιλομαθέστατε (εἷς γὰρ γέγονα τῶν σπουδασάντων ὄχλοις διὰ τραπέζης ἀρέσαι), ὅτι ἐπίσκοπος, μάλιστα πόλεως μεγάλης, “καταλείψας τὴν τοῦ λόγου διακονίαν,” νύκτωρ τε καὶ μεθ᾿ ἡμέραν ἐν ταῖς χερσὶν οὐκ ἔχων τὰ τοῦ νόμου πυξία, καὶ τὴν τῶν πτωχῶν ἐπιμέλειαν οὐ δι᾿ ἑαυτοῦ, ἀλλὰ δι᾿ ἑτέρων ποιεῖται, μακρὰν ἔσται τῶν εἰρηκότων· “Ἰδού, ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἡμῖν ἔσται;” συναριθμούμενος τοῖς φήσασι· “Κύριε, οὐχὶ τῷ σῷ ὀνόματι τὰ καὶ τὰ ἐποιήσαμεν;” ἀκουσόμενος μετ᾿ αὐτῶν· “Ὑπάγετε

ἀπ᾽ ἐμοῦ, οἱ κατηραμένοι· οὐκ οἶδα ὑμᾶς, πόθεν ἐστέ.” οὐ γὰρ ἐπιγινώσκει ὁ λόγος ἀλόγους ἐργάτας· “καθαρὸς γὰρ αὐτοῦ ὀφθαλμὸς τοῦ μὴ ὁρᾶν πονηρά.” πολλοὶ γὰρ τῶν λεγομένων ἐπισκόπων τὸ εὔλογον αὐτῶν μῖσος, ὃ μεμίσηνται διὰ τοὺς οἰκείους αὐτῶν τρόπους καὶ τὴν τῶν νοητῶν ἀζηλίαν, περικόψαι βουλόμενοι, πάθει πάθος ἀντικαταλλάττουσι πλεονεξίαν κενοδοξίᾳ· τῇ μὲν χειρὶ ἀφειδῶς ἀδικοῦντες εἰς κέρδος αἰσχρόν, τῇ δ᾽ ἑτέρᾳ τὰς τραπέζας ἐπιτεχνώμενοι καὶ στήλας ὑψηλῶν οἰκοδομημάτων ἐγείραντες, ἵνα ἐκ τούτων δόξαντες χρηστοὶ καὶ φιλόπονοι φαίνεσθαι, τιμὴν ἀντὶ ἀτιμίας καρπώσωνται, οὐ μνημονεύοντες τοῦ ἐκκλησιαστοῦ τοῦ καὶ κτίσαντος καὶ μισήσαντος, καὶ τὰ τοιαῦτα σαφῶς ἀπαγορεύσαντος ἐν τῷ γράψαι· “Ἐποίησά μοι οἴκους καὶ παραδείσους,” καὶ τὰ ἑξῆς, “καὶ ἰδού, τὰ πάντα ματαιότης· καὶ ἐμίσησα σύμπαντα μόχθον μου, ὃν ἐγὼ μοχθῶ ὑπὸ τὸν ἥλιον.” οὐκ εἶπεν, “ὑπὲρ τὸν ἥλιον,” ἵνα μὴ τοὺς νοητοὺς καθυβρίσῃ πόνους. ταῦτα δὲ λέγω, οὐ συμπεριλαμβάνων τοὺς εὐλόγως καὶ δι᾽ ἀνάγκην κτίζοντας ἢ διορθουμένους τὰ τῆς ἐκκλησίας, ἀλλὰ διὰ τοὺς τὰ τῶν πτωχῶν εἰς κρεμαστοὺς περιβόλους καὶ ἀερίων ὑδάτων δεξαμενὰς ἐν τριωρόφοις καὶ ἀπρεπῆ ἀνδρογύνων λουτρὰ ἐν ἀποκρύφοις καταναλίσκοντας εἰς συλλογὴν ἢ πλείονος ἀργυρίου ἢ τοὔμπαλιν παρὰ τῶν ἀθυρμάτων ἀγαπηθῆναι, ἐν αὐτῷ τούτῳ τῆς σπουδῆς τὴν χάριν ἀντιπληρούντων, τῷ πάντα πρὸς ἡδονὴν ἐνδιδόναι τοῖς ἁμαρτάνουσιν. ἐμοὶ δὲ μὴ γένοιτο, Θεόδωρε μεγαλώνυμε, φαύλοις ἀρέσαι ποτέ· οὐ γὰρ ἄλλοθεν αὐτοῖς ἀρέσω, ἢ ἐκ τῶν Χριστῷ μὴ ἀρεσκόντων.

Ὁ διάκονος ἐπὶ τούτοις θαυμάσας ἤρετο λέγων·

Ο ΔΙΑΚΟΝΟΣ. Τούτων οὕτως φυσικῶς εἰρημένων καὶ μὴ ἐχόντων ἀντίῤῥησιν, εἴ τίς σοι γνῶσις περὶ τῶν κατὰ τὴν Ἀσίαν ὑπὸ τοῦ ἁγίου Ἰωάννου, περὶ οὗ νῦν ἡμῖν ὁ λόγος, τετυπωμένων, μετάδος.

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ πάνυ γε.

Ο ΔΙΑΚΟΝΟΣ. Αὐτὸς παρὼν ἔγνως, ἢ παρ᾽ ἑτέρου μαθών;

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἀλλ᾽ οὔτε εἰς τὸ τυχὸν μέρος ἤμην ἀπολειφθεὶς τῆς δίκης.

Ο ΔΙΑΚΟΝΟΣ. Τίνα οὖν ἐστι τὰ παρακολουθήσαντα, καὶ ποῖον εἴληφε τέλος, καὶ πόθεν τὴν ἀρχὴν ἐσχηκότα, λεπτομερῶς μοι παράστησον· ἐπειδὴ μάλιστα ὁ Θεόφιλος ἐν οἰκείῳ συγγράμματι τὴν ἰδίαν προπέτειαν σεμνῦναι ἢ περιστεῖλαι σπουδάσας ἔφησεν τὸν

μακάριον Ἰωάννην φιλαρχίας πάθει κινούμενον δέκα ἓξ ἐπισκόπους καθῃρηκέναι ἐν ἡμέρᾳ μιᾷ καὶ ἰδίους ἀντ᾽ αὐτῶν κεχειροτονηκέναι.

Ο ΕΠΙΣΚΟΠΟΣ. Οὐδὲν ἀπεικὸς τῶν ἰδίων τρόπων πεποίηκεν ὁ θαυμάσιος, καὶ γράψας κατὰ Ἰωάννου καὶ ψευδῆ γράψας. ἐξ ὧν γὰρ νομίζει καλύπτειν τὴν ἰδίαν ἀσχημοσύνην, ἐκ τούτων αὐτὴν μᾶλλον παραδειγματίζει, καὶ ἄκων σεμνύνων τὸ ἀθῷον Ἰωάννου κατὰ τὸ Βαλαὰμ ἐκεῖνον. εἰ γὰρ ἦν αὐτὸν καθελών, οὐ χρεία συγγράμματος ἢ ἐξορίας, ἱκανῆς οὔσης τῆς καθαιρέσεως αἰσχῦναι τοὺς καθαιρουμένους· ἐπειδὴ δὲ ἀκαθαίρετος ἕστηκεν ὁ ἐνάρετος, τῇ ἥττῃ τὴν νίκην κατέχων, μένει ὁ φθόνος τὴν ἧτταν τῆς ἀλόγου νίκης ἀποφερόμενος, πομφόλυγος δίκην ἀναφυσώμενος, καὶ εἰς ἑαυτὸν συντριβόμενος, γράφων καὶ καταγράφων, τὸ τοῦ προφήτου Ἠσαίου· “οὐαί” ὁ ἐπισπώμενος τὸ πάντα ψευδῆ καὶ ποιεῖν καὶ λέγειν καὶ γράφειν· “Οὐαί,” γάρ φησιν, “οἱ γράφοντες· πονηρίαν γὰρ γράφουσιν.” περὶ δὲ τῶν κατὰ Ἀσίαν καθαιρεθέντων οὐ δέκα ἕξ, ἀλλὰ ἓξ ἐπισκόπων, ὡς ἐπὶ τῆς θείας δίκης ἐρῶ, καὶ οὔτε τῆς ποσότητος τοῦ ἀριθμοῦ ὑφελῶ οὔτε τῇ ποιότητι τῶν πραγμάτων προσθήσω, ἀλλ᾽ ὡς ἔχει φύσεως, οὕτως σοι ἀπαγγείλω. ἐπὶ τῆς τρισκαιδεκάτης ἐπινεμήσεως ἐν τῇ Κωνσταντινουπόλει ἐλθόντες οἱ ἀπὸ τῆς Ἀσίας τινῶν ἕνεκα ἀναγκαίων διέτριβον σὺν ἡμῖν, παρόντων καὶ ἑτέρων ἐπισκόπων, τῶν τε ἀπὸ Σκυθίας, Θεοτίμου λέγω, καὶ ἀπὸ Θρᾴκης Ἄμμωνος τοῦ Αἰγυπτίου καὶ ἀπὸ Γαλατίας Ἀραβιανοῦ, πάντων μητροπολιτῶν γεγηρακότων, συντεινόντων εἰς εἴκοσι δύο ἐπισκόπους. πάντων δὲ συναγομένων καὶ κοινωνούντων ἐπιτηρήσας Εὐσέβιός τις ἀπὸ τῶν Κελβιανῶν λεγομένων τόπων ἐπίσκοπος Οὐαλεντινουπόλεως, τὴν συνηγμένην σύνοδον ἐπιστὰς τῇ μιᾷ τοῦ σαββάτου, λιβέλλους ἐπέδωκεν τῇ συνόδῳ, δηλαδὴ ἀκολούθως προτάξας τὸ ὄνομα Ἰωάννου, κατὰ Ἀντωνίνου τοῦ Ἐφεσίων ἐπισκόπου, ἑπτὰ κεφάλαια ἐντάξας· ἓν μέν, ὅτι κειμήλια χωνεύσας ἀργύριον εἰς ὄνομα τοῦ υἱοῦ κατεσκεύασεν· δεύτερον δέ, ὅτι μάρμαρα τῆς εἰσόδου τοῦ βαπτιστῆρος λαβὼν ἐν τῷ βαλανείῳ τῷ ἰδίῳ προσέθηκεν· ἔπειτα κίονας ἐκκλησιαστικοὺς ἀπὸ πλειόνων ἐτῶν κειμένους ἔνδον εἰς τὸν ἑαυτοῦ τρίκλινον ἔστησεν· τέταρτον, ὅτι ὁ παῖς αὐτοῦ φόνον πεποίηκεν, καὶ ἔχει αὐτὸν ἐν τῇ ὑπηρεσίᾳ ἀνέγκλητον· πέμπτον, ὅτι χωρία ὑπὸ Βασιλίνης, τῆς μητρὸς Ἰουλιανοῦ τοῦ βασιλέως, καταλειφθέντα τῇ ἐκκλησίᾳ, πωλήσας ἐσφετερίσατο· ἕκτον, ὅτι ἀποταξάμενος τῆς οἰκείας γαμετῆς πάλιν

αὐτῇ συνῆλθεν καὶ ἐπαιδοποίησεν ἐξ αὐτῆς· ἕβδομον, ὅτι ὡς νόμον καὶ δόγμα ἔχει πωλεῖν τὰς τῶν ἐπισκόπων χειροτονίας κατὰ τὴν τῶν προσόδων ἀναλογίαν. "Καὶ πάρεισιν οἱ δόντες καὶ χειροτονηθέντες, καὶ ὁ λαβών· καὶ ἐπὶ τούτοις ἔχω τὰς ἀποδείξεις. "

-Κεφάλαιον ΙΔ΄.

Ο ΔΙΑΚΟΝΟΣ. Παρακαλῶ, πάτερ, σύστειλον τὸ διήγημα τοῦτο· βλάπτονται γὰρ οἱ παρόντες, ἐπισκόπων ταῦτα διηγουμένων, μή τί γε καὶ πραττόντων.

Ο ΕΠΙΣΚΟΠΟΣ. Οἴμοι τάλας ἐγὼ τηρηθεὶς ταῖς ἡμέραις ταύταις, ἐν αἷς ἀργυρίῳ ἱερωσύνη πιπράσκεται, εἴ γε καὶ ἱερωσύνη. "γέγονα δὲ καὶ ἄφρων" διηγούμενος τῶν Ἰωάννην συκοφαντούντων εἰς ταῦτα ἡμᾶς περιστησάντων. πλὴν μακροθύμως ἀνάσχου μου, ἵνα καὶ ἐκ τούτων θαυμάσῃς τὴν Ἰωάννου ἐπιείκειαν, κοιμήσαντος τέως τὸν ζῆλον, εἰπόντος δὲ τῷ Εὐσεβίῳ· "Ἀδελφὲ Εὐσέβιε, ἐπειδὴ πολλάκις αἱ κατὰ λύπην κατηγορίαι οὐκ εὐχερεῖς ἔχουσι τὰς ἀποδείξεις, παρακέκλησο παύσασθαι τοῦ ἐγγράφως κατειπεῖν τοῦ ἀδελφοῦ Ἀντωνίνου, ἡμῶν τὰ αἴτια τῆς λύπης διορθουμένων." πρὸς τούτοις διαθερμανθεὶς τραχέσιν ἐκέχρητο λόγοις, σφαδάζων ὅλος κατὰ τοῦ Ἀντωνίνου, ἐπιμένων τῇ κατηγορίᾳ. παρακαλεῖ ὁ Ἰωάννης Παῦλον τὸν Ἡρακλείας (ἐδόκει γὰρ σπουδάζειν τῷ Ἀντωνίνῳ), ἵν᾽ εἰς φιλίαν αὐτοὺς συνελάσῃ. καὶ ἀναστὰς εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν σὺν τοῖς ἐπισκόποις (ἦν γὰρ καιρὸς τῆς ἱερατείας), δοὺς δὲ τῷ λαῷ τὴν συνήθη τῆς εἰρήνης προσηγορίαν, ἐκάθισεν σὺν τοῖς λοιποῖς ἐπισκόποις. ἐπεισελθὼν δὲ λεληθότως ὁ κατήγορος Εὐσέβιος ἐπὶ παντὸς τοῦ λαοῦ καὶ τῶν ἐπισκόπων ἐπιδίδωσιν ἕτερον λίβελλον τὰ αὐτὰ περιέχοντα, ὁρκίζων τὸν Ἰωάννην ὅρκους φρικτούς, συμπλέξας αὐτοῖς καὶ "τὴν σωτηρίαν τῶν βασιλέων," μετὰ πολλῆς ταραχῆς· ὡς νομίσαι τοὺς λαοὺς διαπτοηθέντας ἐπὶ τῷ ἰταμῷ, ὅτι θανάτου συγχώρησιν παρακαλεῖ αἰτῆσαι τὸν βασιλέα τὸν Ἰωάννην. ὁ δὲ Ἰωάννης θεασάμενος τὴν ἔνστασιν τοῦ ἀνδρός, τὸ ἀτάραχον μνώμενος τῷ λαῷ, ἐδέξατο τὸ βιβλίον καὶ μετὰ τὰ ἀναγνώσματα τῶν θείων λογίων παρακαλέσας Πανσόφιον τὸν Πισιδίας προσαγαγεῖν τὰ δῶρα, αὐτὸς συνεξῆλθεν τοῖς λοιποῖς ἐπισκόποις· παρῃτεῖτο γὰρ ἐπιθόλως ἱερατεύειν, κατὰ τὸ Εὐαγγέλιον, τό, "Ὅταν προσφέρῃς τὸ δῶρόν

σου,” καὶ τὰ ἑξῆς. καὶ διασκεψάμενος μετὰ τὴν λαοῦ ἀπόλυσιν, καθεσθεὶς ἐν τῷ φωτιστηρίῳ σὺν τοῖς λοιποῖς ἐπισκόποις, τὸν κατήγορον προσκαλεῖται, φήσας αὐτῷ ἐπὶ πάντων· “Καὶ πάλιν σοι τὰ αὐτὰ λέγω, ὅτι πολλοὶ ἀπὸ λύπης ἢ ὀργῆς πολλὰ καὶ λέγουσι καὶ γράφουσιν, ἀτονοῦντες περὶ τὰς ἀποδείξεις. εἰ τοίνυν σαφῶς ἐπίστασαι, περὶ ὧν βούλει κατηγορεῖν (οὔτε γὰρ δυνάμενον ἀπωθούμεθα οὔτε μὴ δυνάμενον ἕλκομεν), πρὶν ἀναγνωσθῆναι τὸν λίβελλον, ἔκλεξαι τὸ συμφέρον· μετὰ γὰρ τὸ ἀναγνωσθῆναι καὶ εἰς ἀκοὰς πάντων ἐλθεῖν, πραττομένων ὑπομνημάτων, οὐκέτι σοι ἔξεστιν, ἐπισκόπῳ ὄντι, ζητεῖν ἀβολιτίωνα.” ἐπὶ τούτοις πάλιν ἐνέμεινεν τῇ ἐνστάσει. πρὸς οἷς κελεύουσιν ἀναγνωσθῆναι τὸ βιβλίον· ἀνεγνώσθη τὰ προειρημένα κεφάλαια. λέγουσιν οἱ γέροντες τῶν ἐπισκόπων τῷ Ἰωάννῃ, ἀκούσαντες τὴν δύναμιν τοῦ βιβλίου· “Εἰ καὶ τὰ μάλιστα ἓν τοῦ ἑνὸς κεφαλαίου δυσσεβές ἐστι καὶ ἀπηγορευμένον πανταχόθεν τοῖς ἱεροῖς νόμοις, ἵνα δὲ μὴ δόξωμεν ἐν τοῖς ὑποβεβληκόσι τὴν ἅπασαν σχολὴν ποιεῖσθαι, ἀπὸ τοῦ φρικωδεστέρου ἡ ἐξέτασις γένηται. εἰ γὰρ ἐκεῖνο ἀληθὲς εὑρεθείη, οὐκ ἔστιν ἀντίῤῥησις περὶ τῶν λοιπῶν κεφαλαίων, τῆς ῥίζης ἐκείνου τοῦ κεφαλαίου πᾶν εἶδος κακίας καρποφορούσης, κατὰ τὸν εἰπόντα· ‘Ῥίζα πάντων κακῶν ἐστιν ἡ φιλαργυρία.’ ὁ γὰρ ‘ἐπ᾽ ἀθῴοις δῶρα λαβὼν’ καὶ τὴν τοῦ Ἁγίου Πνεύματος διανομὴν ἀργυρίῳ ἀπεμπολῆσαι νομίσας, πῶς φείσεται ἔτι κειμηλίων ἢ λίθων ἢ χωρίων τῆς ἐκκλησίας;” τότε ὁ Ἰωάννης ἄρχεται τῆς ἐξετάσεως, φήσας τῷ Ἀντωνίνῳ· “Τί λέγεις πρὸς ταῦτα, ἀδελφὲ Ἀντωνῖνε;” ἠρνήσατο ἐξ ἀνάγκης (πῶς γὰρ οἷόν τε ἐκ προοιμίων αὐτῶν τὴν ἰδίαν αἰσχύνην ὁμολογῆσαι). ἠρωτήθησαν οἱ δεδωκότες, ἠρνήσαντο κἀκεῖνοι. ἐπὶ τούτοις ἐπιμελῶς τῆς ἐξετάσεως γιγνομένης μέχρις ὥρας ὀγδόης, ἐκ τεκμηρίων τινῶν ἐμορφοῦτο ἡ δίκη. καταλήγει τὰ τελευταῖα, ὡς εἰκός, εἰς μάρτυρας, ἐφ᾽ ὧν καὶ δεδώκασι καὶ εἴληφεν. οὐ παρῆσαν οἱ μάρτυρες· χρεία γίνεται τῆς τούτων παραστάσεως. ἀποβλέψας εἰς τὸ ἐργῶδες τῆς παραστάσεως ὁ Ἰωάννης προθυμεῖται ἐπὶ καθαρισμῷ τῆς ἐκκλησίας καὶ φειδοῖ τῶν μαρτύρων, δι᾽ ἑαυτοῦ παραγενόμενος εἰς τὴν Ἀσίαν, τὴν ἐξέτασιν συμπεραιῶσαι. θεασάμενος ὁ Ἀντωνῖνος τὸ ἄοκνον Ἰωάννου καὶ τὸ ἀδέκαστον, ὡς ἅτε συνειδὼς ἑαυτῷ, ὑπεισελθὼν εἰς ἕνα τῶν κρατούντων, οὗ καὶ τῶν γηδίων ἐφρόντιζε τῶν ἐν τῇ Ἀσίᾳ, παρακαλεῖ αὐτὸν ποιῆσαι ἐπισχεθῆναι τὸν Ἰωάννην, ἵνα μὴ ἀπέλθῃ εἰς τὴν Ἀσίαν, ὑποσχόμενος τὴν τῶν μαρτύρων

παράστασιν. ὃς ἐξαυτῆς παρασκευάζει δηλωθῆναι ἐκ τοῦ παλατίου τῷ ἐπισκόπῳ Ἰωάννῃ τάδε· “Ἄτοπόν ἐστι πρᾶγμα, ἐπίσκοπόν σε ὄντα καὶ τῶν ψυχῶν ἡμῶν προστάτην, ἐν τοσαύτῃ προσδοκίᾳ θορύβου καταλείψαντα τὴν πόλιν, στείλασθαι τὴν ἀποδημίαν τὴν εἰς τὴν Ἀσίαν, εὐχερῶς τῶν μαρτύρων διαγομένων.” -ἦν δὲ ὁ Γαϊνᾶς, ὁ βάρβαρος, ὁ προσδοκώμενος θόρυβος. καὶ τί γάρ; ἵνα μὴ μακρηγορήσω, πείθεται ἀπομεῖναι, φροντίζων ὁμοῦ καὶ τῆς δίκης καὶ τῆς συντριβῆς τῶν μαρτύρων. ἑρμαῖον δὲ τῷ κατηγορηθέντι ὑπῆρχεν ἡ εἰς τοὺς μάρτυρας ἀναβολή, οὓς ἐδύνατο φυγαδεῦσαι ἢ ἀργυρίῳ ἢ δυναστείᾳ. ταῦτα προεορακὼς ὁ Ἰωάννης σκέπτεται μετὰ τῆς παρούσης συνόδου τινὰς τῶν παρόντων ἐπισκόπων ἀποσταλῆναι εἰς τὴν Ἀσίαν ἐπὶ ἐρωτήσει τῶν μαρτύρων. ἐξαυτῆς οὖν ὡρίσθησαν τρεῖς ἐπίσκοποι κατελθεῖν, Συγκλήτιος μητροπολίτης Τραϊανουπόλεως καὶ Ἡσύχιος ὁ Παρίου καὶ Παλλάδιος ὁ Ἑλενουπόλεως, διαλαλησάσης τῆς συνόδου ἐν τοῖς ὑπομνήμασιν, ὡς τὸν ἐντὸς δύο μηνῶν μὴ ἀπαντήσαντα καὶ συστάντα τοῖς ἑαυτοῦ δικαίοις ἐν Ὑπαίποις τῇ Ἀσιανῶν πόλει (διὰ τὸ ἐκ γειτόνων εἶναι καὶ τοὺς ἐλεγχομένους καὶ τοὺς λοιποὺς τῶν ἐπισκόπων τοὺς ὀφείλοντας συνδικάσαι τοῖς περὶ Συγκλήτιον), τοῦτον ἀκοινώνητον γίνεσθαι. πρὸς τούτοις κατῆλθον οἱ τυπωθέντες Συγκλήτιος καὶ Παλλάδιος ἐν Σμύρνῃ· ὁ γὰρ Ἡσύχιος φίλος ὢν τοῦ Ἀντωνίνου προσεποιήσατο κεκακῶσθαι. ἐξαυτῆς δὲ γράψαντες ἐσήμαναν ἀμφοτέροις τοῖς μέρεσιν τὴν ἑαυτῶν ἐνδημίαν, ἵνα συνδραμόντες εἰς τὴν ὡρισμένην πόλιν ἐκπληρώσωσι τὰς ὑποσχέσεις. οἱ δὲ πείσαντες ἀλλήλους, ὁ μὲν χρυσίῳ, ὁ δὲ ὅρκῳ, φίλοι γεγόνασι πρὸ τῆς τῶν δικαστῶν παρουσίας. συνδραμόντες δὲ σχήματι ἐν τῇ Ὑπαιπινῶν ἐνόμιζον τοὺς κριτὰς διαπαίζειν ἐπὶ ὑπερθέσει πάλιν τῶν μαρτύρων, ὡς ἐκδημούντων εἰς διαφόρους χρείας. πρὸς τούτοις ἐπερωτῶσιν οἱ δικασταὶ τὸν κατήγορον· “Ἐντὸς οὖν ποσῶν ἡμερῶν διάγεις αὐτούς; καὶ ἐκδεχόμεθα.” νομίσας αὐτοὺς δυσφοροῦντας πρὸς τὴν τῶν ἀέρων ἐπάχθειαν ἀποχωρεῖν (ἦν γὰρ τὸ ἀκραιφνὲς τῆς θερινῆς ὥρας) ὑπέσχετο, ἐντὸς τεσσαράκοντα ἡμερῶν ἐγγράφως ἢ ἄγειν τοὺς μάρτυρας ἢ ὑφίστασθαι τὰ τῶν κανόνων. ἀφεθεὶς οὖν εἰς ἐπιζήτησιν τῶν μαρτύρων, καταλιπὼν τὸ πρᾶγμα, καταλαμβάνει τὴν Κωνσταντινούπολιν, ἐκεῖσε διαλανθάνων. ἐξεδέξαντο οἱ κριταὶ τὰς τεσσαράκοντα ἡμέρας, ὡς εἰκός· καὶ ὡς οὐδαμοῦ ἐφάνη, ἐπιστέλλουσι τοῖς πανταχοῦ τῆς Ἀσίας ἐπισκόποις, ποιήσαντες αὐτὸν ἀκοινώνητον, ἢ ὡς λιποτάκτην ἢ ὡς συκοφάντην.

μετὰ δὲ τοῦτο προσεκαρτέρησαν ἄλλας τριάκοντα ἡμέρας καί, ὡς οὐδαμοῦ ἐφάνη, ἀναχωρήσαντες ἦλθον εἰς τὴν Κωνσταντινούπολιν· κἀκεῖ περιτυχόντες αὐτῷ ἐνεκάλουν ἐπὶ τῷ τετολμημένῳ. ὁ δὲ πάλιν ἀῤῥωστίαν σώματος προφασισάμενος ὑπισχνεῖτο τοὺς μάρτυρας. τούτων οὕτω χρονοτριβούντων, ἀποθνήσκει ὁ Ἀντωνῖνος, μεθ᾽ οὗ εἶχεν ὁ Εὐσέβιος τὴν δίκην. αὖθις ψήφισμα ἔρχεται ἀπὸ Ἀσίας, τοῦτο μὲν τοῦ κλήρου τῆς ἐκκλησίας τῆς Ἐφεσίων, τοῦτο δὲ τῶν ἐπισκόπων, πρὸς τὸν Ἰωάννην, ἀξίωσιν μεθ᾽ ὅρκου φρικτοῦ περιέχον· "Ἐπειδὴ ἐν τοῖς ἔμπροσθε χρόνοις φύρδην οἵ τε θεσμοὶ καὶ ἡμεῖς ἐποιμάνθημεν, ἀξιοῦμέν σου τὴν τιμιότητα κατελθοῦσαν τύπον ἐπιθεῖναι θεόπεμπτον τῇ Ἐφεσίων ἐκκλησίᾳ ἐκ μακρῶν τῶν χρόνων καταπονηθείσῃ, τοῦτο μὲν ὑπὸ τῶν τὰ Ἀρείου φρονούντων, τοῦτο δὲ ὑπὸ τῶν τὰ ἡμέτερα μετὰ πλεονεξίας καὶ φιλαυτίας αὐχούντων· ἐπειδὴ μάλιστα πολλοὶ οἱ ἐφεδρεύοντες, ὡς λύκοι βαρεῖς, διὰ χρημάτων ἁρπάσαι τὸν θρόνον ἐπειγόμενοι." ὁ δὲ Ἰωάννης ἐν τοσαύτῃ σώματος ἀνωμαλίᾳ καὶ χειμερίας τῆς ὥρας, οὐδὲν πρὸ ὀφθαλμῶν θέμενος λυπηρόν, ἐπὶ καταστάσει μάλιστα νενοσηκότων πραγμάτων ὅλης τῆς Ἀσιανῆς διοικήσεως δι᾽ ἀπειρίαν ἢ ἐρημίαν ποιμένων, τονωθεὶς τῇ προθυμίᾳ, ἐμβὰς εἰς πλοῖον, ἀπαίρει τῆς πόλεως. ἐπιγενομένου δὲ σφοδροῦ ἀνέμου βοῤῥέου, φοβηθέντες οἱ ναυτικοί, ἵνα μὴ εἰς τὴν Προκοννησσὸν ἐκριφῶσι, τὸ ἔπαρμα θέντες τῇ βαλλομένῃ, ὑποτρέχουσι τὸ ὄρος τοῦ Τρίτωνος· κἀκεῖσε ῥίψαντες τοὺς κατόχους, ἔμενον ἐκδεχόμενοι νότον, ἵνα παραβάλωσι τῇ Ἀπαμείᾳ. ἐπιμείναντες οὖν δύο ἡμέρας νήστεις ῥεμβόμενοι ἐν τῷ πλοίῳ, τῇ τρίτῃ ἐξῆλθον εἰς τὴν Ἀπάμειαν, ἐν ᾗ ἐξεδέχοντο Παῦλος καὶ Κυρῖνος καὶ Παλλάδιος οἱ ἐπίσκοποι (τούτους γὰρ ἔλαβε συνεκδήμους ὁ Ἰωάννης). διανύσαντες δὲ τῇ πεζικῇ πορείᾳ τὴν ὁδὸν εἰσβάλλουσιν εἰς τὴν Ἔφεσον· καὶ συναγαγόντες τοὺς τῆς Λυδίας ἐπισκόπους καὶ Ἀσίας καὶ Καρίας συντείνοντας εἰς ἑβδομήκοντα ἄνδρας, ποιοῦνται τὴν χειροτονίαν, τῶν πολλῶν ἐκ προθυμίας ἑκουσίου ἀπαντησάντων, μάλιστα Φρυγῶν, ἐπὶ ἀπολαύσει στόματος σοφίας, κατὰ τὸ εἰρημένον· "Σοφία ἐν ἐξόδοις ὑμνεῖται" (τοῦτ᾽ ἔστιν ἐν τοῖς λαλοῦσιν), "ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει" (τοῦτ᾽ ἔστι καρδίαις ταῖς διὰ πολυτρόπων θλίψεων πλατυνθείσαις, κατὰ τό, "Ἐν θλίψει ἐπλάτυνάς με"). -στενοχωρεῖται γὰρ ἡ σοφία ἐν τοῖς τὰ ζιζάνια γεωργοῦσι καὶ τὸν λόγον συμπνίγουσιν.

-Κεφάλαιον ΙΕ΄.

Τούτων οὖν οὕτως ἐχόντων, προσῆλθεν ὁ τῆς μακρηγορίας ἡμῖν αἴτιος τοῖς ἐπισκόποις πᾶσιν Εὐσέβιος, ὁ κατήγορος τῶν ἓξ λοιπῶν ἐπισκόπων, ἀξιῶν δεχθῆναι εἰς κοινωνίαν. προσαντιλέγουσί τινες τῶν ἐπισκόπων, μὴ δεῖν αὐτὸν δεχθῆναι ὡς συκοφάντην. ἐπὶ τούτοις ἱκετεύει λέγων· "Ἐπειδὴ ἡ δίκη τὸ πλεῖστον μέρος ἐπὶ δύο ἔτη ἐβασανίσθη, εἰς μάρτυρας δὲ γεγένηται ἡ ὑπέρθεσις, δέομαι τῆς ὑμετέρας θεοσεβείας σήμερον πάραυτα δοῦναί με τοὺς μάρτυρας. εἰ γὰρ καὶ Ἀντωνῖνος ἐτελεύτησεν ὁ λαβὼν τὸ χρυσίον καὶ χειροτονήσας, ἀλλ᾿ οὖν γε μένουσιν οἱ δεδωκότες καὶ χειροτονηθέντες." ἐδικαίωσεν ἡ παροῦσα σύνοδος ζητηθῆναι τὸ πρᾶγμα. ἄρχεται ἡ ὑπόθεσις ἐξ ἀναγνώσματος τῶν πρώην πραχθέντων ὑπομνημάτων. εἰσῆλθον οἱ μάρτυρες, εἰσῆλθον καὶ ἓξ τῶν δεδωκότων καὶ χειροτονηθέντων. ἐν μὲν τῇ ἀρχῇ ἠρνοῦντο· ἐπιμενόντων δὲ τῶν μαρτύρων, τῶν μὲν λαϊκῶν, τῶν δὲ καὶ πρεσβυτέρων, οἷς ἔδοξαν τεθαῤῥηκέναι, καὶ γυναικῶν τινων, καὶ τὰ εἴδη τῶν ἐνεχύρων λεγόντων, καὶ τοὺς τόπους καὶ τοὺς καιροὺς καὶ τὴν ποσότητα, οὐ πάνυ καλῶς διακειμένης αὐτῶν τῆς συνειδήσεως, αὐθαίρετοι ὁμολογοῦσι δίχα πολλῆς ἀνάγκης, ὅτι "Δεδώκαμεν, ὡμολόγηται, καὶ γεγόναμεν, τοιαύτην νομίσαντες εἶναι ἀκολουθίαν, ἵνα δόξωμεν τοῦ βουλευτηρίου ἐλευθεροῦσθαι. καὶ νῦν δεόμεθα, εἰ μὲν ἔστιν ὅσιον, ἡμᾶς εἶναι ἐν τῇ λειτουργίᾳ τῆς ἐκκλησίας· ἐπεὶ κἂν τὸ χρυσίον, ὃ δεδώκαμεν, ἵνα λάβωμεν· τῶν γὰρ γυναικῶν ἡμῶν τινες δεδώκαμεν σκεύη." ὁ Ἰωάννης πρὸς ταῦτα ὑπέσχετο τῇ συνόδῳ, ὅτι "Τοῦ μὲν βουλευτηρίου ἐγὼ αὐτοὺς σὺν Θεῷ ἀπαλλάξω, ἀξιώσας τὸν βασιλέα· ὑμεῖς δὲ προστάξατε αὐτοὺς λαβεῖν ὃ δεδώκασιν παρὰ τῶν Ἀντωνίνου κληρονόμων." προσέταξεν ἡ σύνοδος, τὸ μὲν χρυσίον αὐτοὺς λαβεῖν παρὰ τῶν κληρονόμων Ἀντωνίνου, κοινωνεῖν δὲ ἔνδον τοῦ θυσιαστηρίου, εἶναι δὲ ἀπὸ ἱερέων, ἵνα μὴ τούτων συγχωρηθέντων ἔθος γένηται Ἰουδαϊκὸν ἢ Αἰγύπτιον, τοῦ πωλεῖν καὶ ἀγοράζειν τὴν ἱερωσύνην. φασὶ δὲ τὸν λυμεῶνα καὶ ψευδώνυμον πατριάρχην τῶν Ἰουδαίων κατ᾿ ἔτος ἀμείβειν, ἢ καὶ παρ᾿ ἔτος, τοὺς ἀρχισυναγώγους ἐπὶ συλλογῇ τοῦ ἀργυρίου, ὁμοίως δὲ καὶ τὸν ζηλωτὴν τούτου τῶν Αἰγυπτίων πατριάρχην, ἵνα πληρωθῇ τὸ προφητικόν· "Οἱ ἱερεῖς αὐτῆς μετὰ δώρων ἀπεκρίνοντο, καὶ οἱ

προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο.” τούτων πάντων ἐστὶ καὶ ὑπομνήματα καὶ οἱ κρίναντες. καὶ οὐκ εἰς μίαν ἡμέραν γεγένηται, ὡς ἐψεύσατο ὁ Θεόφιλος, ἡ ἐξέτασις, ἀλλ᾽ ἐπὶ δύο ἔτη. καὶ ἔστερξαν οἱ καθαιρεθέντες, τῆς μελλούσης κρίσεως ἐλευθερωθέντες, ὡς τὸν ἕνα ἐξ αὐτῶν ἔκδικον δημοσίων γενέσθαι πραγμάτων· καὶ εἰς τοὺς τόπους αὐτῶν ἕτεροι ἀείπαιδες ἀντεισήχθησαν, βίῳ καὶ λόγῳ κεκοσμημένοι. καὶ οἱ γεννάδες καὶ φιλόνεικοι μετὰ τὴν Ἰωάννου ἐξορίαν λαβόντες ὃ ἔλαβον (οὐ γὰρ ἔχει ὄνομα ἡ κακία, ὥσπερ οὐδὲ οὐσίαν), τοὺς μὲν πρὸ τετραετίας ῥιφέντας πάλιν εἰσέφρησαν εἰς τὰς ἐκκλησίας, τοὺς δὲ ἐνθέσμως ἐνθρονισθέντας ἐξέωσαν ἐπὶ σκορπισμῷ τῶν τοῦ Χριστοῦ προβάτων. τὸ μέντοι γελοιωδέστατον πάντων, μᾶλλον δὲ θρήνου ἄξιον, ἐὰν ἀκούσῃς, Θεόδωρε φιλομαθέστατε, “Ἠχήσει μέν σου,” κατὰ τὸν προφήτην, “ἀμφότερα τὰ ὦτα,” ἀποκλαύσεις δέ, φιλόθεος ὤν, τοὺς μαινομένους τῶν ἐπισκόπων, ἐσκοτισμένῃ χειρὶ λυμαινομένους τὰς δωρεὰς τοῦ Χριστοῦ. ἃς γὰρ μετὰ νηστείας καὶ δεήσεως καὶ δοκιμασίας κλήρου καὶ φόβου οἱ περὶ Πέτρον καὶ Ἰωάννην ἐποίουν χειροτονίας, αὐτοὶ τὸ ἐναντίον μετὰ κραιπάλης καὶ μέθης καὶ δώρων οἰκτρῶν τὰ τῶν ἀνθρώπων ἐκτρώματα, ἃ μήτε χοίρων ἀλόγων ἢ κυνῶν ἄξια, κατὰ τὸν προφητεύσαντα περὶ αὐτῶν Ἰὼβ ἐκ προσώπου τοῦ Σωτῆρος· “Οὓς οὐχ ἡγησάμην ἀξίους κυνῶν τῶν ἐμῶν νομάδων, οἱ ὑπὸ φρύγανα διῃτῶντο.” οἱ τοίνυν μετὰ μιμάδων καὶ Ἰουδαίων, ὡς φίλοι τοῦ Σωτῆρος, παρὰ τῶν σοφῶν τὰ ἀπόῤῥητα τῆς ἱερωσύνης καταπιστεύονται· δι᾽ οὓς καὶ τοὺς εὐκτηρίους οἴκους φεύγουσιν οἱ λαοὶ τῶν ὀρθοδόξων. ἔφθασεν γὰρ πάντως τὸ καινὸν καὶ κουφωδέστατον τοῦ τολμήματος καὶ μέχρις ὑμῶν τῆς κατὰ Ἔφεσον ἐκκλησίας· πῶς γὰρ οὔ; -παραθαλασσίας οὔσης καὶ ῥᾳδίως διαπορθμευούσης τὰς φήμας. εἰς τὸν τόπον γάρ- μᾶλλον δὲ εἰς τὸν Ἰωάννου τοῦ τὸ Εὐαγγέλιον γράψαντος, τοῦ εἰς τὸ τῆς σοφίας στῆθος πιστῶς ἐπαναπεσόντος, περὶ οὗ γέγραπται· “Ὃν ἠγάπα ὁ Ἰησοῦς”· ὃν Τιμόθεος, ὁ Παύλου μαθητής, πρὸς ὃν αἱ δύο φέρονται τοῦ ἀποστόλου Ἐπιστολαί, διαδέχεται -”βδέλυγμα ἐρημώσεως” ἀντεισάγεται. χειροτονήσαντες γὰρ τὸν Βίκτορος τοῦ τριβούνου εὐνοῦχον ἐνεθρόνισαν, καὶ τὸν ὑπὸ ἑβδομήκοντα ἐπισκόπων ἐνθρονισθέντα ἐν εἱρκτῇ δαπανῶντες μέχρι τῆς δεῦρο, ἄνδρα μονάσαντα ἐν τῇ ἐρήμῳ, ἀπὸ ἐγκυκλίων ἠγμένον μαθημάτων, καὶ τῶν θείων Γραφῶν ἐντὸς γενόμενον, καὶ διακονήσαντα ἔτη τρία. καὶ

εἴθε ὁ χειροτονηθεὶς εὐνοῦχος διὰ βίου σεμνοῦ ἦν ἠγμένος, καὶ ἡμίκακον ἦν τὸ κακόν· νυνὶ δέ, γῆς ἔντερον, γαστρίδουλον, θηλυμανές, ἰταμόν, μέθυσον, πορνοκόπον, ἀργυρώνητον, ἀνελεύθερον, φιλάργυρον, πρὸς αὐτῇ τῇ γενέσει σιδηροκατάδικον, ἄνανδρον, ἄθηλυ, ἐπιμανές· (καθὼς ἤκουσα πολλάκις) τὰ θεατρικὰ κοράσια ἐπ᾽ ὤμων βαστάσαντα ἐν σατυρικοῖς συμποσίοις, κισσῷ τὴν κεφαλὴν ἐστεμμένον καὶ κρατῆρα ἐν τῇ χειρὶ ἐνημμένον οἰνοχοηκέναι ἐν προσχήματι τοῦ μυθικοῦ Διονύσου. ταῦτα δὲ πάντα ἔπραξεν οὐ πρὸ τῆς εἰς Χριστὸν μυσταγωγίας, ἀλλὰ μετὰ τὸ φώτισμα· ὃς αἰνίσσεται διὰ τούτων μηδὲ τῇ ἀναστάσει πιστεύειν. τῆς γὰρ ἀναστάσεως τὸν θεμέλιον σαθρώσας, πῶς οὗτος ἐπὶ ταύτῃ πιστεύει; ὁ δὲ μὴ πιστεύων τῇ ἀναστάσει, πῶς κῆρυξ γένηται τῆς ἀναστάσεως, κατὰ τὸν εἰπόντα· “Πῶς δὲ κηρύξωσιν, ἐὰν μὴ πιστεύσωσιν;” οὗτος σωφρονεῖ μὲν ἄμισθα διὰ σιδήρου, μαίνεται δὲ ἄκαρπα δι᾽ οἰκείαν αἰσχρότητα. ταῦτα δέ ἐστι τὰ κατὰ τὴν Ἀσίαν γεγενημένα, περὶ ὧν ἐπηρώτησας, διὰ τὸν γράψαντα Θεόφιλον δέκα ἓξ ἐπισκόπους καθῃρηκέναι τὸν Ἰωάννην. ἔσο οὖν εἰδὼς ἐπὶ τῆς ἀληθείας, ὅτι ἕξ εἰσι. τούτων ἐστὶ καὶ τὰ ὑπομνήματα σωζόμενα παρ᾽ ἡμῖν μετὰ ὑπογραφῆς τῶν εἴκοσι δύο ἐπισκόπων τῶν τὴν ἀρχὴν ἀκουσάντων καὶ τῶν ἑβδομήκοντα τῶν καθελόντων καὶ τὴν δίκην περαιωσάντων.

-Κεφάλαιον ΙΣΤ΄.

Ο ΔΙΑΚΟΝΟΣ. Σύγγνωθί μοι, πάτερ, ὑπερβαίνει μέθην καὶ μανίαν καὶ παίγνιον τὰ τοιαῦτα. οἱ μὲν γὰρ μαινόμενοι καὶ μέθυσοι καὶ οἱ παῖδες, οἱ μὲν μετὰ τὴν νῆψιν, οἱ δὲ μετὰ τὴν πέψιν, οἱ δ᾽ ἄλλοι μετὰ τὴν ἔννομον ἡλικίαν ἀρνοῦνται, ἐπαισχυνόμενοι τοῖς αἰσχρῶς ἢ ἀτάκτως γεγενημένοις ἢ λελεγμένοις· οὗτοι δὲ ἐν ἡλικίᾳ τελείᾳ καὶ δοκούσῃ νήψει δεδρακότες, οὐ μόνον οὐ μεταμελοῦνται ἐπὶ τοῖς πραχθεῖσιν, ἀλλ᾽ ἔτι εὔχονται ἀσάλευτον καὶ βεβαίαν διαμεῖναι τὴν ἑαυτῶν κακοπραγίαν. οἱ γὰρ μὴ φρίξαντες Εὐαγγέλιον ἐπιθεῖναι ἐναγεῖ κεφαλῇ, εἰς ἣν γυναικῶν αἱ ἀνήμεροι ἐπωρχήσαντο, τίσιν ἄλλοις συναριθμήσονται, ἢ τοῖς τὸν ἀκάνθινον στέφανον τῷ Υἱῷ τοῦ Θεοῦ περιθεῖσιν; αὐτὸς δὲ εἰ οἶσθα τὸν τρόπον τῆς καταστάσεως Πορφυρίου τοῦ Ἀντιοχέων, ἢ τοὺς καταστήσαντας, ἢ τὸν πάλαι τοῦ ἀνθρώπου βίον, εἰ ἄσημος ἢ ἐπίσημος, τά τε δόγματα, εἰ ἀληθῆ ἢ

ψευδῆ, ἀπάγγειλον ἡμῖν· ἐπειδὴ μάλιστα καὶ γεγράφηκεν τῇ ἐκκλησίᾳ Ρωμαίων, καὶ ἀντιγράφων οὐκ ἠξιώθη.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ὁ αὐτὸς ἔσται μοι λόγος τῆς ἀληθείας, οὐ γὰρ ἐπιλήσομαι τῆς τοῦ Δεσπότου φωνῆς τῆς λεγούσης· "Περὶ παντὸς λόγου ἀργοῦ δώσουσι λόγον οἱ ἄνθρωποι ἐν ἡμέρᾳ κρίσεως." ἐγὼ δὲ προσπλέξας τολμηρῶς εἴποιμι· "Καὶ περὶ πάσης ἀργῆς ἀκοῆς." ὡς γοῦν καὶ σεαυτὸν ἀσφάλισαι, εἴ τι οὐ συνορᾷς με ἀληθεύειν, μὴ τῇ πολιᾷ μου ἡττώμενος, ἀλλὰ τῇ τῶν πραγμάτων φύσει. τί γάρ μοι ἐκ τῶν σήμερον ἢ ἐκ τῶν χθὲς εἰρημένων ὄφελος ψευσαμένῳ, εἰς αἰῶνα ἐνώπιον τῆς ἀκριβοῦς δίκης καταισχυνομένῳ; πῶς δὲ ὑποίσω τὸν μυλικὸν λίθον τῆς καταλαλιᾶς ἐν τῷ τραχήλῳ τῆς διανοίας, εἰς τὸν βυθὸν τῆς γεέννης κατασπώμενος, ἐπὶ τοῖς διὰ τῶν ψευσμάτων μου σκανδαλισθεῖσιν; Πορφύριος οὗτος ἐν μὲν τῇ ἐκκλησίᾳ ἐχρόνισεν καὶ διακονήσας καὶ ἱερατεύσας ἐν τῷ πρεσβυτερίῳ, τῶν μέντοι χρόνων ἀλλότριον τὸ ἦθος φέρων, εἰς οὐδὲν πνευματικὸν ἐχρησίμευσέ ποτε τῇ ἐκκλησίᾳ· τοῖς δὲ περιχωρίοις τῶν εὐλαβῶν ἐπισκόπων ἀεὶ ἀντιπράττων, ὡς ἅτε μεγίστης ὢν πόλεως, καὶ ἔχων τοὺς ἄρχοντας ἐπ᾿ ἐξουσίας, τὸ πρᾶγμα ἐκαπήλευεν· ἐπιβουλεύων δὲ ταῖς σεμναῖς χειροτονίαις, ὑπεισήρχετο τῇ τῶν τρόπων δεινότητι τοὺς κατὰ καιρὸν ἐπισκόπους (ὡς ἂν εἴποι τις) καὶ ἄκοντας κατασπῶν ἐπὶ τὰς ἀνεμοφθόρους ἄγων χειροτονίας. δεινὸν γὰρ ἡ κολακεία, κατὰ τὸν κωμικὸν Μένανδρον, μετὰ δυστροπίας συγκεκλωσμένη, καθὼς λέγει· "Χαλεπόν, Παμφίλη, ἐλευθέρᾳ γυναικὶ πρὸς πόρνην μάχεσθαι. πλείονα οἶδεν, πλείονα κακουργεῖ, αἰσχύνεται οὐδένα, κολακεύει μᾶλλον"· κατὰ δὲ τὸν σοφὸν Σολομῶντα, "Λόγοι κερκώπων μαλακοί, αὐτοὶ δὲ τύπτουσιν εἰς ταμεῖα κοιλίας." σωφροσύνης μὲν γὰρ τῆς κατὰ τὰς σαρκικὰς ἡδονὰς οὐ μόνον ξένος, ἀλλὰ καὶ ἐχθρός, καθάπερ γὺψ μύρου, καθέστηκεν, ὡς κρατεῖν αὐτοῦ φήμην καὶ τῆς κατὰ Σόδομα κακομανίας. νόμων γὰρ καὶ μέτρων καὶ τειχῶν κειμένων παρὰ τῆς φύσεως ἐπὶ ταῖς ἡδοναῖς, ὥς φασιν οἱ πολλοί, πατήσας μὲν τὸ τεῖχος, συντρίψας δὲ τὸ μέτρον, ἐνυβρίσας δὲ τὸν νόμον, ταύτην ἀπεκύησε τὴν ὑπόληψιν, τῶν γοήτων καὶ ἡνιόχων καὶ τῶν τὰ παλαιὰ δι᾿ ἀσχήμου κινήσεως μετ᾿ ἐκστροφῆς σκέλους δεικνυόντων προϊστασθαι καὶ συνεστιᾶσθαι. γόησι μὲν γὰρ συναγωνίζεσθαι καὶ φιλικῶς συμβαλεῖν οὐ διετράπη, ὡς καὶ ἐν ὑπομνήμασι διαφόρων ἀρχόντων ἐμφέρεσθαι ἐγκλήματα, οὐκ ἀνεγνωκὼς τὸ γνωμικόν· "Ἃ μὴ δεῖ ποιεῖν, μηδ᾿ ὑπονοοῦ ποιεῖν." [δι᾿

ὃν καὶ ὁ μεσίτης πληγαῖς ἀνῃρέθη, καὶ ὁ εὑρὼν ἐξωρίσθη, καὶ ὁ γόης ἐφυγαδεύθη.] φασὶ δέ, πρὸς ταῖς προλαβούσαις κακοπραγίαις, μετὰ τὴν χειροτονίαν τὰ κειμήλια χωνεύσας τοῖς ἄρχουσι προσαναλίσκει, ἵνα δόξῃ κρατεῖν οὐ λόγῳ, ἀλλὰ τυραννίδι, τῶν ἀθλίως αὐτῷ παραπεσόντων. τῇ γὰρ Ἰωάννου ἐξορίᾳ τῇ εἰς τὴν Ἀρμενίων συνήκμασεν ὁ θάνατος Φλαβιανοῦ τοῦ Ἀντιοχέων ἐπισκόπου. θεασάμενος ὁ Πορφύριος τήν τε ἀνδρωνῖτιν καὶ τὴν γυναικωνῖτιν πόθῳ ἐκκρεμαμένην τῷ τραχήλῳ Κωνσταντίου τοῦ πρεσβυτέρου, τοῦ ἐξ ἁπαλῶν ὀνύχων δουλεύσαντος τῇ ἐκκλησίᾳ ἀνδρός, ὡς λέγουσιν οἱ Κριταί, “ἀμφοτεροδεξίου” (καὶ ἡ νομιζομένη γὰρ αὐτοῦ ἀριστερὰ τῆς ἄλλων δεξιᾶς ἀμείνων ὑπῆρχεν)· ὃς τὰ μὲν πρῶτα ἐν ἐπιστολαῖς ὑπηρετήσας, ἄμεμπτος ἀπὸ κέρδους αἰσχροῦ καὶ δώρων εὑρέθη· μετέπειτα δὲ ἐπὶ τὸν ἀναγνώστην καὶ διάκονον φθάσας, ἀκόπως ἐκράτησεν τῆς ἐν ἀνθρώποις βασιλευούσης τῶν γυναικῶν ἡδονῆς, ὡς λέγει ὁ παροιμιαστής· “Χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς.” τὸ μὲν γὰρ κρατεῖν ἔστιν ἴσως καὶ τῶν ἐπὶ πλεῖστον φαύλων ἢ φόβῳ ἢ αἰσχύνῃ τὴν διὰ σώματος ἐνέργειαν κωλυόντων μετὰ πολλῆς τῆς ἀνάγκης, τῷ δὲ ἔρωτι τῶν ἄνω μὴ ἡττηθῆναι τοῖς κάτω μόνον ἐστὶ τῶν φιλοθέων, οὓς καὶ “ἐκλεκτοὺς” ὠνόμασεν ἡ Γραφή, τό, “Χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς,” εἰποῦσα. πραῢς μὲν γάρ ἐστιν, εἰ καί τις ἄλλος, ἀσκητής, διορατικός, ὀξὺς συνιδεῖν, βραδὺς εἰς κόλασιν, σύνους, τὸ σκεπτικὸν ἀεὶ αἰνιττόμενος, ἐλεήμων, ἀφιλάργυρος, δίκαιος εἰς τὰς κρίσεις, μακρόθυμος εἰς τὰς ὕβρεις, εὔτονος εἰς τὸ πεῖσαι, παρατείνας πολλάκις νήστης ἕως ἑσπέρας, ἵν᾽ ἐλευθερώσῃ καταπονουμένους, σεμνὸς ἰδεῖν, δριμὺς τὸ βλέμμα, ὀξὺς τὸ βάδισμα, ἄγαμος, ὡς εἰκός, ἄνθος μειδιῶν ἐπὶ προσώπου σώζων καὶ ἐν αὐταῖς ταῖς νόσοις. τοῦτον οὖν τὸν τοιοῦτον παρασκευάζει διὰ χρημάτων φυγαδευθῆναι τῷ τρόπῳ τούτῳ· ἀποστείλας εἰς τὸ στρατόπεδον πρὸς τοὺς κρατοῦντας τῶν ἐπισκόπων ποιεῖ αὐτὸν ἀπὸ γράμματος βασιλικοῦ εἰς Ὄασιν ἐξορισθῆναι ὡς ἀναστάτην τῶν δήμων. ὃς ἐξαυτῆς γνοὺς διασώζεται παρὰ τῶν φίλων ἐπὶ τὴν Κύπρον. αὐτὸς δὲ ὁ Πορφύριος τοὺς περὶ Κυριακὸν καὶ Διόφαντον τοὺς πρεσβυτέρους καὶ λοιποὺς κληρικοὺς ὑπὸ τὴν τάξιν ποιήσας, ἐπιτηρεῖ καιρόν, ἐν ᾧ πᾶσα ἡ πόλις μεθωρμίζετο ἐν τοῖς τῆς πόλεως προαστείοις, ἔχων παρ᾽ ἑαυτῷ τοὺς περὶ Ἀκάκιον καὶ Σευηριανὸν καὶ Ἀντίοχον κεκρυμμένους, μιᾶς τῶν παρὰ τοῖς ἔθνεσιν ἐπισήμων ἑορτῶν διὰ τετραετίας ἐπιτελουμένων τῶν Ἡρακλείων ἄθλων, Ὀλυμπίων καλουμένων, ἐν ᾗ -ὡς εἰπεῖν- καὶ

γυναικῶν αἱ νομάδες σὺν τοῖς δήμοις ἐκριπίζονται ἐπὶ τὴν Δάφνην ἐπὶ θέᾳ τῶν ἀγωνιζομένων. ἐπεισπηδήσας τῇ ἐκκλησίᾳ μετὰ τῶν προειρημένων ἐπισκόπων καὶ κληρικῶν ὀλίγων χειροτονεῖται λάθρᾳ, θυρῶν κεκλεισμένων, μετὰ πολλῆς τῆς σπουδῆς, ὡς μηδὲ τὴν εὐχὴν αὐτοὺς φθάσαι ἐπιτελέσαι, φόβῳ τοῦ καταληφθῆναι (τοιοῦτον γὰρ ἡ μοιχεία, τὰ σπούρια καὶ γεννῶσα καὶ δρῶσα). οἱ δὲ περὶ Σευηριανὸν “λαβόντες τὸ ἱκανὸν” δι᾽ ὀρέων καὶ ἀνοδιῶν ἔφυγον, τὸν ἀνθρώπινον διαδράσαντες φόβον, τῷ δὲ θείῳ, ὃν ἠγνόησαν, περιπαρέντες. λυθέντος δὲ τοῦ δημοτικοῦ θεάτρου καὶ τῶν δήμων εἰσελθόντων εἰς τὴν πόλιν, ἠγγέλθη αὐτοῖς τὸ κατὰ τὸν Πορφύριον πάθος καὶ τὸ κατὰ Ἀκάκιον δρᾶμα. διακαρτερήσαντες οὖν τὴν ἑσπέραν ἐκείνην ἐπὶ τὴν αὔριον, ὡς ἐπὶ μοιχείᾳ πληγέντες, διαναστάντες συνέρρευσαν πάντες μετὰ πυρὸς καὶ φρυγάνων, συναφανίσαι τὸν Πορφύριον τοῖς δωματίοις βουληθέντες. ὁ δὲ Πορφύριος οὐκ ἀγνοῶν ὃ μεμίσηται μῖσος, καταλείψας τὸν Θεόν, καταφεύγει ἐπὶ τὸν στρατοπεδάρχην καὶ πληρώσας αὐτοῦ τὰς χεῖρας ἀντιστρατεύει τοῖς ἀκροαταῖς τοῦ Σωτῆρος, ἀποστρέψας τῶν Ἰσαυρικῶν πολέμων. καὶ οἱ μὲν ληστρικώτατοι Ἴσαυροι Ρωσὸν καὶ Σελεύκειαν ἐπόρθουν, Πορφύριος δὲ καὶ Οὐαλεντῖνος ὁ κόμης μετὰ τῶν ὁπλιτῶν τὴν ἐκκλησίαν τῶν ὀρθοδόξων ἐλεηλάτουν, τὸ φρικωδέστατον τοῦ σταυροῦ σημεῖον, ὃ ἀντὶ διδασκάλου ἐπ᾽ ὤμων φέροντες ἐπὶ τῆς ἀσπόρου ἐλιτάνευον, τοῖς ἑαυτῶν ποσὶ συμπατήσαντες. διαγενομένων δὲ ἡμερῶν, ἀποστέλλει ἐν τῷ στρατοπέδῳ σπουδαίως καὶ παρασκευάζει πρὸς τοῖς τοιούτοις ἄρχουσιν ἴδιόν τινα ὠμογέροντα, δύστροπον, σκολιόν, χειροτονηθῆναι νυκτέπαρχον, ἵνα ἐπ᾽ ἀδείας ἔχων τοῦ συκοφαντεῖν τοὺς σπουδαίους χειρώσηται τὴν πόλιν, Νέρωνος τοῦ θεομάχου ἀπομιμούμενος τοὺς τρόπους. οὐ γὰρ πάρεστιν αὐτῷ τὸ λόγῳ πείθειν, ἀλλὰ ἀλογίᾳ καὶ δυσμενείᾳ θλίβειν, οὐκ ἔχοντι σκοπὸν ἀρέσαι Θεῷ, πλανωμένας προσάγοντι ψυχάς, ἀλλ᾽ ἐμπλῆσαι ὀφιώδη γαστέρα ἐπὶ τῷ στήθει βαδίζουσαν. εἰσὶν οὖν καὶ ἄκοντες οἱ λαοὶ τῷ μὲν δοκεῖν συναγόμενοι φόβῳ τῶν αἰκισμῶν ἐν τῇ ἐκκλησίᾳ, τῇ δὲ ἀληθείᾳ δυσφημοῦντες αὐτῶν τὴν ζώην, ἕξειν τὴν παρὰ τοῦ Θεοῦ ἀντίληψιν ἀναμένοντες.

Πρὸς ταῦτα ὁ Θεόδωρος ἐκπληττόμενος ἔλεγε·

Ο ΔΙΑΚΟΝΟΣ. Παρὰ φύσιν ὁρῶ τῶν λόγων τὰ πράγματα, πάτερ. ὡς γὰρ ἐπὶ τὸ πλεῖστον οἱ κενόδοξοι, ἀνθρωπάρεσκοι ὄντες, καὶ κόλακες εὑρίσκονται καὶ τραπέζας πολυτελεῖς ἐπιτεχνῶνται, τοῦ

ἀγαπηθῆναι χάριν καὶ καλοὶ ἀκοῦσαι, καὶ ἐμπτυσμάτων ἀνεχόμενοι πολλάκις. πῶς τοίνυν ὁ Πορφύριος, ἢ ἄλλος τις, τὰς ἀπειλὰς καὶ τὰς τιμωρίας καὶ τὰς ἐξορίας ἐξήσκησαν, ἀπορῶ.

Ο ΕΠΙΣΚΟΠΟΣ. Τοῦτο γάρ ἐστι τὸ θαυμαστόν, Θεόδωρε, ὅτι εἰς τοσοῦτον κακίας ἠλάκασι μέτρον, ὡς οὐ μόνον μὴ σπεύδειν ἀρέσκειν ἀνθρώποις, ἀλλὰ καὶ τῆς ὑπὲρ τῶν πραττομένων αἰσχύνης μηδ᾽ ὅλως φροντίζειν· κακία γὰρ κακίας ἐν κακίᾳ προάγει. τότε γὰρ ἡ κακία προβάλλεται τὴν κενοδοξίαν, ὅτε ἐλπίζει κρατεῖν διὰ τῆς κολακείας τῶν ἀνοήτων· ὅταν δὲ ἀνώτεροι εὑρεθῶσιν καὶ κολακείας καὶ τραπέζης οἱ θηρευόμενοι, τὰς ἀπειλὰς καὶ τὰς τιμωρίας προφέρει, ἵν᾽ οὓς οὐκ ἐδελέασεν τραπέζῃ ἢ κολακείᾳ, καταπτήξῃ ἀπανθρωπίᾳ καὶ δέει, ὡς ἐπὶ τῶν μαρτύρων. ἐκεῖ γὰρ ἀμφότερα ἐτεκταίνετο, καὶ ἡ διὰ δώρων καὶ τιμῶν μηχανευομένη παγίς, τοὺς περὶ τὰ δοξάρια κεχηνότας θηρῶσα, καὶ ἡ διὰ κολάσεων ἀπειλή, τήγανα καὶ ἀρθρέμβολα καὶ θηρία καὶ ὅσα περὶ σφοδρὰν ὀδύνην ἐπιτήδεια εὐτρεπίζουσα, τοὺς ἀνδρείους καὶ φιλοθέους ἀναδεικνῦσα. ὁ μέντοι κλῆρος ὁ Ἀντιοχέων ὁ ἐπίσημος κεκρυμμένως συνάγει, μηδὲ πλησιάζων τοῖς τοίχοις τῆς ἐκκλησίας, καὶ πᾶσα ἡ ἐπίσημος γυναικωνῖτις, δι᾽ ἃς μάλιστα ἔκφρονες γεγόνασιν οἱ ἀργυρολόγοι τῶν ἡγουμένων. περὶ δὲ τῶν Κωνσταντινουπόλεως τί δεῖ καὶ λέγειν, ὅσον πλῆθος ἀπέστη τῆς ἐκκλησίας, συνάγον ἐν τῷ ὑπαίθρῳ, ὡς προειρήκαμεν, ὡς μηδὲ τοὺς κρατοῦντας τῶν ἐκκλησιαστικῶν πραγμάτων ἔχειν τοσούτους ἀκροατὰς τῆς σιγῆς; -λόγος γὰρ οὐδαμοῦ παρ᾽ αὐτοῖς.

Ο ΔΙΑΚΟΝΟΣ. Ἠλευθέρωσάς μου τὴν διάνοιαν, πάτερ, τῇ ἀμφιβολίᾳ δεδουλωμένην, τοῖς ὀφθαλμοῖς μου παραστήσας τὰ πράγματα. ἡ γὰρ συμφωνία τῶν λόγων καὶ ἡ ἄσκηπτος διήγησις ἐπληροφόρησέν με ἀληθῆ εἶναι τὰ γεγενημένα· ἀδύνατον γὰρ ψευδῆ λόγον ἑαυτῷ συμφωνῆσαι. ἀνεπαχθῶς τοίνυν διήγησαι ἡμῖν καὶ τὰ κατὰ τὴν Ὀλυμπιάδα, εἴ γέ τίς σοι γνῶσις.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ποίαν ταύτην; ἐπειδὴ εἰσι καὶ ἕτεραι.

Ο ΔΙΑΚΟΝΟΣ. Τὴν διάκονον Κωνσταντινουπόλεως, νύμφην ποτὲ γενομένην Νεβριδίου τοῦ ἀπὸ ἐπάρχων.

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ πάνυ γε οἶδα.

Ο ΔΙΑΚΟΝΟΣ. Ποταπὴ γυνὴ τυγχάνει οὖσα;

Ο ΕΠΙΣΚΟΠΟΣ. Μὴ λέγε “γυνή,” ἀλλ᾽ “οἷος ἄνθρωπος”· ἀνὴρ γάρ ἐστι παρὰ τὸ τοῦ σώματος σχῆμα.

Ο ΔΙΑΚΟΝΟΣ. Ἐν τίνι;

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἔν τε βίῳ καὶ πόνοις καὶ γνώσει καὶ τῇ τῶν περιστάσεων ὑπομονῇ.

Ο ΔΙΑΚΟΝΟΣ. Πῶς οὖν ὁ Θεόφιλος αὐτὴν ἐλοιδόρησεν;

Ο ΕΠΙΣΚΟΠΟΣ. Ποῖος οὗτος;

Ο ΔΙΑΚΟΝΟΣ. Ὁ Ἀλεξανδρέων ἡγούμενος.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἔοικάς μοι, Θεόδωρε, τοὺς τοσούτους διαύλους τῶν λόγων λήθῃ κεκαλυφέναι.

Ο ΔΙΑΚΟΝΟΣ. Ἐν τίνι;

Ο ΕΠΙΣΚΟΠΟΣ. Ὁ τῆς ἀληθείας μὴ φεισάμενος, ἀλλὰ ταύτην καταπατήσας, ὡς οἱ προάγοντες λόγοι παρέστησαν, καὶ ὁ τὴν ἐκκλησίαν τὴν ὑπ᾽ οὐρανόν, δι᾽ ἣν ὁ μονογενής, τὸ δὴ λεγόμενον, ἐσκύλη, ἵνα ταύτην ἑνώσῃ, μὴ τιμήσας, ἀλλ᾽ ἐνυβρίσας τῷ σχήματι, γυναικὸς ἔχει φείσασθαι χήρας, ἐν προσευχαῖς τὸ ζῆν ἀναλισκούσης; ἐμπερινόστησον καὶ ἴδε εἴ τινά ποτε τῶν κακῶν ἐλοιδόρησεν, μισευλαβὴς ὑπάρχων ἀεί. διὰ τί δὲ καὶ ἐκ τῶν ἐπιστολῶν αὐτοῦ οὐ στοχάζῃ, πῶς εἰσιν ἐναντίαι ἀλλήλαις; Ἐπιφάνιον γὰρ τὸν μακάριον τὸν Κωνσταντίας τῆς Κύπρου ἐπίσκοπον, τριάκοντα ἓξ ἔτη ἄρξαντα τῆς ἐκκλησίας, δυσφημήσας, ὡς αἱρετικὸν ἢ σχισματάριν ἐπὶ Δαμάσου καὶ Σιρικίου τοῦ μακαρίου, ὕστερον ἐν τῇ πρὸς τὸν πάπαν Ἰννοκέντιον ἐπιστολῇ λοιδορῶν τὸν μακάριον Ἰωάννην, εὑρίσκεται ἁγιώτατον ὀνομάζων τὸν Ἐπιφάνιον. ποσάκις δὲ θέλεις καὶ τὰ γόνατα ταύτης ἐφίλησεν, ἐλπίδι τοῦ ἀργυρίου, ἣν νῦν λοιδορεῖ, ἐκείνης χαμαὶ πιπτούσης ἐπὶ τῷ πράγματι καὶ δάκρυα ῥαινούσης, ἐπισκόπου ταῦτα ποιοῦντος; πλὴν ἐν τίνι ἐλοιδόρησεν αὐτήν;

Ο ΔΙΑΚΟΝΟΣ. Ὡς ὑποδεξαμένην τοὺς ὑπ᾽ αὐτοῦ ῥιφέντας μοναχούς.

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ ἔξεστιν ἐπισκόπῳ ἢ πρέπον ὅλως ῥίπτειν τὸν τυχόντα μαθητήν, μήτι γε καὶ μονάζοντα;

Ο ΔΙΑΚΟΝΟΣ. Ὡς ἐὰν παρώξυναν αὐτὸν ἢ κακῶς εἶπον.

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ τὴν ἰδίαν ὀργὴν ὤφειλεν ἐκπληρῶσαι, φροντίζων τῆς κατηγορίας; πῶς ἔτι οὗτος τὰς Χριστοῦ ὕβρεις ζητήσει, ὁ περὶ τὰς ἰδίας ἀσχολούμενος δόξας; διὰ τί δὲ ὅλως τὸν εἰπόντα διδάσκαλον οὐκ ἐμιμήσατο, “Λοιδορούμενοι εὐλογοῦμεν”;

Ο ΔΙΑΚΟΝΟΣ. Τί οὖν, ὡς εἰ ἑτερόδοξοι ὑπῆρχον οἱ μονάζοντες;

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ πάντως ἔδει διορθώσασθαι καὶ πεῖσαι, μὴ γὰρ ῥῖψαι.

Ο ΔΙΑΚΟΝΟΣ. Ὡς εἰ καὶ τοῦτο ἐποίησεν, αὐτοὶ δὲ οὐκ ἐπείσθησαν φιλόνεικοι ὄντες;

Ο ΕΠΙΣΚΟΠΟΣ. Τὸ ἀποστολικὸν ἔδει ποιῆσαι· "Τὸν αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος"· μὴ γὰρ ῥῖψαι καὶ λεηλατῆσαι καὶ ἔξω τῆς θρεψαμένης ἀπελάσαι μετὰ τῆς τῶν ἀρχόντων ἀπειλῆς.

Ο ΔΙΑΚΟΝΟΣ. Τελείου ἀνδρός μοι λέγεις μέτρα καὶ θεοφιλοῦς καὶ ἀνεξικάκου.

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ μὴν οὐκ ἔστι μέγα ἐγκώμιον τὸν ἥττονα βαστάσαι. πλὴν εἰ μὴ ἔστι τέλειος, ὅσον ἥκει, πῶς καὶ ἐπίσκοπος ὁ τοιοῦτος; ἀτελὴς γὰρ ἀτελῶν οὐδέποτε προνοήσει. πῶς δὲ καὶ Θεόφιλος λέγεται, μὴ φιλῶν τὸν Θεόν, δι᾽ ὃν ὤφειλεν τὰς τῶν ἀνθρώπων ὕβρεις ῥᾳδίως φέρειν; εἰ δὲ Θεὸν οὐ φιλεῖ, δῆλον οὐδὲ ἑαυτόν· ὁ δὲ ἑαυτοῦ ἐχθρός, πῶς λοιπὸν ἄλλους φιλήσει; οὐκοῦν οὐδὲν ξένον, εἰ τούτου χάριν ἔψεξεν Ὀλυμπιάδα ὡς τοὺς μονάζοντας δεξαμένην.

Ο ΔΙΑΚΟΝΟΣ. Ὡμολόγηται μέν, ὅτι Θεόφιλος ὀργίλον ἐποίησε πρᾶγμα, ῥίψας αὐτούς, εἴ τινες ἂν εἶεν, εἴτε ὀρθόδοξοι, εἴτε αἱρετικοί· ἡ μέντοι διάκονος οὐκ ὤφειλεν αὐτοὺς ὑποδέξασθαι.

Ο ΕΠΙΣΚΟΠΟΣ. Τί σοι οὖν ἐφάνη; -καλῶς πεποιηκέναι ἢ κακῶς;

Ο ΔΙΑΚΟΝΟΣ. Εἶπον ὅτι κακῶς.

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ ἡ εὐποιΐα κρίνεταί ποτε;

Ο ΔΙΑΚΟΝΟΣ. Καὶ πάνυ γε, ὅταν ᾖ ἐπὶ κακῶν καὶ μὴ ὀφειλόντων εὖ παθεῖν γινομένη.

Ο ΕΠΙΣΚΟΠΟΣ. Τίνες τοίνυν ἦσαν οἱ πεντακισχίλιοι, οὓς ἔθρεψεν ὁ Σωτὴρ ἐκ πέντε ἄρτων κριθίνων, καλοὶ ἢ κακοί;

Ο ΔΙΑΚΟΝΟΣ. Δηλονότι καλοί, ὡς παρὰ τοῦ Σωτῆρος τραφέντες.

Ο ΕΠΙΣΚΟΠΟΣ. Διὰ τί οὖν κριθίνοις ἐτράφησαν, καλοὶ ὄντες;

Ο ΔΙΑΚΟΝΟΣ. Διὰ σπάνην ἴσως πυρίνων καὶ λιμόν.

Ο ΕΠΙΣΚΟΠΟΣ. Πῶς οὖν ὀνειδίζονται ἐπὶ ἀπιστίᾳ, ὡς καλοὶ ἢ ὡς κακοί;

Ο ΔΙΑΚΟΝΟΣ. Εἰ ὀνειδίζονται, ὡς κακοὶ δηλονότι.

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ δύνανται οἱ αὐτοὶ καλοὶ εἶναι καὶ κακοί;

Ο ΔΙΑΚΟΝΟΣ. Καὶ πάνυ γε.

Ο ΕΠΙΣΚΟΠΟΣ. Πῶς;

Ο ΔΙΑΚΟΝΟΣ. Ὡς μὲν πρὸς χείρονας καλοί, ὡς δὲ πρὸς κρείττονας κακοί.

Ο ΕΠΙΣΚΟΠΟΣ. Θαυμασίως εἴρηκας. τούτῳ τοίνυν τῷ τρόπῳ καὶ οἱ μονάζοντες καὶ καλοὶ ἦσαν καὶ κακοί. καὶ ἡ μὲν πιστοτάτη ὡς καλοὺς αὐτοὺς ἐξένισεν· ὁ δὲ θαυμάσιος ὡς κακοὺς ἔῤῥιψεν, ὅπερ οὐκ ἔδει.

Ο ΔΙΑΚΟΝΟΣ. Ἀλλ᾽ ἐρεῖ σοι, ὅτι "Ἐπὶ λύπῃ ἐμῇ ἐδέξω τοὺς ἐχθρούς μου. "

Ο ΕΠΙΣΚΟΠΟΣ. Ὅλως μὲν οὖν ἥττημα αὐτῷ ἐστιν, ὅτι καὶ ἐχθροὺς ὀνομάζει, ὁ χρεώστης τῶν ὕβρεων ὡς Χριστοῦ μιμητής.

Ο ΔΙΑΚΟΝΟΣ. Ποῦ δαὶ ὀνειδίζονται οἱ πεντακισχίλιοι ὑπὸ τοῦ Σωτῆρος, ὡς εἴρηκας; οὐ γὰρ ἀναφέρονται.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἡνίκα συναθροισθέντες ἐκ δευτέρου προσῆλθον τῷ Ἰησοῦ, ἀκούσαντες· "Ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα καὶ τέρατα, ἀλλ᾽ ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε. "

Ὁ Θεόδωρος εἶπεν·

Ο ΔΙΑΚΟΝΟΣ. Σαφέστατα ἔχει.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ὁ δὲ ψεκτός, κατὰ τοῦτο καὶ κακός.

Ο ΔΙΑΚΟΝΟΣ. Μενοῦνγε.

Ο ΕΠΙΣΚΟΠΟΣ. Κακοὺς οὖν ἔθρεψεν, ἢ καλοὺς ὁ Σωτήρ;

Ο ΔΙΑΚΟΝΟΣ. Ὡμολόγηται ὅτι κακούς· "οὐ" γὰρ "χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες. "

Ο ΕΠΙΣΚΟΠΟΣ. Τί οὖν; κακὸν πεποίηκεν Ὀλυμπιάς, τὸν ἑαυτῆς Κύριον μιμησαμένη, "τὸν βρέχοντα καὶ ἀνατέλλοντα τὸν ἑαυτοῦ ἥλιον ἐπὶ δικαίους καὶ ἀδίκους"; κἂν οἱ Φαρισαῖοι ὀνειδίζωσι τοὺς μαθητάς, λέγοντες· "Ὁ διδάσκαλος ὑμῶν μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει. "

Ο ΔΙΑΚΟΝΟΣ. Ὡς ἔοικε, παρὰ τὴν σύνεσιν τῶν πολλῶν κακολογεῖται μὲν τὰ σεμνά, φιλεῖται δὲ τὰ αἰσχρά.

Ο ΕΠΙΣΚΟΠΟΣ. Πρὸς τί σοι οὗτος ὁ λόγος, φιλαληθέστατε Θεόδωρε;

Ο ΔΙΑΚΟΝΟΣ. Ὅτι εἰ μὴ σὺ ἐγύμνωσάς μοι τὸν λόγον, συλλογιστικῶς σαφηνίσας, εἰς τὴν ἀναίσθητον συναπηγόμην δόξαν, οὐ τῷ σκοπῷ τῆς ἐλευθερίας προσέχων, ἀλλὰ τοῖς Θεοφίλου θρύλοις.

Ο ΕΠΙΣΚΟΠΟΣ. Οὐκοῦν τὸ ἐναντίον, ἐὰν ἀποδειχθῶσιν οἱ ἅγιοι ἐκεῖνοι ἄνδρες οὐ μόνον οὐ κακοί, ἀλλὰ καὶ πολλοὺς ἀπὸ κακίας πρὸς ἀρετὴν ἐπαναγαγόντες, δῆλος ἔσται ὁ τούτων διώκτης ἄξιος οὐ διωχθῆναι, ἀλλὰ ἐλεηθῆναι, ὡς τοὺς μὲν καλοὺς ἀεὶ λυμαινόμενος, τοὺς δὲ κακοὺς ἀποδεχόμενος.

Ο ΔΙΑΚΟΝΟΣ. Οὕτως ἔχει, ὡς εἴρηκας. κἂν γὰρ μὴ ἀποδειχθῶσιν ἐκεῖνοι σοφοί τε καὶ ἅγιοι (ὥς φασιν οἱ πολλοί), ἐκτὸς μέμψεως ἔσται ἡ Ὀλυμπιὰς ἐκ τῶν προλαβόντων συλλογισμῶν, τὸ τοῦ Σωτῆρος μίμημα ἐπιδειξαμένη.

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ ποίαν μείζω ὁρᾷς μαρτυρίαν τῶν πράξεων, τὴν τοῦ Εὐαγγελίου ἢ τὴν Θεοφίλου;

Ο ΔΙΑΚΟΝΟΣ. Ἄπαγε, παρακαλῶ· ὡμολόγηται γὰρ παρὰ πᾶσι κἀκείνους αὐτὸν ἀπό τινος ὀργῆς καὶ φιλαρχίας ἐῤῥῖφθαι, καὶ ταύτην ἀπὸ δεισιδαιμονίας καὶ ἔχθρας λελοιδορηκέναι, προφασισαμένου ἐκείνου τοὺς μονάζοντας. ἀστοχήσας γὰρ ἐπὶ ταῖς δουλοπρεπέσι κολακείαις τοῦ μηδὲν παρ᾽ αὐτῆς εἰληφέναι πλὴν βρωμάτων ἢ ξενίων, εἰς λοιδορίαν ἐτράπη· τοῦτο γὰρ αὐτοῦ τὸ ἔθος ἐπὶ πάντων.

-Κεφάλαιον ΙΖ΄.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἄκουε τοίνυν, διακόνων ἄριστε, ὁρῶ γάρ σε χρήσιμον τῷ κοινῷ· τὸ γὰρ σπουδαῖόν σου ἐν τῷ νέῳ ἐχέγγυον τοῦ ἔντιμον ἐν γήρᾳ ἔσεσθαι. οἱ ἄνδρες οὗτοι ἐξ ἁπαλῶν ὀνύχων καὶ Χριστιανῶν γονέων Θεῷ ὑποταγέντες, οὐκ ἠνέσχοντο, οὐδὲ κομιδῇ νέοι, τῇ ματαιότητι δουλεῦσαι, οὐδὲ τοῖς ὄχλοις συναναστραφῆναι, ἀλλὰ καταλαβόντες τὴν ἐκ μεσημβρίας ἀοίκητον πόῤῥω που κειμένην τῆς οἰκουμένης, συνεστήσαντο καλύβας, ὅσον διαφυγεῖν τὴν ἐπάχθειαν τῆς ἡλιακῆς λαμπάδος καὶ τὴν δρόσον τὴν ἐκ τοῦ ἀέρος. ἐν αἷς διάγοντες, εὐχαῖς καὶ ἀναγνώσμασι τὸν ἑαυτῶν κατηνάλωσαν χρόνον, τοσοῦτον θλιβέντες τοὺς καρποὺς τῶν χειρῶν ἐν ἔργοις σωματικοῖς, ὅσον εἰς τροφὴν εὐτελῆ ἐπαρκέσαι, ἄμεινον ἡγησάμενοι συναγελάζεσθαι δορκάσι καὶ στρουθοῖς καὶ βουβάλοις ἢ συνευωχεῖσθαι τοῖς Θεὸν ἀγνοοῦσιν ἀνθρώποις. τούτων ὁ μὲν γεραιότατος ἀμφὶ τὰ ἐνενήκοντα παριππάσας ἔτη, συνανεστράφη τῷ μακαρίῳ Ἀντωνίῳ, Ἱέραξ καλούμενος, τὸ κύριον ὄνομα εἰσέτι καὶ νῦν ἐνισχύων· ὁ δ᾽ ἕτερος, Ἀμμώνιος, σὺν δυσὶν ἀδελφοῖς ἀσκηταῖς καὶ ἑνὶ ἐπισκόπῳ, οἳ καὶ κλοιοφορήσαντες ἐπὶ Οὐάλεντος ἐξωρίσθησαν (ὡς πᾶσα ἐπιγινώσκει ἡ Ἀλεξάνδρεια), ἑξηκοντούτης· τοιοῦτοι ὄντες ἐν γνώσει, ὡς μηδὲν αὐτοὺς διαφεύγειν τῶν ἐν ταῖς Γραφαῖς τοῖς πολλοῖς ἀπορουμένων. ὧν οἱ μὲν δύο ἐκοιμήθησαν τελευτήσαντες ἐν Κωνσταντινουπόλει· Ἀμμώνιος μέν, ὡς οἱ περὶ Αὐρήλιον καὶ

Σισίννιον διηγήσαντο, προφητεύσας περὶ τὴν ἔξοδον, ὡς μεγάλου διωγμοῦ ἐπιγενομένου καὶ σχίσματος ταῖς ἐκκλησίαις, αἴσχιστον τέλος ἀπενεγκεῖν τοὺς αἰτίους καὶ οὕτως ἑνωθῆναι τὰς ἐκκλησίας· ὃ δὴ καὶ ἐκ μέρους γεγένηται καὶ γενήσεται (ἐντεῦθεν γάρ τινων τὰ σώματα, ἐπισκόπων τε καὶ λαϊκῶν, ἡ νόσος παραλαβοῦσα ποικίλοις πάθεσιν ἐμερίζετο, πυρετῷ μὲν μαλακῷ τὰ σπλάγχνα διακαίουσα, κνησμῷ δ᾽ ἀφορήτῳ τὴν ἐπιφάνειαν ὅλην τοῖς ὄνυξιν ἐξορύττουσα, κόλου τε συνεχεῖς ἀλγηδόνες. τινὸς περί τε τοὺς πόδας ὑδρωπιῶντος οἰδήματα πελιδνά· ἑτέρου δὲ ῥεύματα περὶ τὰ τέσσαρα ἄρθρα θερμὸν ψυχρὸν τοὺς κακῶς ὑπογράψαντας δακτύλους ἔφρισσεν, τοῦ τε ἤτρου φλεγμονὴ καὶ διὰ μορίου τινὸς σηπεδὼν δυσωδίαν εἰς μακρὸν παρατείνουσα, σκώληκας γεννῶσα. ὀρθόπνοιά τε πρὸς τούτοις καὶ δύσπνοια καὶ πάντων τῶν μελῶν διατάσεις· φαντασίαι τε νυκτεριναὶ εἰς κύνας λυττῶντας καὶ ξιφήρεις βαρβάρους, ἀλλόγλωσσον καὶ κυματώδη φωνὴν ἐξηχοῦντας, μετεσχηματίζοντο, ἄϋπνον τὸν ὕπνον ἀποτελοῦσαι. ἕτερος δὲ ἐξ ἵππου πεσὼν καὶ καυληδὸν τὸ δεξιὸν κατεάξας σκέλος παραυτίκα τὸ ζῆν ἀπέῤῥηξεν· ἄλλος ἀποκλεισθεὶς τὴν φωνὴν ὀκταμηνιαίῳ χρόνῳ ἐπὶ κλίνης ἐταριχεύετο, μηδὲ τῷ ἰδίῳ στόματι τὰς χεῖρας προσάγειν δεδυνημένος. ἕτερος ζῶν τὰ σκέλη ἕως γονάτων κατ᾽ ὀλίγον ἐπρίζετο ἐπὶ τριετίαν, ἐρυσιπέλου δῆθεν τὰς ἀφορμὰς γεννῶντος· ἄλλος τὴν γλῶσσαν οἰδήσας -ὥς φασι- μετὰ λάβρου πυρετοῦ, ὡς διάφραγμα κεῖσθαι τῷ στόματι ἀντερείδων τοῖς ὀδοῦσι, μὴ χωρούσης τῆς γλώσσης ἐν τῷ ὡρισμένῳ παρὰ τῆς φύσεως τόπῳ, ἐν πυξίῳ γράψας ἐξομολόγησιν ἐποιεῖτο. καὶ ἦν ἰδεῖν θεήλατον ὀργὴν διαφόροις τιμωρίαις στρατηγοῦσαν. οἱ γὰρ τὸν τῶν ψυχῶν ἰατρὸν καὶ ἐπαοιδὸν παροξύναντες καὶ μεταστήσαντες τοῦ τῆς σωτηρίας ἐργαστηρίου τὸν ὑποφήτην τούτου, τοῖς τῶν σωμάτων ἰατροῖς εἰς αἰκισμὸν παρεδίδοντο, ὀδύνην μὲν ἐπιχορηγούντων τοῖς νομιζομένοις φαρμάκοις, σωτηρίαν δ᾽ οὐκ ἐμποιούντων. τίς γὰρ ἰάσεται τὸν ὑπὸ Θεοῦ τιμωρούμενον; -ὡς ὁ προφήτης λέγει· "Μὴ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι;" οὕτως ἀπώλλυντο πάντες οἱ ἀντιπράττοντες τῇ εἰρήνῃ τῆς ἐκκλησίας σου, Κύριε). Λέγεται δὲ τὸ μνῆμα τοῦ μονάζοντος Ἀμμωνίου νόσους τὰς περὶ ῥῖγος ἐλαύνειν· τέθαπται δὲ ἐν τῷ μαρτυρίῳ τῶν Ἀποστόλων πέραν θαλάσσης. ὁ δὲ ἐπίσκοπος Διόσκορος -ὥς φασιν- εὐξάμενος πλεῖστα ἢ εἰρήνην ἰδεῖν τῶν ἐκκλησιῶν ἢ τέλος τὸ ἑαυτοῦ, κατηξιώθη τοῦ τέλους, ἐπειδὴ οὐκ ἦν ἄξιος ὁ κόσμος τῆς εἰρήνης, ταφεὶς ἐν τῷ πρὸ

τῆς πύλης μαρτυρίῳ, ὡς τὰς πλείστας τῶν γυναικῶν καταλειψάσας τῆς μάρτυρος τοὺς ὅρκους, κατὰ τῶν εὐχῶν Διοσκόρου ὀμνύειν. περὶ δὲ τῶν λοιπῶν ἀσκητῶν πολύς μοι λόγος καταναλίσκεται εἰς τὸ διηγήσασθαι, ἴσως ἐπειγομένου σου, φερώνυμε ἄνθρωπε.

Ο ΔΙΑΚΟΝΟΣ. Καὶ τίς οὕτω τρισάθλιος τοῖς τῆς ἀρετῆς διηγήμασι μὴ διδοὺς χώραν; λέγε τοίνυν, παρακαλῶ, καὶ οἱῳδήποτε λόγῳ εὐλόγῳ ἀπάγαγέ μου τὸν νοῦν τῶν βιωτικῶν νοημάτων.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἔστι τοίνυν ἕτερος Ἱέραξ, Ἑλληνικῷ μὲν καλούμενος ὀνόματι, πνευματικοῖς δὲ κεκοσμημένος τρόποις· ὃς τὰ μὲν πρῶτα ἔξω πάσης Αἰγύπτου καὶ Θηβαΐδος ἐν τῷ Πορφυρίτῃ ὄρει μόνος ἀναχωρήσας, ἄνευ πνοῆς ἀνθρωπίνης, τέσσαρα ἐκαρτέρησεν ἔτη, μόναις ταῖς ἀρεταῖς ἀρκούμενος εἰς παράκλησιν· ἔπειτα δὲ τῇ τῆς Νιτρίας ἐρήμῳ εἴκοσι πέντε ἔτη ἅμα τοῖς προειρημένοις πατράσιν. τούτῳ “δαίμονες” ἐπιστάντες (ὡς αὐτὸς ἡμῖν διηγήσατο), πολυχρόνιον ζωὴν ὑποβάλλοντες, ἀπὸ “τῆς προκειμένης ἐλπίδος” σαλεύειν ἐσπούδαζον, “μετασχηματισθέντες εἰς ἀγγέλους φωτός”· “Πεντήκοντα ἔτη,” λέγοντες, “ἔχεις ζῆσαι. πῶς καρτερήσεις ἐν τῇ ἐρήμῳ;” ὁ δὲ τῇ συνέσει διὰ τῆς πίστεως ἀνθυποφέρει, φήσας· “Ἐλυπήσατέ με, ἐλάττονα τῆς προθέσεως τὸν χρόνον εἰπόντες· διακοσίων γὰρ ἐτῶν παρασκευὴν ἐποιησάμην ἐν τῇ ἐρήμῳ.” οἱ δὲ ἀκούσαντες ᾤχοντο ὀλολύζοντες. καὶ τοῦτον τὸν τοιοῦτον, ὃν οἱ δαίμονες οὐκ ἐσάλευσαν, πολυμήκη χρόνον εἰς ἀκηδίαν σοφισάμενοι, ὁ πάπας Θεόφιλος διὰ προστάγματος αὐτὸν μετανέστησεν καὶ εἰς τοσαύτην περιέστησεν ἀνάγκην, ὡς καὶ στρατόπεδον καταλαβεῖν· ὃς νῦν μετὰ τὴν κοίμησιν Ἀμμωνίου τὴν πανέρημον πάλιν κατείληφεν, τὴν τοῦ ἀρότρου παραβολὴν φοβηθείς. ἄλλος πάλιν πρεσβύτερος Ἰσαὰκ λεγόμενος, μαθητὴς Μακαρίου τοῦ μαθητοῦ Ἀντωνίου, φιλέρημος εἰσάγαν, πεντηκοστὸν ἔτος ἄγων κατὰ διάνοιαν σώζων τὴν πᾶσαν Γραφήν, κεράστας ὄφεις ἐν ταῖς χερσὶν ἀκινδύνως βαστάζων, παρθένος ἐκ μήτρας, ἑπταετὴς καταλαβὼν τὴν ἔρημον, μετὰ τεσσαράκοντα ἔτη σὺν τοῖς προειρημένοις παρὰ τοῦ πάπα Θεοφίλου ἐσινιάζετο. ἕτερος Ἰσαὰκ πρεσβύτερος καὶ αὐτὸς μαθητὴς καὶ διάδοχος Κρονίου τοῦ πρεσβυτέρου, μαθητοῦ καὶ αὐτοῦ Ἀντωνίου, γνωστικὸς καὶ αὐτὸς ἐν Γραφαῖς ὑπερβαλλόντως, φιλόξενος εἰ καί τις ἄλλος, ὡς δι᾽ ὑπερβολὴν φιλανθρωπίας ξενοδοχεῖον κατασκευάσαι ἐν τῇ πανερήμῳ εἰς ἀνάψυξιν καὶ τῶν ἀρρωστούντων μοναχῶν καὶ τῶν ἐπιχωριαζόντων ξένων θέας ἕνεκεν

τῶν μακαρίων πατέρων -(φασὶ δέ) ὀργῆς ἀλλότριος, τριακοστὸν ἔτος ἄγων ἐν τῇ ἀναχωρήσει, σὺν τούτοις ἐκακουχεῖτο. τούτων ὁ μὲν πρότερος Ἰσαὰκ ἑκατὸν πεντήκοντα εἶχεν ὑφ᾽ ἑαυτὸν ἀσκητάς· οὗ καὶ μαθητὰς ἐπισκόπους κατέστησεν ὁ Θεόφιλος ἕως ἑπτὰ ἢ ὀκτώ, ἡνίκα Θεόφιλος ἦν· ὁ δ᾽ ἕτερος διακοσίους δέκα, οὗ καὶ αὐτοῦ πολλοὶ ἐν ἐπισκόποις μαθηταὶ κατηριθμήθησαν. οὗτοί εἰσι, περὶ ὧν τρίτην ἡμέραν διηγησάμεθα, Ἰσιδώρου χάριν τοῦ πρεσβυτέρου τῆς ἐρήμου ἠλάσθαι παρὰ Θεοφίλου τοῦ πάπα. οὗτοί εἰσιν, οὓς παρεῖδον ἱερεῖς καὶ ΛευΙται, καὶ εἰς αἰσχύνην ἀνδρῶν ἀνδρεία γυνὴ ὑπεδέξατο καὶ εἰς κρῖμα ἐπισκόπων διάκονος θήλεια ἐξένισεν, ἧς ὁ ἔπαινος ἐν ταῖς ἐκκλησίαις ἐμπολιτεύεται πολλῶν ἕνεκεν, τὸν Σαμαρείτην ἐκεῖνον, ὅστις ποτέ ἐστι, μιμησαμένη, ὃς τὸν ὑπὸ ληστῶν συντριβέντα, ἡμιθανῆ, ἐν τῇ καταβάσει Ἰερειχὼ εὑρών, ἐπὶ τὸ ἴδιον ἐπεβίβασεν ὑποζύγιον μέχρι τοῦ πανδοχείου ἐνηνοχώς, καὶ τὸ τῆς φιλανθρωπίας ἔλαιον σὺν τῷ στύφοντι οἴνῳ κεράσας ἰάσατο τὰ οἰδήματα. καὶ ταῦτα μὲν εἰρήσθω. ὅσην δὲ περιουσίαν χρημάτων ἢ κτημάτων τοῖς δεομένοις διένειμεν, οὐκ ἐμὸν τὸ λέγειν, ἀλλὰ τῶν εὖ παθόντων (ὑπερόριος γὰρ ὤν, ἀβαρὴς ἐφυλάχθην). ἄκουσον δὲ τῆς μείζονος ἀρετῆς. ὀρφανὴ γὰρ ἀνδρὶ συναφθεῖσα οὐ συνεχωρήθη παρὰ τοῦ προγνώστου Θεοῦ, τοῦ προορῶντος τὰς τῶν ἀνθρώπων ἐκβάσεις, οὐδὲ εἴκοσι μῆνας δουλεῦσαι τῇ τῆς σαρκὸς ἡδονῇ τῆς πάντων βασιλευούσης, τοῦ συναφθέντος αὐτῇ συντόμως τὸ τῆς φύσεως χρέος ἀπαιτηθέντος. λέγεται δὲ παρθένος ὑπάρχειν, ὡς ἡ φήμη διδάσκει. δυναμένη γὰρ τῷ ἀποστολικῷ νόμῳ δουλεῦσαι τῷ, “Βούλομαι νεωτέρας χήρας γαμεῖν, οἰκοδεσποτεῖν,” οὐκ ἠνέσχετο, καίπερ καὶ γένει καὶ πλούτῳ καὶ παιδείᾳ μαθημάτων πολυτελῶν καὶ εὐφυΐᾳ φύσεως καὶ ἄνθους ὥρᾳ κεκοσμημένη, δορκάδος δίκην τοῦ δευτέρου γάμου τὴν παγίδα ἀνεκτῶς ὑπερπηδήσασα. “δικαίῳ” γὰρ “νόμος οὐ κεῖται, ἀλλ᾽ ἀνυποτάκτοις, βεβήλοις,” ἀκορέστοις περὶ φθοράν. ἔτυχεν δὲ κατά τινα φθόνον σατανικὸν δηλατορευθῆναι ταύτης τὴν ἄωρον χηρείαν εἰς τὰς ἀκοὰς Θεοδοσίου τοῦ βασιλέως, ὃς ἔσπευσεν αὐτὴν Ἐλπιδίῳ τινὶ συγγενεῖ ἑαυτοῦ Σπανῷ συνάψαι εἰς γάμον. καὶ πολλὰ λιπαρήσας τὴν ἄνθρωπον, ἀποτυχὼν ἐλυπήθη, δηλωσάσης αὐτῆς· “Εἰ ἐβούλετό με ὁ ἐμὸς βασιλεὺς ἄῤῥενι συζῆν, οὐκ ἄν μου τὸν πρῶτον ἀφείλετο· ἀλλ᾽ ἐπειδὴ ἀνεπιτήδειόν με τῷ πεφυρμένῳ βίῳ ἔγνω, μὴ δυναμένην ἀνδρὶ ἀρέσαι, κἀκεῖνον τοῦ δεσμοῦ ἠλευθέρωσεν κἀμὲ τοῦ βαρυτάτου ζυγοῦ καὶ τῆς ἀνδρικῆς δουλείας

ἀπήλλαξεν, τὸν χρηστὸν αὐτοῦ ζυγὸν τῆς ἐγκρατείας ἐπιθείς μου τῇ διανοίᾳ.” μετὰ τὴν ἀπόκρισιν ταύτην προστάσσει τῷ ἐπάρχῳ τῆς πόλεως φρουρεῖσθαι ταύτης τὰ πράγματα, μέχρις οὗ πληρώσει τριάκοντα ἔτη τὴν τοῦ σώματος ἡλικίαν. ὃς ἐξαυτῆς λαβὼν τὴν τοῦ βασιλέως ἐπιτροπήν, εἰς τοσοῦτον αὐτὴν ἔθλιβεν, ὑποβαλλόμενος ὑπὸ τοῦ Ἐλπιδίου, ὡς μὴ ἔχειν ἐξουσίαν μηδὲ τοῖς ἐπισήμοις συντυγχάνειν τῶν ἐπισκόπων μηδὲ ἐκκλησίᾳ παραβάλλειν, ἵνα στενωθεῖσα ὑπὸ τῆς ἀκηδίας καταπέσῃ εἰς τὴν αἵρεσιν τοῦ γάμου. ἡ δὲ πλέον ἡσθεῖσα καὶ τῷ Θεῷ εὐχαριστήσασα ἀντεδήλωσεν τῷ βασιλεῖ ταῦτα· “Πρέπουσαν βασιλεῖ καὶ ἁρμόττουσαν ἀρετὴν ἐπισκόπῳ εἰς ἐμὲ τὴν ταπεινὴν ἐπεδείξω, δέσποτα, κελεύσας παραφυλαχθῆναί μου τὸ βαρύτατον φορτίον, περὶ οὗ ἐφρόντιζον, ὅπως διοικηθῇ· μεῖζον δὲ ποιήσεις, προστάξας αὐτὸ τοῖς πενομένοις καὶ ταῖς ἐκκλησίαις διασκορπισθῆναι. ἐγὼ γὰρ ἀπηυξάμην πάλαι τὴν ἐκ τῆς διανομῆς κενοδοξίαν, ὅπως μὴ ἀμελήσω τοῦ τῆς φύσεως πλούτου, ἑλιττομένη περὶ τὴν ὕλην.” οὕτως ἐπανελθὼν ἀπὸ τοῦ πρὸς Μάξιμον πολέμου προσέταξεν ἐξουσιάζειν αὐτὴν τῶν πραγμάτων, ἀκούσας τὸν τῆς ἀσκήσεως αὐτῆς τόνον.

Ο ΔΙΑΚΟΝΟΣ. Δικαίως οὖν αὐτὴν ἐτίμα ὁ Ἰωάννης, ἀσκουμένην οὕτως.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἀπέχεται μὲν γὰρ ἐμψύχων, ἀλουτεῖ δὲ τὸ πλεῖστον· ἂν δὲ χρεία γένηται δι᾽ ἀῤῥωστίαν (πάσχει γὰρ συνεχῶς τὸν στόμαχον), σὺν τῷ χιτωνίσκῳ τοῖς ὕδασι καταβαίνει, αἰδουμένη καὶ ἑαυτήν, -ὥς φασιν.

Ο ΔΙΑΚΟΝΟΣ. Λέγεται δὲ καὶ αὕτη πάνυ τεθεραπευκέναι τὸν μακάριον Ἰωάννην.

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ τί ἄξιον τῆς αὐτοῦ ἀρετῆς εἰς αὐτὸν ἐπεδείξατο; εἰ μὴ τὸ ἀπερίσπαστον τῆς καθημερινῆς μάζης παρασχομένη· ὅπερ ἐστὶν οὐ μικρὸν τοῖς τοῦ Χριστοῦ ἐργάταις νύκτωρ τε καὶ μεθ᾽ ἡμέραν τὰ τοῦ Χριστοῦ μεριμνῶσιν· ὡς λέγει Παῦλος ἀσπαζόμενος Περσίδα, τὸ αὐτὸ τῇ Ὀλυμπιάδι τάχα καμούσῃ· “Ἀσπάσασθε,” γράφων, “Περσίδα τὴν ἀγαπητήν, ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυρίῳ -οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, καὶ οὐ τὰ τοῦ Χριστοῦ.” οἶδα ταύτην τὸν μακάριον Νεκτάριον πλέον τεθεραπευκέναι, ὡς καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς αὐτῇ πείθεσθαι. Ἀμφιλόχιον δὲ καὶ Ὄπτιμον καὶ Γρηγόριον καὶ Πέτρον, τὸν ἀδελφὸν Βασιλείου, καὶ Ἐπιφάνιον τὸν Κύπρου, τοὺς ἁγίους, τί δεῖ καὶ λέγειν,

οἷς καὶ κτήματα ἀγρῶν καὶ χρήματα ἐδωρήσατο; Ὀπτίμου δὲ τελευτῶντος ἐν Κωνσταντινουπόλει καὶ τοὺς ὀφθαλμοὺς ἰδίαις χερσὶν ἐκάμμυσεν. πρὸς τούτοις καὶ τοὺς ἐλεεινοὺς οὐ μετρίως ἀνέψυξεν ἐν πᾶσιν, Ἀντίοχον καὶ Ἀκάκιον καὶ Σευηριανόν, καὶ ἁπλῶς ἐκ μέρους πάντας τοὺς ἐπιδημοῦντας ἱερατικούς, ἀσκητῶν δὲ ἢ παρθένων ἀναριθμήτους. Ἰωάννης μέντοι, ἐπειδὴ κρίνας ἦν -ὡς εἰπεῖν-

τύπος ἀποσταλεὶς τοῖς μετέπειτα ἐπισκόποις τὸ ὅπως ὀφείλουσι ζῆν, κατὰ τὸν Παῦλον, "ἐν ἰδίῳ μισθώματι κηρῦξαι τὴν μετάνοιαν," μηδενὸς ἁπτόμενος τῶν τῆς ἐκκλησίας, τὰ τῆς ἡμέρας μόνης ἐλάμβανε βρώματα, δραπετεύων ἀεὶ τὴν τοιαύτην φροντίδα. λέγεται δὲ ὅτι καὶ αἰδουμένῳ ἐῴκει, τῆς αἰσθητῆς μεταλαμβάνων τροφῆς. ὥσπερ γὰρ ἐπὶ τῶν μήλων, ἐπὰν πεπανθῶσιν εἰς ἄκρον, οὐκ ἀνέχονται παραμένειν τῷ κλάδῳ, τὴν τοῦ δεσπότου χεῖρα ἐπιζητοῦντα· οὕτω καὶ ἐπὶ τῶν ἁγίων, ὅταν ὑπερφυῶς ἐρασθῶσι τοῦ κάλλους τῶν οὐρανίων πραγμάτων, πρὸ τῆς ὡρισμένης ἐξόδου ἐπείγονται τυχεῖν τῆς ἐπαγγελίας· καθάπερ καὶ ἐπὶ τῶν δεσποτικῶν παιδίων, ἐκεῖνα γὰρ πολλάκις τῇ προσδοκίᾳ τῇ τῶν μελιπήκτων ἀθίγουσι τῶν προκειμένων βρωμάτων ἐπὶ φυλακῇ τῆς ὀρέξεως, ἵν᾽ ἐμπλησθῶσι τῆς προσδοκωμένης γλυκύτητος. γνωρίσωσι δὲ τοὺς λόγους οἱ εἰς τὸ αὐτὸ ἴχνος τῆς πνευματικῆς πορείας ἐμβεβηκότες· "λόγον," γάρ, "συνετὸν ἐὰν ἀκούσῃ σοφός, αἰνέσει αὐτὸν καὶ ἐπ᾽ αὐτὸν προσθήσει. "

-Κεφάλαιον ΙΗ΄.

Ο ΔΙΑΚΟΝΟΣ. Παρεκάλεσάς με, τίμιε πάτερ, πεπονημένως μοι περὶ πάντων διηγησάμενος τὰ αὐτὰ τῆς προλαβούσης φήμης, μετά τινος χάριτος ἀρτύσας τὰ εἰρημένα. τοῦτο δὲ λέγω, ὅτι οὐδὲν ἐβάρει τὴν ἐκκλησίαν ἡ τοῦ ἐπισκόπου τροφή, εἰ τῆς ἐκκλησίας μετελάμβανεν ὁ ἅγιος Ἰωάννης, κατὰ τὸν εἰπόντα· "Ἄξιος" γὰρ "ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ," καὶ πάλιν, "Τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; τίς δὲ φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐ μεταλαμβάνει;" οὐ τῆς Γραφῆς ἐστι ταῦτα καὶ πολλὰ ἕτερα;

Ο ΕΠΙΣΚΟΠΟΣ. Πρεπόντως μὲν καὶ συνετῶς εἴρηκας, ὦ Θεόδωρε· πρόσθες δὲ τοῖς εἰρημένοις λόγοις καὶ τὰ ἑπόμενα ῥήματα. ἐξουσίας γὰρ διδομένης παρὰ τοῦ ἱεροῦ νόμου "τοὺς τὰ ἱερὰ ἐργαζομένους ἐκ τοῦ ἱεροῦ ἐσθίειν," ὁ πλεονέκτης τῶν ἀγαθῶν Παῦλος τί ἐπιφέρει; -"Οὐκ ἐχρησάμην τῇ ἐξουσίᾳ" ἐπὶ τοῖς σωματικοῖς, "ἵνα συγκοινωνὸς γένωμαι τοῦ Εὐαγγελίου" ἐν τοῖς πνευματικοῖς, μὴ γενόμενος "πρόσκομμα τοῖς ἀσθενέσι," κατὰ τὸν εἰπόντα, "Ἐὰν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν" ἐν ἀσθενείᾳ "κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται" εἰς τὸ τὰ ἀσθενῆ μιμεῖσθαι; εἰ μὲν γὰρ μέχρις ἡμῶν εἱστήκει τὰ πράγματα, οὐδενὸς μεθ᾽ ἡμᾶς διαδεξομένου τὴν τοῦ λαοῦ θεραπείαν, ἦν εἰπεῖν πλημμελοῦντα· "Βιώσωμεν ὡς βουλόμεθα, ἀπολαύσαντες τῶν βιωτικῶν πραγμάτων." ἐπειδὴ δὲ οἱ μεθ᾽ ἡμᾶς ὡς διδασκάλοις ἡμῖν χρῶνται, τὸν ἡμέτερον προβαλλόμενοι νόμον καὶ ἔθος, ἀναγκαῖόν ἐστι "μὴ μόνον ἑαυτοῖς ζῶντας, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι," καὶ [τὸ] τοῦ λαοῦ παραβιαζομένους τὴν ἀσθένειαν, ἐπὶ τὸ σωφρονέστερον καὶ ἀπεριττότερον μέρος ἄγειν τὴν τάξιν, ἑαυτοὺς νουθετοῦντας, κατὰ τὸν λέγοντα· "Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο." τοῖς μὲν γὰρ προπετέσι καὶ ἐλεεινοῖς ἁμαρτάνουσιν ἀπερισκέπτως νομοθετεῖ ὁ Δεσπότης, ὡς ἅτε τὸ τῆς "δουλείας" ἀσπαζομένοις "πνεῦμα," κατὰ τὸν ᾠδικὸν Δαυείδ· "Νομοθετήσει Κύριος ἁμαρτάνοντας ἐν ὁδῷ," κολάσει δὲ παραβαίνοντας· ὁ δέ γε δίκαιος ὑπερβὰς τὰ μέτρα τοῦ τῆς δουλείας νόμου διὰ τὸ ἀγαπᾶν τὸν Δεσπότην, ἐπὶ τὸ τῆς υἱοθεσίας ἐπειγόμενος μέρος, ἑαυτοῦ νομοθέτης γίνεται. οἷος ἦν ὁ Ἰώβ, καὶ ποιῶν καὶ λέγων· "Διαθήκην ἐθέμην τοῖς ἀδελφοῖς μου, καὶ οὐ μὴ συνήσω ἐπὶ παρθένον." τίς δ᾽ ἦν ἡ διαθήκη; -τὸ αὐτοὺς ἀτακτήσαντας εἰς τὴν σωφροσύνην ἐκκοπῆναι· ὁμοίως λέγων καὶ ὁ Δαυείδ· "Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου"· τὸ ἐπαμφοτερίζον καὶ ἐνδυάζον τῆς γνώμης ὅρκῳ πεδήσας. ὧν μιμητὴς πατέρων ὡς γνήσιος υἱός, καὶ οὐ νόθος ὑπάρχων ὁ Ἰωάννης, πλαδῶσαν τὴν τῶν ἀνθρώπων ἀγέλην ταῖς διαφόροις ἐπιθυμίαις ῥαΐσαι γλιχόμενος ἐπὶ τὸ στεγνότερον μέρος τοῦ βίου, ἑαυτοῦ δικαστὴς καὶ νομοθέτης ἐγίνετο, ἀμεταθέτῳ κρίσει πυκνούμενος, συμποσίων καὶ συλλόγων εὐτραπέλων καὶ γελωτοποιῶν καὶ ματαιολόγων ἀποσχονίσας ἀνθρώπων, θωρακίσας ἑαυτοῦ τὸν τῆς ψυχῆς ὀφθαλμὸν τῇ τοῦ πνεύματος πανοπλίᾳ, ἵνα μὴ διὰ συμποσίου

ἢ ἀκαίρου λόγου παρείσδυσιν εὑροῦσα ἡ ἀφροσύνη ἐξαφανίσῃ τὴν σωφροσύνην, κατὰ τὸν εἰπόντα· "Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί." διὸ καὶ συνεσκευάσθη· βαρὺς γὰρ αὐτοῖς ἦν καὶ φαινόμενος, καθάπερ λύχνος λημιῶσιν ὄμμασιν. τοιοῦτός τις ἦν ὁ συμπαθὴς Ἰερεμίας, ὁ δάκρυσιν ὀλοφυρόμενος τῶν ἀρχόντων καὶ τῶν ἱερέων τὴν ἀπιστίαν, ἐπιλέγων· "Τίς δώσει μου τῇ κεφαλῇ ὕδωρ καὶ ὀφθαλμοῖς μου πηγὰς δακρύων, καὶ κλαύσομαι τὸν λαόν μου ἡμέρας καὶ νυκτός;" πάλιν, "Τίς δώσει μοι σταθμὸν ἔσχατον ἐν τῇ ἐρήμῳ, καὶ καταλείψω τὸν λαόν μου καὶ ἀπελεύσομαι ἀπ᾽ αὐτῶν; διότι πάντες μοιχῶνται"· "σύνοδον ἀθετούντων" τὸν σύλλογον ὀνομάζων τῶν ψευδοπροφητῶν καὶ ἱερέων· ὡς καὶ ἀλλαχοῦ προσφωνεῖ τῷ Θεῷ, οὐχ ὡς αὐτοῦ ἀγνοοῦντος, ἀλλ᾽ ὡς ἡμῶν ὀφειλόντων μιμεῖσθαι· "Κύριε, εἰ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν παιζόντων, ἀλλ᾽ εὐλαβούμην ἀπὸ προσώπου σου· κατὰ μόνας ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην." συνῳδὰ δὲ τούτοις καὶ Δαυείδ· "Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος," λέγων, "καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω"· καὶ ἐπιφέρει σαφηνίζων· "ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω. νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου" -τὰς πρακτικὰς δυνάμεις- "καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε." οἱ δὲ ἔλαττον φροντίσαντες τοῦ θυσιαστηρίου καὶ δόντες αὐτῷ νῶτα, οὐ προθέσει, ἀλλ᾽ ᾗ βιοῦσιν, οὐ μόνον ἀνίπτοις χερσὶ καὶ ᾑμαγμέναις, δωροδοκίᾳ, δωροληψίᾳ, καὶ ψευδογραφίᾳ, ἀλλὰ καὶ πεπηλωμένοις ποσὶ λὰξ πατοῦντες· περὶ ὧν αἰνιττόμενος ὁ προφήτης Ἰεζεκιὴλ φησιν· "Εἰσήγαγέ με ἐπὶ τὰ πρόθυρα τῆς αὐλῆς, καὶ εἶδον, καὶ ἰδοὺ ὀπὴ μία ἐν τῷ τοίχῳ. καὶ εἶπεν πρός με· 'Διόρυξον, υἱὲ ἀνθρώπου.' καὶ διώρυξα, καὶ εἶδον, καὶ ἰδοὺ θύρα μία. καὶ εἶπεν πρός με· 'Εἴσελθε, καὶ ἴδε τὰς ἀνομίας τὰς πονηράς, ἃς ποιοῦσιν ὧδε.' καὶ εἰσῆλθον, καὶ ἰδοὺ πᾶσα ὁμοίωσις ἑρπετοῦ καὶ κτήνους, καὶ εἴδωλα μάταια βδελύγματα. καὶ εἶπέν μοι· 'Ἑόρακας, υἱὲ ἀνθρώπου, ἃ ποιοῦσιν οἱ πρεσβύτεροι οἴκου Ἰσραὴλ ἐν σκοτεινῷ ἐν τῷ κοιτῶνι αὐτῶν τῷ κρυπτῷ;'" -τὴν ἀκάθαρτον αὐτῶν διάνοιαν αἰνιττόμενος- "διότι εἶπον· 'Οὐχ ὁρᾷ Κύριος ἡμᾶς, ἐγκαταλέλοιπε Κύριος τὴν γῆν.' καὶ εἶπεν πρός με· 'Ἔτι ὄψει ἀνομίας μείζονας ἃς οὗτοι ποιοῦσι.' καὶ εἰσήγαγέ με εἰς ἕτερον τόπον, καὶ ἔδειξέ μοι· καὶ ἰδοὺ ἐκεῖ γυναῖκες καθήμεναι κλαίουσαι τὸν Θαμμούζ·" καὶ πάλιν· "Εἰσήγαγέ με εἰς τὸν οἶκον Κυρίου τὸν ἐσώτερον· καὶ ἰδοὺ ἐκεῖ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι, καὶ τὰ πρόσωπα αὐτῶν διεστραμμένα, καὶ τὰ νῶτα αὐτῶν ἐπὶ τὸ

θυσιαστήριον. καὶ εἶπεν πρός με· ‘Μὴ μικρὰ ταῦτα ἃ ὁ οἶκος Ἰσραὴλ ποιεῖ;’” ἠναγκάσθημεν δὲ τῆς τοῦ προφήτου περικοπῆς μνημονεῦσαι διὰ τοὺς ἀφειδεστέρους “τῶν οἰομένων εἶναί τι, καὶ ἑαυτοὺς φρεναπατούντων,” καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην συγχεόντων, διὰ τὸ νῶτα δοῦναι τῇ τοῦ Κυρίου τραπέζῃ, “οἷς τὸ κρῖμα οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει”· “οἱ τὰ ἐπίγεια φρονοῦντες,” περὶ ὧν Ἰούδας ὁ ἀδελφὸς Ἰακώβου φησίν· “Οὗτοί εἰσιν οἱ ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, συνευωχούμενοι, ἀφόβως ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέμων φερόμεναι· καὶ κύματα ἄγρια θαλάσσης, ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας· ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται.” ᾗ μὲν γὰρ “νεφέλας ἀνύδρους” ἐκάλεσεν, τὴν πονηρὰν αὐτῶν ᾐνίξατο χάλαζαν, τὴν τῆς ἀμπέλου ἀντίδικον· ᾗ δὲ “πλανήτας ἀστέρας,” τὸ τῆς νηὸς ἐπίβουλον ὑπηνίξατο· ἥτις ναῦς καὶ ἄμπελός ἐστιν ἡ ἐκκλησία. τίνα δέ ἐστιν, ἃ τοῖς τοιούτοις ἕψεται ἐξ ἀνάγκης; ἄκουσον πάλιν τοῦ αὐτοῦ διηγουμένου προφήτου Ἰεζεκιήλ· “Καὶ ἔδειξέ μοι, καὶ ἰδοὺ ἄνδρες ἓξ ἤρχοντο ἀπὸ τῆς ὁδοῦ τῆς πύλης τῆς ὑψηλῆς τῆς βλεπούσης πρὸς βορρᾶν, καὶ ἑκάστου πέλυξ ἐν τῇ χειρὶ αὐτοῦ· καὶ ἀνὴρ εἷς ἐν μέσῳ αὐτῶν, ἐνδεδυκὼς ποδήρη, καὶ ζώνη σαπφείρου ἐπὶ τῆς ὀσφύος αὐτοῦ· καὶ εἰσῆλθον καὶ ἔστησαν ἐχόμενοι τοῦ θυσιαστηρίου τοῦ χαλκοῦ. καὶ ἡ δόξα τοῦ Θεοῦ Ἰσραὴλ ἀνέβη ἀπὸ τῶν χερουβίμ, ἡ οὖσα ἐπ᾽ αὐτῶν, εἰς τὸ αἴθριον τοῦ οἴκου. καὶ ἐκάλεσεν τὸν ἄνδρα τὸν ἐνδεδυμένον τὸν ποδήρη, ὃς εἶχεν ἐπὶ τῆς ὀσφύος αὐτοῦ τὴν ζώνην, καὶ εἶπεν Κύριος πρὸς αὐτόν· ‘Δίελθε μέσην τὴν πόλιν τὴν Ἰερουσαλήμ, καὶ δὸς τὸ σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν καταστεναζόντων καὶ κατωδυνωμένων ἐπὶ πάσαις ταῖς ἀνομίαις ταῖς γινομέναις ἐν μέσῳ αὐτῶν.’ καὶ αὐτοῖς εἶπεν” -δηλαδὴ τοῖς ἓξ τοῖς ἔχουσι τοὺς πέλυκας- “ἀκούοντός μου· ‘Πορεύεσθε εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ’” -δηλαδὴ τοῦ τὰ σημεῖα τιθέντος ἐπὶ τῶν μετώπων- “’καὶ κόπτετε καὶ μὴ φείσησθε τοῖς ὀφθαλμοῖς ὑμῶν, καὶ μὴ ἐλεήσητε· πρεσβύτερον καὶ νεανίσκον καὶ παρθένον καὶ νήπια καὶ γυναῖκας ἀποκτείνατε εἰς ἐξάλειψιν, ἐπὶ δὲ πάντας, ἐφ᾽ οὓς ἐστι τὸ σημεῖον, μὴ ἐγγίσητε· καὶ ἀπὸ τῶν ἁγίων μου ἄρξασθε.’ καὶ ἤρξαντο ἀπὸ τῶν ἀνδρῶν τῶν πρεσβυτέρων οἳ ἦσαν ἐν τῷ οἴκῳ Κυρίου.” εἰ δέ τις νομίζει περὶ τῶν κατὰ τὴν Ἰουδαίαν προφητεύεσθαι ταῦτα, οὗτος ἔοικε καὶ τὴν τοῦ Σωτῆρος ἐπιδημίαν ἠγνοηκέναι· οὐ γὰρ πρὸ τῆς αἰχμαλωσίας ἱεράτευσεν ὁ Ἰεζεκιήλ. παῖς γὰρ ἔτι νεαρὸς

συναιχμαλωτισθεὶς κατὰ οἰκονομίαν Θεοῦ τῇ φυλῇ τοῦ Λευΐ, τῷ τριακοστῷ ἔτει τῆς ὁράσεως καταξιοῦται τῶν μελλόντων, ἱερατεύων ἐν τῇ αἰχμαλωσίᾳ, ὡς αὐτὸς ὑφηγεῖται· "Καὶ ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει, ἐν τῷ τετάρτῳ μηνί, πέμπτῃ τοῦ μηνός· καὶ ἐγὼ ἤμην ἐν μέσῳ τῆς αἰχμαλωσίας ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ"· καὶ πάλιν μετ᾽ ὀλίγα· "Ἐγένετο λόγος Κυρίου πρὸς Ἰεζεκιὴλ, υἱὸν Βουζί, τὸν ἱερέα ἐν γῇ Χαλδαίων ἐπὶ τοῦ ποταμοῦ Χοβάρ." εἰ δὲ ἐντεῦθεν στενούμενός τις ἐρεῖ ἡμῖν· "Προηγησαμένου τοῦ Σωτῆρος, ὃς καὶ τὸ σημεῖον δέδωκεν ἐπὶ τῶν μετώπων τοῦ σταυροῦ, ἐπηκολουθηκέναι ἀπιστηθέντος τοῦ Σωτῆρος, τὴν βασιλείαν Ῥωμαίων ἐπὶ Οὐεσπασιανοῦ συγκόψαντος τῷ τεσσαρακοστῷ ἔτει τὴν τὰ παράνομα ἐργασαμένην συναγωγήν"· ἀποδεχόμεθα μὲν τὸν ταῦτα νοοῦντα, παρακαλοῦμεν δὲ αὐτόν, ὡς υἱὸν τῆς Καινῆς Διαθήκης, πείθεσθαι τῷ τῶν τοιούτων μύστῃ Παύλῳ τῷ λέγοντι περὶ πάντων τῶν τοιούτων βιβλίων, τό· "Ταῦτα δὲ τυπικῶς συνέβαινεν ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκεν." ταῦτα δὲ λέγω, οὐχὶ δι᾽ εὐχῆς ἔχων σιδηρᾶν ῥομφαίαν ἐλθεῖν ἐπὶ τοὺς ἐχθροὺς τοῦ Θεοῦ, -ἄπαγε. οὔτε γὰρ περὶ σιδηρᾶς ὁ προφήτης σημαίνει, ἀλλὰ περὶ ἑτέρας τινὸς κολαστικῆς δυνάμεως, περὶ ἧς ὁ αὐτὸς Ἰεζεκιὴλ λέγει· "Γῆ ἐφ᾽ ἣν ῥομφαίαν ἐπάγω ἐπ᾽ αὐτήν" (τὸ δέ, 'ἐπάγω,' ἀντὶ τοῦ, 'συγχωρήσω'), "καὶ λάβῃ ὁ λαὸς τῆς γῆς ἄνδρα ἕνα, καὶ δῶσιν ἑαυτοῖς εἰς σκοπόν, καὶ ἴδῃ ὁ σκοπὸς τὴν ῥομφαίαν ἐρχομένην, καὶ σαλπίσῃ τῇ σάλπιγγι, καὶ σημάνῃ τῷ λαῷ, καὶ ἀκούσῃ ὁ ἀκούων καὶ μὴ φυλάξηται, ἐπελθοῦσα δὲ ἡ ῥομφαία καταλάβῃ τινά, τὸ αἷμα αὐτοῦ ἐξ αὐτοῦ ἐκζητήσω, ὅτι οὐκ ἤκουσεν τῆς φωνῆς τῆς σάλπιγγος"· καὶ πάλιν· "Ἐὰν δὲ ὁ σκοπὸς ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην καὶ μὴ σαλπίσῃ τῇ σάλπιγγι, καὶ τῷ λαῷ μὴ σημάνῃ, ἐπελθοῦσα δὲ ἡ ῥομφαία καταλάβῃ τινά, τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρὸς τοῦ σκοποῦ [τῆς σάλπιγγος] ἐκζητήσω, ὅτι ἰδὼν τὴν ῥομφαίαν οὐκ ἐσάλπισεν." τοῦτον τὸν κίνδυνον οὐχ ὑπνῶν τὸν τῆς ἀπιστίας ὕπνον, οὐδὲ ὀκνῶν τὸν τῆς φιληδονίας ὄκνον ὁ μακάριος Ἰωάννης πρὸ ὀφθαλμῶν ἔχων, ὑψηλότερον σάλπιγγος ἐβόα, οὐκ ἄδηλον φθόγγον σημαίνων, ἀλλ᾽ εὔδηλον γνῶσιν παρέχων τῆς διαβολικῆς ῥομφαίας, παρεκάλει φεύγειν τοὺς πάντας. καὶ ὅσοι μὲν τὸ συνειδὸς καθαρὸν καθάπερ σημεῖον ἐπὶ τοῦ τῆς ψυχῆς μετώπου ἔσχον, χάριτι Θεοῦ σὺν ὑμῖν τοῖς πιστοῖς Ῥωμαίοις διεσώθησαν· ὅσοι δ᾽ αὖ πάλιν μεμολυμμένον, τοὺς

λαοὺς καὶ τοὺς ἱερεῖς εἰς τὴν κατ᾿ ἀλλήλων φιλονεικίαν ἐξέκαυσαν, ἵνα τοῖς κοινοῖς κακοῖς τὸ καθ᾿ ἑαυτοὺς συσκιάσωσιν.

Ο ΔΙΑΚΟΝΟΣ. Θαυμασίως μὲν εἴρηκας· ὡμολόγηται δὲ ὅτι ἀμήχανόν ἐστι πρᾶγμα, ἄνθρωπον ἄμεμπτον ἐν τῷ περιγείῳ βίῳ τούτῳ εὑρεθῆναι τέλειον· τῆς Γραφῆς λεγούσης πολλαχῶς· "Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας;" πλὴν ὅμως οὐκ ἔγνω χρήσασθαι τῷ καιρῷ ὁ μακάριος Ἰωάννης· τοῖς γὰρ κεκρατημένοις οὐ δεῖ παρεγχειρεῖν.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἔοικάς μοι, καλὲ Θεόδωρε, πανοῦργος ὑπάρχειν. συμπάθειαν γάρ, ὡς ἔπρεπέν σοι, ἀπ᾿ ἀρχῆς ἡμῖν προβαλλόμενος μετά τινος κατανύξεως, ἐκ τοῦ κατὰ μικρὸν εὑρίσκῃ φιλοσκώπτης ὑπάρχων. οὔτε γὰρ οἱ νομιζόμενοι ἐχθροὶ οὕτω δεινῶς τὰ κατ᾿ αὐτὸν διεμέμψαντο.

Ο ΔΙΑΚΟΝΟΣ. Πρὸς τί ἠχθέσθης, φιλαλήθως ἀκούσας, πάτερ, ὅτι εἶπον "Οὐ προσέσχε τῷ καιρῷ ὁ μακάριος Ἰωάννης"; -τῆς Γραφῆς λεγούσης· "Ἐν τόποις δυναστῶν μὴ ὑφίστασο"· καὶ πάλιν· "Τὸν καιρὸν ἐξαγοραζόμενοι," μάλιστα ἐπὶ τῶν παραίνεσιν ἢ ὠφέλειαν μὴ δεχομένων.

Ο ΕΠΙΣΚΟΠΟΣ. Μακάριοί ἐστε, οὕτω τὰς Γραφὰς ἑρμηνεύοντες. τὸ γάρ, "Ἐν τόποις δυναστῶν μὴ ὑφίστασο," παρὰ τῷ ἐκκλησιαστῇ, πρὸς τοὺς ἀναξίους καὶ ἀδυνάτους ἱερωσύνης εἴρηται, ἵνα μὴ ταύτην ἁρπάζωσι. "δυνάστας" γὰρ τοὺς κατ᾿ ἀρετὴν διδασκάλους λέγει· πρῶτον τοὺς ἀποστόλους, οἵτινες ἦσαν "δυνάσται," τὸ τῆς "δυνάμεως" ἠμφιεσμένοι "πνεῦμα," ἔπειτα τοὺς μιμητὰς τούτων. καὶ τό, "ἐξαγοράζειν δὲ τὸ καιρόν," τοιοῦτόν ἐστιν, οὐχ ἵνα ὑποκριθῶμεν, κλέπταις συντρέχοντες, καὶ μετὰ μοιχῶν τὴν μερίδα τιθέντες, ἀλλ᾿ ἵνα κατὰ τὸν καιρὸν τῆς ἁμαρτίας διὰ τῆς ἀρετῆς "ἀγοράσωμεν τὸν καιρόν," μὴ πωλήσαντες αὐτὸν τῇ ἁμαρτίᾳ. ὁ δὲ κατὰ μικρὸν τούτῳ τῷ τρόπῳ "τὸν καιρὸν ἐξαγοράζων," ὅλον ἑαυτοῦ τὸ ζῆν ἐξηγόρασεν, παραχωρήσας τὰ τοῦ βίου ἡδέα, ἵνα τὰ ὑπὲρ βίον εὑρήσῃ. ὥσπερ καὶ οἱ μάρτυρες πεποιήκασι, δόντες τὸ ζῆν τὸ αἱμάτινον, τὴν ἀφθαρσίαν ἐκληρονόμησαν, κυρίως αὐτοὶ "τὸν καιρὸν ἐξαγοράσαντες." εἰ δὲ μὴ οὕτως ταῦτα νοεῖται, ἔσονται καὶ οἱ περὶ Μωϋσέα καὶ Ἠλίαν καὶ Μιχαίαν καὶ Δανιὴλ καὶ Ἰωάννην τὸν βαπτιστὴν καὶ Ἠσαίαν καὶ Πέτρον καὶ Παῦλον -ἵνα μὴ πλείονας εἴπω- τὸν ἑαυτῶν καιρὸν ἀγνοήσαντες· ἐπειδὴ ὁ μὲν φυγῇ τὴν σωτηρίαν ἑαυτῷ πορίζεται, διὰ τὸν ἔλεγχον τὸν πρός τινα, ἐν ὄρεσιν ἐθνικοῦ πρόβατα νέμων· ὁ δὲ

ὑπὸ κάρου τῇ λύπῃ πιεσθεὶς εἰς ὕπνον κατέπεσεν, οὔτε τοίχου ἢ πέτρας σκιὰν εὑρίσκων, ἀλλ᾽ ὑπὸ φυτὸν ἀρκεύθινον, ὃ καὶ αὐτὸ ἀμυδρῶς κατασκεπάζει· ὁ δὲ ἐπρίζετο· ὁ δὲ εἰς λάκκον λεόντων ἐχαλᾶτο ὑπὲρ εὐσεβείας· ὁ δὲ ἐν φυλακῇ (ἤγουν μυχῷ τινι) δέσμιος ἐφυλάσσετο, "ἄρτον θλίψεως" καὶ ὕδωρ στενὸν καταδικασθεὶς λαμβάνειν, ἵν᾽ ἐπὶ μακρὸν κατατηκόμενος χρόνον, βίᾳ τὸ ζῆν ἀποῤῥήξῃ διὰ τὴν πρὸς βασιλέα τινὰ παῤῥησίαν. τί δέ μοι λέξεις περὶ τοῦ ἀζύγου "ἐν γεννητοῖς γυναικῶν" Ἰωάννου; ἆρα οὐκ ἔγνω τῷ καιρῷ χρήσασθαι, ἐπειδὴ διὰ τὸν ἀνεπισκίαστον ἔλεγχον τῆς Ἡρῴδου μοιχείας τὴν κεφαλὴν ἀπετμήθη, κηδόμενος τοῦ Ἡρῴδου ὡς ἰατρὸς νοσοῦντος τὸ ἀνίατον πάθος ἢ καίων ἢ τέμνων; ᾧ λόγῳ καὶ Ἰωάννης ἐλεῶν ἢ φιλῶν, ἤλεγχε τοὺς νοσοῦντας. εἰ δὲ ὁ βαπτιστὴς τὸν καιρὸν οὐκ ἔγνω, πῶς τὸν τεχνίτην τῶν αἰώνων καὶ ποιητὴν ἐπέγνω, φήσας· "Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου"; πῶς δὲ οὐκ ἔγνω Παῦλος καὶ Πέτρος τὸν καιρόν, οἱ στῦλοι τῆς ἐκκλησίας, οἱ καὶ μετὰ θάνατον κλείοντες καὶ ἀνοίγοντες τοὺς τῆς μετανοίας καιροὺς τοῖς βουλομένοις καὶ κρούουσιν; -ἐπειδὴ μάλιστα ὁ μὲν ἐπὶ πόδας σταυροῦται, εἰς οὐρανὸν τὴν πορείαν σημαίνων, ὁ δὲ καρατομεῖται διὰ τὴν ἐν Χριστῷ παῤῥησίαν, ἵνα τῆς ὄντως κεφαλῆς μὴ ἐκπέσῃ. μὴ τοίνυν ἀποδέχου τοὺς μετ᾽ ἐπισκήψεως τὴν τῶν ἁγίων διαβάλλοντας παῤῥησίαν. ἐθνικῶν γὰρ καὶ οἰησισόφων ἡ συνήθεια αὕτη, φιλοζωούντων καὶ φιλοσκωπτούντων τὴν τῶν μαρτύρων ἀδειλίαν. οὔτε γὰρ μάχαιραν ἀμβλεῖαν οὔτε παῤῥησίαν ἄπρακτον εἶναι δεῖ. καὶ ὥσπερ τοῦ μύρου ἀχώριστος ἡ εὐωδία, οὕτω τῆς παῤῥησίας ἡ εὔνοια. καὶ εἰ μὲν ἰδιωτικῶς ἐπὶ οἰκετῶν ἢ φίλων ἢ ἰδίων οἱ ἔλεγχοι ἐγίνοντο, ἐφ᾽ ὧν καὶ τὸ ἐρυθριᾶσαι φορτικόν, ἔγκλητος ἴσως ὁ παῤῥησιαζόμενος, οὔτε καιρὸν οὔτε τόπον γνωρίσας· εἰ δὲ καθάπερ ἐν μακέλλῳ τῇ ἐκκλησίᾳ καὶ οἱ ἔπαινοι γίνονται τῶν κατορθούντων καὶ οἱ ψόγοι τῶν ἀμελούντων, τί τραχυνόμεθα πρὸς τοὺς ἐλέγχους ἀνωνύμως καὶ ἐπωφελῶς ἡμῖν γινομένους; σιτεύοντες τὰς αἰτίας οὐ πειθόμενοι τῷ εἰρηκότι· "Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες." εἰ δὲ μὴ τοῦτο ἔσται, ἔσονται πάλιν οἱ ἅγιοι σκανδαλίσαντες μέν τινας πόλεις ἢ χώρας ἐπὶ τοῖς ἐλέγχοις, ἐκτραχηλίσαντες δὲ τοῖς ἐπαίνοις ἄλλας. πρῶτος ὁ ἅγιος Ἰώβ, Φοινίκην τινὰ διαβάλλων χώραν, ὡς ἐπισπωμένην τὸν αὐτῷ προσπολεμοῦντα Σατανᾶν, καθὼς λέγει· "Μεριτεύονται δὲ αὐτὸν γένη Φοινίκων;" ἔπειτα Μωϋσῆς καὶ οἱ προφῆται τὴν Αἴγυπτον

διαβάλλοντες, καὶ “κάμινον σιδηρᾶν” προσαγορεύοντες καὶ “σκότος,” καὶ τὴν Παλαιστίνην ἐγκωμιάζοντες καὶ “γῆν ἐπαγγελίας” ἀποκαλοῦντες, εὑρισκομένην τὴν μὲν Αἴγυπτον τῷ σπουδαίῳ “γῆν ἐπαγγελίας,” τῷ δὲ ῥᾳθύμῳ τὴν Παλαιστίνην οὐ μόνον “κάμινον σιδηρᾶν,” ἀλλὰ καὶ “σκότος ἐξώτερον” τῇ ἀπιστίᾳ· ὁπότε οὐ τὰ χωρία ψεκτὰ ἢ ἐπαινετά, ἀλλὰ τὰ ἐπιτηδεύματα. τί δέ μοι καὶ εἰς μῆκος ἐκτείνειν τὸν λόγον, καὶ μὴ ἀπὸ τῶν συντόμων ἄρχεσθαι; ἆρά γε ὁ Παῦλος “ψεύστας” Κρῆτας ἀποκαλῶν καὶ Γαλάτας “ἀνοήτους” καὶ Κορινθίους “πεφυσιωμένους” καὶ ἄλλους ἄλλα, τούτοις μόνοις συνέγνω τὰ πάθη, ὡς μόνοις τὸν ἔλεγχον ἐπαγαγών, ἢ καὶ τοῖς πᾶσιν; ἢ ἀνάπαλιν “πιστοὺς” Ῥωμαίους ἀποκαλῶν καὶ “μύστας” Ἐφεσίους, οἷς καὶ ὑψηλότερον ἐπιστέλλει, καὶ “φιλαδέλφους” Θεσσαλονικεῖς, μόνοις περιέγραψεν τοὺς ἐπαίνους; οὐ πάντως· ἀλλ᾽ ὡς πνευματοφόρος τέθεικεν καὶ τοὺς ψόγους καὶ τοὺς ἐπαίνους, ἵνα ὁ μὲν ἄξιος τῶν ἐπαίνων ἐπιγνούς, τονωθῇ τῇ προθυμίᾳ, ὁ δὲ ἕτερος ἐντυχών, ὀδυνήθῃ τῇ ὑπομνήσει, ἀποτριψάμενος τοῦ ψόγου τὸ αἴτιον. οὔτε οὖν μόνοι Γαλάται ἀνόητοι οὔτε Κρῆτες ψεῦσται οὔτε Κορίνθιοι ὑπερήφανοι· πανταχοῦ γὰρ τὰ πάντα ὑπάρχει, τοῦ μίαν εἶναι καὶ τὴν ἁμαρτάνουσαν καὶ τὴν κατορθοῦσαν φύσιν, καὶ ἐκεῖνο καὶ τοῦτο ἐν τῷ αὐτῷ γιγνομένην οἰκείᾳ προαιρέσει. τούτῳ τοίνυν τῷ τρόπῳ ἐν τῇ ἐκκλησίᾳ ἐπαῤῥησιάζετο ὁ Ἰωάννης· μᾶλλον δὲ ἐκρεοκόπει τὴν ἀρετὴν τοῖς πεινῶσιν, ἐξοστεΐζων τὴν ἁμαρτίαν τοῖς φανεροῖς ἐλέγχοις, πειθόμενος τῷ εἰρηκότι· “Τὸν ἁμαρτάνοντα ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι.” εἰ δέ τινες ἐπὶ πλεῖστον ὑπερηφανίαν ἢ ἀφροσύνην νοσοῦντες βούλονται αὐτῶν καὶ τὰς ἡδονὰς ἐγκωμιάζεσθαι, “ταύτην τὴν συνήθειαν οἱ τοῦ Θεοῦ δοῦλοι οὐκ ἔχουσιν.” οἱ γὰρ ἀγανακτοῦντες ἐπὶ τῷ ψόγῳ τῆς πλεονεξίας καὶ τῆς πορνείας καὶ ἄλλης τινὸς μυσαρᾶς ἡδονῆς, οὐδὲν ἄλλο λέγουσι δυνάμει ἢ τὸ δεῖν ἀποδέχεσθαι ταῦτα δηλητήρια ὄντα.

-Κεφάλαιον ΙΘ΄.

Ο ΔΙΑΚΟΝΟΣ. Χάρις πλείστη, πάτερ, τῇ ἐνδημίᾳ τῆς σῆς φιλαδελφίας· γεγένηται γὰρ ἡμῖν ὀνησιφόρος καὶ μνημόσυνον τῆς ζωῆς.

Ἡσυχάσαντος δὲ μετὰ τοὺς πολλοὺς ἐπαίνους τοῦ Θεοδώρου, τῶν παρόντων τις ἔῤῥηξεν ῥῆμα, λέγων·

Πῶς οὖν τοσούτοις προτερήμασι κεκοσμημένος, ὑπερήφανος ἦν;

Ο ΕΠΙΣΚΟΠΟΣ. Αὐτὸς παρὼν ἔγνως αὐτὸν ὑπερήφανον, ἢ ἄλλος σοι ἀφηγήσατο;

Ὁ δὲ ἀπεκρίθη·

Οὐκ οἶδα τὸν ἄνδρα (φησίν), ἀλλ᾽ ἤκουσα παρά τινος βυρσοδέψου διηγουμένου, ὅτι σπανίως ἦν αὐτῷ συναγελάσαι δίχα τῆς ἐκκλησίας, στενοχωρουμένῳ τὸ συνδιάγειν ἐπὶ πολὺ τοῖς βουλομένοις. τοῦτο δὲ δεῖγμα ὑπεροψίας καὶ τύφου, τὸ φεύγειν τὰς τῶν βουλομένων συνουσίας.

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ τίνος ἦν ἄλλου ψέξαι τὴν Ἰωάννου φιλοσοφίαν ἢ βυρσοδέψου, τοῦ καὶ τὴν δυσωδίαν τοῦ ἰδίου ἐργαστηρίου σύντροφον οὖσαν ἀποδεχομένου; εἰ δὲ δεῖγμα ὑπεροψίας τὸ φεύγειν τοὺς ὄχλους, ἔσται καὶ ὁ βαπτιστὴς Ἰωάννης ὑπερόπτης κατὰ τὸν λόγον τὸν σόν, ὑποχωρῶν εἰς τὰς ἐρήμους. ἔπειτα δὲ καὶ ὁ Σωτήρ· ἀναγέγραπται γάρ, ὅτι “Ἰδὼν τοὺς ὄχλους ὁ Ἰησοῦς ἀνέβη εἰς τὸ ὄρος· καθίσαντος δὲ αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,” καὶ οὐχ οἱ ὄχλοι· -καὶ πάλιν· “Ἰδὼν τοὺς ὄχλους ἀνεχώρησεν κατ᾽ ἰδίαν.” ὃν μιμούμενος κατὰ δύναμιν ὁ καλὸς Ἰωάννης, καὶ αὐτὸς ὑπεχώρει τοὺς ὄχλους, συνηδόμενος τοῖς κατὰ ἀλήθειαν μαθεῖν τι βουλομένοις.

Ο ΔΙΑΚΟΝΟΣ. Καλῶς μὲν γὰρ ἀπὸ γραφικῶν παραδειγμάτων πείθεις· τί δὲ ἔχεις εἰπεῖν, ὅτι ὑβριστὴς ἦν, καὶ οὐ μόνον τοὺς πολλοὺς ὑπεχώρει, ἀλλὰ καὶ ἕνα καὶ δύο;

Ο ΕΠΙΣΚΟΠΟΣ. Μάλιστα μὲν καὶ εἰ ἀνωφελὴς καὶ ἀγύρτης ὄχλος ἐστίν· οἷος ἦν ὁ εἰπὼν τῷ Ἰησοῦ· “Διδάσκαλε, ἀκολουθήσω σοι, ὅπου ἐὰν ἀπέρχῃ.” οὐ φυγὼν τὸν ὄχλον ὁ Σωτὴρ εἶπεν τό, “Αἱ ἀλώπεκες,” καὶ τὰ ἑξῆς; οὐκ ἔχεις δέ με πεῖσαι, ὅτι ποτὲ Ἰωάννης ἀφ᾽ οὗ ἐβαπτίσθη, ἢ ὤμοσεν ἢ ὥρκισεν ἢ κατελάλησεν ἢ ἐψεύσατο ἢ κατηράσατο ἢ εὐτραπέλων ἠνέσχετο.

Ο ΔΙΑΚΟΝΟΣ. Οὔτε γὰρ ἐγὼ λέγω τούτων τι, ἀλλ᾽ ὅτι ὕβριζεν.

Ο ΕΠΙΣΚΟΠΟΣ. Ὦ βέλτιστε, καὶ ὁ τούτων μηδὲν ποιήσας, πῶς ὕβριζεν, ἀφειδῶν τῆς γλώσσης τῆς ἑαυτοῦ; ἐν μικρῷ γὰρ καὶ μεγάλῳ ὁ μολυσμὸς ἴσος ἐστιν.

Ο ΔΙΑΚΟΝΟΣ. Τί οὖν ἐστιν, παρακαλῶ, ἃ λαλοῦσιν οἱ ἄνθρωποι· καὶ πότε παύσονται τοῦ λαλεῖν;

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἄκουσον τοίνυν περὶ πάντων, καὶ μηκέτι ἕπου ταῖς φλυαρίαις· οὐ γὰρ ἕξεις ἀπολογίαν οὐδέποτε. οἱ ἄνθρωποι ὀρθῶς μὴ βιοῦντες, ὀρθὰς οὐκ ἔχουσι τὰς ὑπολήψεις, ἀεὶ εἰκοτολογοῦντες καὶ εἰς τοῦτο σχολάζοντες, μάλιστα νῦν οὐδενὸς τολμῶντος ἄλλο τι λέγειν. καὶ ἐπὶ τοῦ Σωτῆρος γὰρ Θεοῦ, καὶ ὑπὲρ ἄνθρωπον καὶ ὑπὲρ προφήτην αὐτοῦ καὶ βιοῦντος καὶ λαλοῦντος καὶ δρῶντος, ἀλλόκοτα ἐλάλουν, χοίρων δίκην ἢ μυιῶν τὰ περὶ αὐτοῦ συναθροίζοντες (τοῦτο γὰρ ἤθελον οἱ τότε καιροί). οἱ μὲν γὰρ ἔλεγον· "Πλανᾷ τὸν κόσμον"· οἱ δέ, "Ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια"· ἕτεροι, "Ἰδού, ἄνθρωπος φάγος καὶ οἰνοπότης"· ἄλλοι, "Σαμαρείτης ἐστι, καὶ δαιμόνιον ἔχει." καὶ τί με δεῖ λέγειν συναγαγόντα τοὺς ὕθλους; -ὡς καὶ αὐτὸν τὸν Σωτῆρα εἰδότα τοῦτο λέγειν τοῖς ἀποστόλοις· "Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν Υἱὸν τοῦ ἀνθρώπου;" ᾧ προσαποκρίνονται οἱ μαθηταὶ τὰς εὐφημοτέρας περὶ αὐτοῦ ὑπολήψεις διηγούμενοι· "Οἱ μὲν Ἠλίαν, οἱ δὲ Ἰερεμίαν, ἄλλοι δὲ Ἰωάννην τὸν βαπτιστὴν φήσαντες"· ἡσυχάσαντες τῶν ἐπὶ πλεῖστον φαύλων τοὺς λόγους. οἷς ἀντεπερωτᾷ διαχωρίζων αὐτοὺς "τῶν ἀνθρώπων" (οὐκέτι γὰρ ἦσαν τὴν γνώμην "ἄνθρωποι," ἀλλ᾽ υἱοὶ Θεοῦ, "ἔδωκεν" γὰρ ἡμῖν ὁ λόγος "ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι")· "Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;" ἀποκρίνονται οὐ πάντες, ἀλλὰ μόνος ὁ Πέτρος, ἑρμηνεύων τὴν πάντων γνώμην· "Σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος." ἧς ἀποκρίσεως ἀποδεχόμενος τὸ ὀρθὸν ὁ Σωτὴρ ἀπεφήνατο, εἰπών· "Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ" (τοῦτ᾽ ἔστι, τῇ ὁμολογίᾳ) "οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι Ἅδου οὐ κατισχύσουσιν αὐτῆς." τούτῳ τοίνυν τῷ χαρακτῆρι εὑρήσεις καὶ νῦν, οὐ μόνον ἐπὶ Ἰωάννου, ἀλλὰ καὶ ἐπὶ πάντων τοὺς ψόγους καὶ τοὺς ἐπαίνους. καὶ ὥσπερ κατ᾽ ἐκεῖνο καιροῦ κακῶς ἐλαλεῖτο τὰ περὶ τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων, βοώντων Ἐφεσίων· "Οὗτοί εἰσιν οἱ ἀναστατώσαντες τὴν οἰκουμένην," πέπαυται δὲ νῦν, δοξαζομένων αὐτῶν· οὕτως εὑρήσεις μετὰ τὴν γενεὰν ταύτην ὡς μάρτυρα τιμώμενον τὸν Ἰωάννην, καταλυθέντων τῶν ἀντικειμένων ταῖς περὶ αὐτοῦ εὐφημίαις· καὶ ὅσοι μὲν χοιρώδεις ἢ κυνώδεις φήσουσι τό, "Πλανᾷ τὸν κόσμον," καὶ τὰ ἑξῆς, ὅσοι δὲ μαθηταί, γνησίως καὶ ἐπιστημόνως αὐτὸν ἐκζητοῦντες, τό, "Σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος." εἰ δὲ ἐπὶ τοῦ Σωτῆρος Χριστοῦ ἐν τοσαύταις μυριάσιν ἀνδρῶν δώδεκα εὕρηνται ἐν ἀρχῇ οἱ τὸν Ἰησοῦν ἐπιστημόνως γνωρίσαντες, τῶν πολλῶν εἰσέτι καὶ νῦν φλυαρούντων,

τί ἀκριβολογούμεθα περὶ Ἰωάννου, ἀνθρώπου πρὸς τὸν σίελον τοῦ Χριστοῦ μὴ ὄντος; τί δὲ λέγω, πρὸς τὸν σίελον; -πρὸς τὸ κράσπεδον· "πάντα" γὰρ "τὰ ἔθνη," κατὰ τὸν Ἠσαίαν, "ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς σίελος λογισθήσονται." ὃν δὲ τρόπον εἶπας αὐτὸν ὑβρίζειν, τοιοῦτός ἐστιν. πρῶτον μὲν γὰρ ἀμήχανον ἦν πρᾶγμα πρὸς τὸν τυχόντα χαριεντίζεσθαι αὐτόν, μήτι γε δὴ καὶ ὑβρίσαι· εἰ δέ πού τινας τῶν γνησίων αὐτοῦ μαθητῶν ἢ κληρικῶν ἢ ἐπισκόπων εἶδεν ἐπὶ ἀποχῇ τινος ἢ κατορθώματι σωματικῆς ἀρετῆς μεγαλοφρονοῦντας, τὸ ἐναντίον πρὸς αὐτοὺς ἐπισκώπτων ἀπεκάλει, ὡς τὸν ὑδροπότην μέθυσον, καὶ τὸν ἀκτήμονα πλεονέκτην, καὶ τὸν ἐλεήμονα κλέπτην λέγων (εἶδος γὰρ χαρίεν καὶ τοῦτο διδασκαλίας πρὸς τοὺς γνησίους, διὰ τῶν μὴ προσόντων κυροῦντος τὸ προσόν). τὸ δὲ ἀληθές, ἐτίμα σώφρονα νέον ὑπὲρ ἀκόλαστον γέροντα καὶ γέροντα φιλομαθῆ ὑπὲρ νεώτερον ἀμαθῆ καὶ ἀκτήμονα ἰδιώτην ὑπὲρ πεπαιδευμένον φιλάργυρον καὶ κοσμικὸν ἐνάρετον ὑπὲρ μοναχὸν ἄπραγον. ἃ ἴσως ὕβρεις λέγουσιν οἱ τὰς τιμὰς ἐπιζητοῦντες· καίπερ τῆς Γραφῆς καὶ τὰς ὕβρεις ποσῶς ἐχούσης, Ἰωάννου μὲν λέγοντος τοῖς προσελθοῦσι μαθητευθῆναι· "Γεννήματα ἐχιδνῶν, τίς ὑμῖν ὑπέδειξεν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;" Παύλου δὲ πάλιν λέγοντος ἐν ταῖς Πράξεσι τῷ ἀρχιερεῖ· "Τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε κεκονιαμένε"· τοῦ δὲ Σωτῆρος πῆ μὲν τοῖς Ἰουδαίοις· "Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ"· πῆ δὲ πᾶσι τοῖς ἀποστόλοις· "Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ"· πῆ δὲ τὸν Πέτρον Σατανᾶν ὀνομάζων· "Ὕπαγε ὀπίσω μου, Σατανᾶ, ὅτι σκάνδαλόν μου εἶ"· -οὐκ οὔσης οὐδεμιᾶς αἰτίας βαρείας, ἐφ᾽ ἧς γεγόνασιν αἱ ὕβρεις. ὡς γοῦν σιγῇ τὴν φιλομάθειαν ἀσπασώμεθα, οὐ δυνάμενοι τοὺς πνευματικοὺς ἀνακρίνειν. οὔτε γὰρ μισοῦντες ὑβρίζουσιν οὔτε φυσιούμενοι φιλερημοῦσιν, πάντα ἐξ ἀγάπης τὰ χρήσιμα ἀσκοῦντες. τούτου τοίνυν ἕνεκα καὶ πάντες ὅσοι σπουδαῖοι ἡμῖν ἀνεγράφησαν ἐν τοῖς ἱεροῖς λόγοις, ἐκκλίνοντες καὶ ἐκτρεπόμενοι τὸν τῶν ἀπαιδεύτων ὅμιλον εὕρηνται, τοῦ μὴ τῷ χρόνῳ διὰ τῆς συνηθείας ἢ μειῶσαί τι τῆς ἀρετῆς ἢ σπάσαι τῆς ἀπ᾽ αὐτῶν κακίας. Σάῤῥα πρώτη παρῄνει τῷ ἀνδρὶ αὐτῆς Ἀβραὰμ τὸν τῆς θεραπαινίδος παῖδα, ἔτι κομιδῇ νέον ὄντα, ἐξορίζειν τῆς κοινῆς ἑστίας· συμπαίζειν γὰρ τῷ υἱῷ αὐτῆς Ἰσαὰκ ἀπαξιοῖ, μή πως τῷ συνασμενισμῷ ὑποσυρῇ τοῖς αὐτοῦ ἐπιτηδεύμασί τε καὶ ἤθεσιν. καὶ Ἰακὼβ δὲ αὐτὸς φυγῇ τὴν σωτηρίαν πορίζεται, τὴν εἰς Μεσοποταμίαν στειλάμενος ἀποδημίαν. καὶ Λὼτ δὲ προτρέπεται ὑπὸ τῶν ἀγγέλων

ἐξοικίζεσθαι τῶν δυσσεβῶν Σοδομιτῶν· ἀλλὰ καὶ Μωϋσῆς, ὡς προεῖπον, "μέγας γενόμενος καὶ ἀρνησάμενος λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ," τῆς ἀπὸ τοῦ τυράννου καὶ τῶν δορυφόρων αὐτοῦ προνοεῖται διαζεύξεως καὶ προτρέπεται τοὺς συμφρονοῦντας αὐτῷ συναπάραι καὶ τῆς ἐξόδου ἐπιμελεῖσθαι. καὶ οἱ προφῆται δὲ τὸν τῶν μοχθηρῶν ὄχλον περιϊστάμενοι ἐν ἐρημίαις τὰ πολλὰ ἐζητήθησαν, περὶ ὧν καὶ ὁ ἀπόστολός φησιν· "Ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις πλανώμενοι καὶ ταῖς ὀπαῖς τῆς γῆς," διὰ τὴν τῶν ἀνόμων ἐπιμιξίαν, καὶ ἄλλως ἐπιστάμενοι, ὅτι ἱκανὸν ἡ συνήθεια ἐξαπατῆσαι καὶ εἰς τὰ αὐτὰ καθέλκειν τοὺς συνημερεύοντας· οὐ μόνον, ἀλλ᾽ ὅτι καὶ καθ᾽ ἑαυτὴν ἡ ὁμιλία ἐπίψογός τε καὶ δηλητήριος, πρὸς δὲ καὶ αἰσχρά. οὐ γὰρ φύσιν ἔχει τὸ μὴ ἡδόμενον ἐπί τινι ὑπομεῖναι, κἂν ἐπὶ βραχὺ τούτῳ συνδιατρίβειν· ἀεὶ γὰρ "τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον," ὡς καὶ λέγεται· "Πᾶν ζῶον τὸ ὅμοιον ἀγαπᾷ"· τὸ δὲ ἀνόμοιον ἐχθρὸν καὶ ἀλλότριον. τίς γάρ ποτε πείσει τὴν σπερμολόγον περιστερὰν ἢ τρυγόνα ἰκτῖσιν ἢ κόραξι συννεμηθῆναι τοῖς κρεοφάγοις, ἢ τὸν ποηφάγον χῆνα καὶ γέρανον γυψὶν ὀστογλύφοις συναγελάσαι; -"τίς" γὰρ "κοινωνία φωτὶ πρὸς σκότος," ἢ ἀρετῇ πρὸς κακίαν, κακοῖς δὲ πρὸς καλούς;

Ο ΔΙΑΚΟΝΟΣ. Πῶς οὖν ὁ ἀπόστολος λέγει, ὅτι "Ἐγενόμην τοῖς πᾶσι τὰ πάντα, τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα ἀσθενεῖς κερδήσω· τοῖς ἀνόμοις ὡς ἄνομος, ἵνα ἀνόμους κερδήσω";

Ο ΕΠΙΣΚΟΠΟΣ. Αὕτη ἡ μαρτυρία, ὦ βέλτιστε, οὐ συντελεῖ πρὸς τὰ λεγόμενα· οὐ γὰρ εἶπεν ὁ Παῦλος· "Ἐγενόμην τοῖς ἀμελέσιν ἀμελής, ἢ τοῖς φλυάροις φλύαρος, ἢ τοῖς φιλαργύροις φιλάργυρος," ἢ ἕτερόν τι τῶν τοιούτων, ἀλλ᾽ "Ἐγενόμην ὡς τὸ ἢ τό," οὐχὶ "τό" (τὸ γὰρ "ὡς τὸ" οὐ ταὐτόν ἐστι τῷ "τό"). "τοιοῦτον" δέ ἐστι τὸ λεγόμενον ἢ γινόμενον παρὰ τοῦ ἀποστόλου· οὗ ἡ συγκατάβασις κἂν μὴ μέγα κέρδος ἐνεποίει, ἀλλ᾽ οὖν γε οὐ παρεῖχε βλάβην· "ἐγενόμην" γὰρ "Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω." καίπερ ἐξ Ἰουδαίων ἦν, ἐμπερίτομος ὤν· πῶς οὖν λέγει, "ὡς Ἰουδαῖος" καὶ οὐχὶ "Ἰουδαῖος"; συσσαββατίζων γὰρ καὶ συννηστεύων πολλάκις εὑρίσκετο, μὴ παραφθείρων τὰ δόγματα τοῦ Σωτῆρος, ἵνα τῇ συνηθείᾳ καὶ τῷ συμβαδισμῷ ἐφελκύσηται αὐτοὺς εἰς τελειοτέραν ἐπίγνωσιν· καθάπερ οἱ ἰατροὶ τοῖς νοσοῦσιν οὐκ ἀεὶ συνόντες, οὔτε τοῦ αὐτοῦ νοσήματος ἀπολαύοντες οὔτε ταῖς αὐταῖς ἐπιθυμίαις

λυττῶντες. πρέπουσα γὰρ αὕτη διδασκάλῳ διαγωγὴ τὸ μὴ ἐγχρονίζειν τοῖς ὄχλοις, ἀλλ᾽ ἠρεμοῦντα καὶ ἐξερευνῶντα ζητεῖν τῶν πολυτρόπων ἠθῶν τὴν διάγνωσιν, ὥσπερ καὶ ἐπὶ τῶν ἐπιστημόνων ἰατρῶν. ἐκεῖνοι γὰρ τὰ πολλὰ τοῖς βιβλίοις ἐνδιατρίβοντες καὶ τὰ αἴτια τῶν νοσημάτων προλέγουσι καὶ τὰς λύσεις παραδιδόασι, τοσοῦτον πλησιάζοντες τοῖς νοσοῦσιν, ὅσον τὸ πάθος εὑρεῖν καὶ τὸ φάρμακον παρασχεῖν, οὐ συμπαίζοντες οὐδὲ συναριστοῦντες αὐτοῖς. οὐ γὰρ τοῦτο ἰατρικῆς ἐστιν ἀρετῆς τὸ ἐπάγγελμα, τὸ συνεσθίειν ἢ τὸ συμπαίζειν, ἀλλὰ τὸ εἰς ὑγείαν τὸν κάμνοντα ἐπανάγειν. παῦσαι τοίνυν, παρακαλῶ, καὶ περὶ τῶν αὐτῶν μὴ βασάνιζε, τῆς ἀρετῆς οὐδέποτε νικωμένης τοῖς τῶν ἀθυροστόμων ψόγοις· ἀλλὰ μᾶλλον δέξαι μου γνώμην καὶ τοῖς ὠσί σου θυρωρὸν προσκατάστησον, ἵνα μὴ ἅπαντα λόγον σημαίνωσιν καὶ ἔσω ταμείου εἰσδέχωνται τὸν νοῦν σου ταράσσοντα. ἐμοὶ δὲ συγχώρησον τὰ λείποντα προσαναπληρῶσαι τοῦ διηγήματος· ἐπείγομαι γὰρ τὴν ὁδόν μου.

Καὶ ὁ Θεόδωρος εἶπεν·

Ο ΔΙΑΚΟΝΟΣ. Ἐν τίσιν οἱ ἐπίσκοποι, οἱ μετὰ τῶν ἡμετέρων ἀποσταλέντες, Εὐλύσιος καὶ Παλλάδιος καὶ Κυριακὸς καὶ Δημήτριος; ἀμυδρῶς γὰρ ἠκούσαμεν ὅτι ἐξωρίσθησαν.

Ο ΕΠΙΣΚΟΠΟΣ. Εἰ τὰ πρῶτά σοι παρ᾽ ἡμῶν σαφῆ κατεφάνη τὰ περὶ τοῦ μακαρίου Ἰωάννου, οὐδὲν ὑποτυποῦντα ψεῦδος, καὶ εἰ μέμνησαι τούτων, διηγήσομαι καὶ περὶ ὧν πυνθάνῃ.

-Κεφάλαιον Κ΄.

Ο ΔΙΑΚΟΝΟΣ. Οὕτω πεπληροφορημένως ἔχω, ὡς αὐτὸς παρὼν ἐν τοῖς τόποις. ἱκανὸν ἔστω δέ σοι τεκμήριον τῆς ἐμῆς πεισμονῆς ἡ προσοχὴ τῶν λεχθέντων, ὧν ἔναυλον ἔχων τὴν μνήμην, ἴσως καὶ γραφῇ παραδώσω ἐν δέρματι ἀκμαίῳ, μέλανι ἐγχαράξας, εἰς μνήμην τῆς ἡμῶν γενεᾶς καὶ ὠφέλειαν τῶν ἐπισκοπῆς ὀρεγομένων, ἵνα γένωνται κατὰ τὸν ἅγιον Ἰωάννην, ἢ καθ᾽ ὑμᾶς τοὺς ὑπὲρ ἀληθείας τὴν ὁδὸν τῶν μαρτύρων ἐζηλωκότας, ἢ παύσωνται τοῦ βάρους ὑπὲρ τὴν αὐτῶν ἡλικίαν βαστάζειν, τὸν λαϊκὸν καὶ ἀκίνδυνον ἀσπαζόμενοι βίον. ἄμεινον γὰρ παρ᾽ ἐμπείροις κυβερνήταις τὸ ναῦλον δόντας, ἐπιβάτας γενομένους διασωθῆναι, ἢ κυβερνήτου τόπον ἀναλαβόντας, ὑποβρύχιον τὸ σκάφος τῷ φορτίῳ συναπολέσαι.

ἀφηγησάμενος οὖν τὰ κατὰ τὸν μακάριον Ἰωάννην, πῶς τε ἐξήσκησεν καὶ ὅπως διέπρεψεν ἐν ταῖς ἐκκλησίαις, τῇ τε Ἀντιοχέων καὶ τῇ Κωνσταντινουπολιτῶν, καὶ ὅπως ἤχθη καὶ ὅπως συνεσκευάσθη καὶ πάντα τὰ διὰ μέσου πικρά, ἃ παρὰ τῶν πλημμελῶν φιλοπόνως γεγεώργηται, εἰπών τε τὰ κατὰ τὸν Πορφύριον καὶ τὸν Ἐφέσου εὐνοῦχον, ἀπάγγειλον ἡμῖν τὰ λείποντα. τίνες τε ἐν φυλακῇ ἐτελεύτησαν; τίνες τε ἐξωρίσθησαν τῶν Ἰωάννου κοινωνικῶν; δίκαιον γὰρ τῶν τοιούτων μνείας ἐπιτελεῖν εἰς προθυμίαν τῶν ζώντων. εἰ γὰρ ἐν τοῖς βιωτικοῖς τούτοις πράγμασι παῖδες οἱ ὑπὲρ τῶν δεσποτῶν συγκλειόμενοι ἢ τυπτόμενοι ἢ ξεόμενοι εὐνοίας καὶ ἐλευθερίας παρ᾽ αὐτῶν ἀπολαύουσι, πόσῳ πλέον οἱ διὰ Χριστὸν τιμωρούμενοι ἄξιοι καὶ τιμῆς ἐκκλησιαστικῆς καὶ εὐνοίας εἰσίν; περὶ ὧν καὶ ὁ ἀπόστολος λέγει· “Τοῖς δεσμίοις ὡς συνδεδεμένοι, τοῖς κακουχουμένοις συγκακουχούμενοι, ὡς καὶ αὐτοὶ ἐν σώματι ὄντες.” “τίμιος” γὰρ “ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. “

Ο ΕΠΙΣΚΟΠΟΣ. Ἄριστα εἶπας· οὐκοῦν ἄκουσον. οἱ μὲν ἐπίσκοποι, ὡς μὲν ἐν ἀρχαῖς ἡ φήμη περιέδραμεν, εἰς θάλασσαν ἐποντώθησαν· ὡς δὲ ὁ ἀληθὴς περιέχει λόγος, εἰς ἐξορίαν ὑπερόριον ἀπεστάλησαν ἐν ταῖς βαρβαρικαῖς ζώναις, ὑπὸ δημίων εἰσέτι καὶ νῦν φρουρούμενοι. ἐλθὼν γάρ τις συνοδεύσας αὐτοῖς διάκονος ἀφηγήσατο, Κυριακὸν μὲν Ἐμέσης ἐνδότερον ὀγδοήκοντα σημείων εἰς Πάλμυραν, τὸ τῶν Περσῶν φρούριον, εἶναι· Εὐλύσιον δὲ Βόστρας τῆς Ἀράβων ἐσώτερον ὁδὸν τριῶν ἡμερῶν ὁμοίως εἰς φρούριον Μισφᾶς καλούμενον, πλησίον τῶν Σαρακηνῶν· Παλλάδιον δὲ Βλεμμύων ἢ Αἰθιόπων ἐκ γειτόνων φρουρεῖσθαι εἰς Συήνην καλούμενον τὸ χωρίον· Δημήτριον ἔσω εἰς Ὄασιν, τὴν γείτονα τῶν Μαζίκων (εἰσὶ γὰρ καὶ ἄλλαι Ὀάσεις)· Σαραπίωνα δέ, μετὰ μυρίας ἀναποδείκτους συκοφαντίας, ὠμότητι δικαστῶν καθυβρίσαντες αἰκισμοῖς τὸ σῶμα μέχρις ἐκκοπῆς τῶν ὀδόντων, ὡς λόγος, εἰς τὴν ἰδίαν πατρίδα περιώρισαν. Ἱλάριος, ἀνὴρ ἅγιος, γεγηρακώς, εἰς Πόντον τὴν ἐνδοτάτω ἐξαπεστάλη μετὰ πληγάς, οὐ δικαστοῦ, ἀλλὰ τοῦ κλήρου, ὃς ὀκτωκαιδέκατον ἔτος ἔχει, μὴ γευσάμενος ἄρτου, ἀλλὰ ψιλῶν λαχάνων ἢ κολλύβων μεταλαμβάνων. Ἀντώνιος ἐν σπηλαίοις τῆς Παλαιστίνης ἑαυτὸν ἐξώρισεν. Τιμόθεος ὁ Μαρωνείας καὶ Ἰωάννης ὁ τῆς Λυδίας λέγονται ἐν Μακεδονίᾳ. Ῥόδων ὁ τῆς Ἀσίας ἐπορεύθη ἐν Μυτιλήνῃ. Γρηγόριος ὁ τῆς Λυδίας λέγεται ἐν Φρυγίᾳ. Βρίσσων δὲ ὁ ἀδελφὸς Παλλαδίου, ἀποστὰς ἑκουσίως τῆς ἑαυτοῦ ἐκκλησίας, ἐν τῷ ἀγριδίῳ αὐτοῦ διάγει,

ταῖς χερσὶν ἑαυτοῦ τὴν γῆν μεταλλεύων. Λαμπέτιος δέ -ὥς φασιν- ἐν χωρίῳ Λυδίας παρά τινος Ἐλευθέρου ἐπικουρούμενος, τοῖς ἀναγνώσμασι προσέχει. Εὐγένιός ἐστιν ἐν τῇ πατρίδι. Ἐλπίδιος, ὁ μέγας Λαοδικείας τῆς Συρίας, ἅμα Πάππῳ τρία πληροῦνται ἔτη, τὴν κλίμακα τῆς οἰκίας οὐ κατῆλθον προσευχαῖς σχολάζοντες. Ἡρακλείδης ὁ Ἐφέσιος ἐν τῇ εἱρκτῇ τῆς Νικομηδείας ἐγκέκλεισται, -τετραετής ἐστι χρόνος. οἱ δὲ λοιποὶ τῶν κοινωνικῶν ἐπισκόπων, οἱ μὲν ἀνέλπιστα ἐνθυμηθέντες ἐκοινώνησαν Ἀττικῷ, εἰς ἑτέρας μετατεθέντες ἐκκλησίας τῆς Θρᾴκης· οἱ δὲ ἄδηλοί εἰσιν· -Ἀνατόλιον δέ φασιν εἶναι ἐν Γαλλίαις. τῶν δὲ πρεσβυτέρων οἱ μὲν εἰς Ἀραβίαν καὶ Παλαιστίνην περιωρίσθησαν. Τίγριος δὲ εἰς τὴν μέσην τῶν Ποταμῶν περιωρίσθη. Φίλιππος ἐτελεύτησεν φυγὼν ἐν Πόντῳ. Θεόφιλος διάγει ἐν Παφλαγονίᾳ. Ἰωάννης ὁ τοῦ Αἰθρίου μοναστήριον συνεκρότησεν ἐν Καισαρείᾳ. Στέφανον εἰς Ἀραβίαν ἐξορισθέντα τῶν δημίων ἀπέσπασαν οἱ Ἴσαυροι ἀπολύσαντες ἀνὰ τὸν Ταῦρον. Σαλλούστιόν φασιν ἐν τῇ Κρήτῃ. Φίλιππον τὸν ἀσκητὴν καὶ πρεσβύτερον τῶν σχολῶν ἤκουσα ἀῤῥωστοῦντα ἐν Καμπανίᾳ. Σωφρόνιος ὁ διάκονος ἐν φυλακῇ ἐστι τῆς Θηβαΐδος. Παῦλος ὁ διάκονος, ὁ βοηθὸς τοῦ οἰκονόμου, λέγεται ἐν Ἀφρικῇ. ἄλλος Παῦλος, ὁ τῆς Ἀναστασίας, ἐστὶν ἐν Ἱεροσολύμοις. Ἑλλάδιος ὁ πρεσβύτερος, ὁ τοῦ παλατίου, διάγει ἐν ἀγριδίῳ τῆς Βιθυνίας ἰδίῳ. πλείους δὲ κρύπτονται ἐν Κωνσταντινουπόλει, ἄλλοι δὲ ἀπῆλθον εἰς τὰς πατρίδας. Σιλβανὸς δὲ ὁ ἅγιος ἐπίσκοπος ἐν Τρῳάδι ἐστίν, ἁλιεύων καὶ ζῶν. Στέφανος ὁ ἀσκητής, ὁ τὰς Ρωμαίων ἐπιστολὰς διακομίσας, ἐν Κωνσταντινουπόλει, τούτου αὐτοῦ ἕνεκεν τυπτηθείς, ἐπὶ μῆνας δέκα εἰς τὴν εἱρκτὴν ἐβλήθη. προταθείσης δ᾽ αὐτῷ κοινωνίας, ὡς οὐκ ἐπείσθη, ξεσθεὶς εἰσάγαν τάς τε πλευρὰς καὶ τὸ στῆθος (ὧν ἐγὼ αὐτόπτης ἐγενόμην), τῇ τοῦ Χριστοῦ ἐπιμελείᾳ διασωθεὶς ἴσως εἰς δευτέρους ἀγῶνας, μετὰ δέκα μῆνας τῆς θεραπείας ἐξωρίσθη εἰς τὸ Πηλούσιον. Προβιγκάλιός τις στρατιώτης τῶν περὶ τὸν βασιλέα σχολῶν, διαβληθεὶς ὡς φιλητὴς Ἰωάννου, μετὰ πληγὰς πολυτρόπους καὶ ξεσμὸν ἀφειδῆ ἐξωρίσθη εἰς Πέτρας. οἰκέτης δὲ Ἐλπιδίου τοῦ πρεσβυτέρου μισθωθείς -ὥς φασι- πεντήκοντα νομισμάτων, ἵνα τὸν ἅγιον Ἰωάννην δολοφονήσῃ, φωραθεὶς ἐπὶ τούτῳ τρεῖς ἔχων ῥομφαίας, ἔπαισεν τοὺς κατέχοντας αὐτὸν κατὰ μέρος ἑπτά· ὧν οἱ μὲν τέσσαρες παραυτίκα ἐτάφησαν, οἱ δὲ τρεῖς ἐπὶ ἱκανὸν χρόνον ἐπιμεληθέντες ἐσώθησαν, τοῦ φονέως ἀπολυθέντος. Εὐτρόπιος ὁ

μακάριος, ἄφθορος ἀπὸ γυναικῶν, ψάλτης, τυπτηθεὶς καὶ ξεσθεὶς εἰσάγαν τὰς πλευρὰς σὺν τῷ μετώπῳ, ὡς καὶ τὰς ὀφρῦς κατασπασθῆναι, λαμπάδων αὐτῷ τελευταῖον ταῖς πλευραῖς ἀμφοτέρωθεν γυμνοῖς ὀστέοις προσπιληθεισῶν, ἐλαίῳ κομουσῶν, προσεκπνέει τῷ ξύλῳ, ταφεὶς μεσονυκτίῳ παρὰ τῶν τοῦτο δρασάντων ἱερατικῶν, συνεπιμαρτυρήσαντος τοῦ Θεοῦ τῷ θανάτῳ ὀπτασίᾳ ψαλλόντων διὰ τὸ σύμμορφον τοῦ σωτηρίου πάθους. διηγήσατο δὲ ὁ ἀναλύσας διάκονος ἀπὸ τῶν ἐπισκόπων, ὅτι οἱ ἐπαρχικοὶ οἱ διάγοντες αὐτοὺς ἐπὶ τοσοῦτον ἔθλιψαν κατ᾽ ἐντολάς τινων, ὡς εὔχεσθαι αὐτοὺς θάνατον ἐπελθεῖν καὶ τὸ ζῆν παραιτεῖσθαι. τὰ μὲν γὰρ ἐν ἀργυρίοις ἀναλώματα, ἃ κατὰ τὴν ὁδὸν εἰλήφεισαν, ὑφ᾽ ἓν ἀποσπάσαντες, εἰς ἀλλήλους διεμερίσθησαν, ξηροῖς δὲ τοῖς ὀνοζυγίοις ἐπιῤῥίπτοντες, τῶν δύο ἡμερῶν τὴν ὁδὸν μίαν ἐποίουν, βαθεῖαν ἑσπέραν εἰσάγοντες καὶ ὄρθρῳ σκοτεινῷ ἐξάγοντες, ὡς μηδὲ τὰς ἀθλίας τροφὰς κατέχειν τὸν στόμαχον. ῥήμασί τε αἰσχροῖς καὶ ἀσέμνοις βάλλοντες οὐκ ἐφείδοντο. Παλλαδίου δὲ καὶ τὸν παῖδα ἀφείλαντο βιασάμενοι αὐτὸν καὶ γραμματεῖον ἐκθέσθαι. Δημήτριον δὲ εἰς τοσοῦτον ἔθλιψεν εἷς τῶν διαγόντων, ὡς καὶ ζιβύνῃ βαθεῖαν ἑσπέραν ἐπελθεῖν, ὃς παρὰ πόδας εἰς τὸ σῶμα ἐβασανίσθη, ἐπωδύνως τὸ ζῆν ἀποῤῥήξας, ὡς τοὺς ἐπιθειάζοντας γνωρίζειν τὴν τῶν ὕβρεων ποινήν· προειπόντος αὐτῷ καὶ Παλλαδίου (ὡς ὁ ἐλθὼν διηγήσατο συστρατιώτης), ὅτι “Ἄλλην ὁδὸν οὐχ ὁδεύσεις, οἰκτρῶς τελευτήσας.” ἐκκλησίᾳ μὲν γὰρ τὸ σύνολον πλησιάζειν οὐκ εἴων, καταλύοντες ἢ ἐν πανδοχείοις, ἔνθα ἑταιρίδων πλῆθος, ἢ ἐν ταῖς συναγωγαῖς Σαμαρειτῶν ἢ Ἰουδαίων, μάλιστα ἀπὸ Ταρσοῦ, καὶ ἐκεῖ ὡς στενοχωρουμένους αὐτούς, καὶ ἕτερόν τι ἐννοεῖν ὃ ἦν ἀπρονόητον· λέγει δὲ εἷς τῶν ἐπισκόπων· “Τί λυπούμεθα περὶ τῶν καταγωγίων; μὴ γὰρ ἐφ᾽ ἡμῖν ἐστι τὸ ποῦ μεῖναι, ἵνα οἰκείᾳ αἱρέσει ἀσχημονοῦντες δίκας ὀφλήσωμεν; ἢ οὐκ οἴδατε, ὅτι ταῦτα πάντα καὶ γεγένηται καὶ γενήσεται, τοῦ Θεοῦ διὰ πάντων δοξαζομένου; πόσαι τούτων τῶν ἑταιρίδων λήθην Θεοῦ λαβοῦσαι ἢ τὴν ἀρχὴν μηδὲ γνοῦσαι, ἡμᾶς οὕτω θεασάμεναι, εἰς φόβον Θεοῦ καὶ ἔννοιαν ἦλθον, ἴσως ἐπὶ τὸ κρεῖττον τραπεῖσαι ἢ κἂν ἐπὶ τὸ χεῖρον μὴ καταῤῥεύσασαι; οὐ μικρὸν δὲ ψυχῇ λογικῇ ὑπὸ πάθους κακουμένῃ καὶ μικρὸν ἀναπνεῦσαι, ὅπερ ἐστὶν ἔναυσμα σωφροσύνης· ὡς ταῦτα ὑποστάντα εἰπεῖν τὸν ἱεροφάντην Παῦλον· ‘Χριστοῦ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις,

διὰ τὸ θέατρον γεγενῆσθαι ἀγγέλοις τε καὶ ἀνθρώποις.’” εἰς τοσοῦτον δὲ ὠμότητος οἱ κατὰ τόπον ἤκμασαν ἐπίσκοποι τῶν κοινωνικῶν Θεοφίλου κατὰ τὴν ἀνατολὴν πᾶσαν (ὡς ἔλεγεν ὁ ἐλθὼν ἀσκητής), ὥς τινας αὐτῶν οὐχὶ μόνον μὴ ἐνδείξασθαι τὴν ὀφειλομένην σωφροσύνην ἀλλὰ καὶ μετὰ δώρων πείθειν τοὺς ἐπαρχικοὺς τάχιον ἐξελαύνειν τῶν πόλεων. εἰσὶ δὲ οἱ μάλιστα τοῦτο πεποιηκότες, ὁ Ταρσοῦ καὶ ὁ Ἀντιοχείας καὶ Εὐλόγιος ὁ Καισαρείας τῆς Παλαιστίνης, ὅ τε Ἀγκύρας πρὸ πάντων καὶ Ἀμμώνιος ὁ τοῦ Πηλουσίου, τοῦτο μὲν δόμασι, τοῦτο δὲ ἀπειλαῖς πλέον κατ᾽ αὐτῶν τοὺς διάγοντας στρατιώτας ἐξαγριοῦντες, ἵνα μήτε τοὺς τῶν βουλομένων λαϊκῶν ἐπιδέχεσθαι αὐτοὺς συγχωρῶσιν· καθὼς ἐν ταῖς καθολικαῖς γράφει Γαΐῳ ὁ μακάριος Ἰωάννης κατά τινος ἐπισκόπου, ἀποδεχόμενος τοῦ Γαΐου τὸ ξενοδόχον, παρακαλῶν αὐτὸν μὴ μιμεῖσθαι τοὺς πονηροὺς τῶν ἐπισκόπων. ἔχει δέ πως ἡ λέξις· “Γαΐῳ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ. ἀγαπητέ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή. ἐχάρην γὰρ λίαν ἐρχομένων τινῶν καὶ διηγουμένων μοι, ὅτι ἐν ἀληθείᾳ περιπατεῖς καὶ ἐφ᾽ οἷς ἀνέπαυσας τοὺς ἁγίους. μείζονα ταύτης χαρὰν οὐκ ἔχω.” ἐπιφέρει δὲ μετὰ τοῦτο· “Ἔγραψα τῇ ἐκκλησίᾳ· ἀλλ᾽ ὁ φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ ἐπιδέχεται ἡμᾶς, λόγοις πονηροῖς φλυαρῶν· καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφούς, καὶ τοὺς βουλομένους κωλύει, καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει.” εἶθ᾽ ὕστερον παραινεῖ λέγων· “Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακόν· ὁ γὰρ ἀγαθοποιῶν ἐκ τοῦ Θεοῦ ἐστιν· ὁ κακοποιῶν οὐχ ἑόρακεν τὸν Θεόν.” ἐμνημονεύσαμεν δὲ τοῦ ῥητοῦ ὅλου τῆς παλαιᾶς πονηρίας, ἵνα τῶν νῦν Διοτρεφῶν παραστήσωμεν τὴν γνώμην. ἐπῄνει δὲ καὶ ἐθαύμαζεν τῆς δευτέρας Καππαδοκίας τοὺς ἐπισκόπους, ὡς πολὺ συναλγήσαντας μετὰ δακρύων τοῖς ἐξορισθεῖσιν ἐπισκόποις, μάλιστα τὸν ἐπιεικέστατον Θεόδωρον τῶν Τυάνων καὶ Βοσπόριον Κολωνείας, τεσσαρακοστοόγδοον ἔτος ἔχοντα ἐν τῇ ἐπισκοπῇ, καὶ Σαραπίωνα τὸν Ὀστρακίνης, τεσσαρακοστοπέμπτον ἔτος ἔχοντα ἐν τῇ τῆς ἐπισκοπῆς λειτουργίᾳ.

Ἐνεὸς δὲ γενόμενος ἐπὶ πολὺ ὁ Θεόδωρος εἶπεν·

Ο ΔΙΑΚΟΝΟΣ. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα, πάτερ; μὴ ἄρα “ἐσχάτη ὥρα ἐστίν,” καὶ “ἡ ἀποστασία,” κατὰ τὸν Παῦλον, διὰ τούτων λαμβάνει τὴν εἴσοδον, ἵνα λοιπὸν “ἀποκαλυφθῇ ὁ υἱὸς τῆς ἀπωλείας ὁ ἀντικείμενος”; τὸ γὰρ τοὺς κακοὺς εὐημερεῖν καὶ διαπράττεσθαι

ταῦτα καὶ χρονίζειν καὶ ἰσχύειν, καὶ τοὺς καλοὺς θλίβεσθαι καὶ λεηλατεῖσθαι, εἰς φρίκην με ἄγει τοῦ πλησιάζειν ἐκεῖνον.

Ο ΕΠΙΣΚΟΠΟΣ. Μάλιστα μὲν οὖν, συνετώτατε, ἐγγύς ἐστιν τὸ τέλος, κατὰ τὸν εἰπόντα· "Παιδία, ἐσχάτη ὥρα ἐστίν," καὶ κατὰ τό· "Ἐξῆλθεν δὲ ὁ οἰκοδεσπότης περὶ ὥραν ἑνδεκάτην μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα"· ἡ δὲ ἐσχάτη τῶν δώδεκα ἔστιν ἡ τελευταία, -εἰ δὲ πρὸ τετρακοσίων ἐτῶν εἴρηται παρὰ τοῦ ἀποστόλου ἐσχάτη, πολλῷ μᾶλλον νῦν διὰ πάντα. ἔπειτα δὲ ἀπ᾽ ἀρχῆς ἐστι ταῦτα κατὰ συγχώρησιν τοῦ Κυρίου εἰς γυμνάσιον τῶν ἁγίων, ἐξαιτοῦντος αὐτοὺς τοῦ διαβόλου, καθὼς λέγει ὁ σωτήριος λόγος· "Σίμων, Σίμων, ἐξητήσατο ὑμᾶς ὁ Σατανᾶς σινιάσαι ὡς τὸν σῖτον· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου." καὶ οὐ πάντως περὶ μόνου Πέτρου δεδέηται Ἰησοῦς, ἀλλὰ περὶ πάντων τῶν τὴν Πέτρου πίστιν ἐχόντων, οὐδὲν ἕτερον αἰνισσομένου τοῦ κοσκίνου ἢ τὸν περίγειον κύκλον ἡδονῶν καὶ ὀδυνῶν πεπληρωμένον, δι᾽ ὧν ὡς δι᾽ ὀπῶν ἐκπίπτουσιν οἱ γεώδεις ἀπὸ τοῦ τροφίμου σίτου ἐπὶ τὸν Ἅδην, ὡς ἀπὸ τρυπημάτων διαχωριζόμενοι· τῶν μὲν διαῤῥεόντων ὡς δι᾽ ὀπῆς τῆς γαστριμαργίας, "ὧν ὁ Θεὸς ἡ κοιλία"· τῶν δὲ διὰ φιληδονίας, περὶ ὧν ὁ προφήτης λέγει· "Πνεύματι πορνεία, ἐπλανήθησαν" ("οὔτε" γὰρ "πόρνοι, οὔτε μοιχοί, οὔτε μαλακοί, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι")· τῶν δὲ διὰ φιλαργυρίας, ὅσοι τὴν τῆς εἰδωλολατρείας ὁμόζυγον ἐμνηστεύσαντο· τῶν δὲ δι᾽ ὀργῆς καὶ θυμοῦ, ὅσοι τὸ θηριῶδες σκότος ἠγάπησαν, περὶ ὧν Ἰωάννης φησίν· "Ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν σκοτίᾳ ἐστὶν ἕως ἄρτι" ("Ὀργὴ" γάρ, φησιν ὁ παροιμιαστής, "ἀπόλλυσι καὶ φρονίμους")· τῶν δὲ δι᾽ ἀκηδίας καὶ λήθης, μὴ προσκαρτερούντων τῇ ἀγρυπνίᾳ τῆς μνήμης καὶ δεομένων τό, "Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας" (οὓς ταλανίζων ὁ λόγος φησίν· "Οὐαὶ ὑμῖν τοῖς ἀπολελωκόσι τὴν ὑπομονήν· καὶ τί ποιήσετε ὅταν ἐπισκέψηται ὁ Κύριος; ")· ἄλλων δι᾽ εὐδοξίας ἀλόγου, περὶ ὧν ὁ ᾠδικὸς προανεφώνει· "Ὅτι διεσκόρπισεν ὁ Θεὸς ὀστᾶ ἀνθρωπαρέσκων"· ἑτέρων δι᾽ ἀλαζονείας ἢ τύφου, ὅ ἐστιν ὑπεροψία, οὓς μέμφεται ὁ προφήτης ὡς λιποτάκτας· "Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα· ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα." ἑκάστῃ δὲ τούτων τῶν κακιῶν παρέπονται πλείους· τῷ τύφῳ ὁ φθόνος, τῇ πλεονεξίᾳ τὸ μῖσος καὶ ἀνελευθερία καὶ ψεῦδος, τῷ θυμῷ ὀργὴ ἢ μῆνις, αἱ ὕβρεις, οἱ φόνοι, τῇ πορνείᾳ ἡ λήθη, ἡ ἀφοβία, ὁ ὄκνος, ἡ ἀζηλία, ἡ ἀνόνητος ἀγρυπνία, τῇ κενοδοξίᾳ αἱ

πολυπραγμονίαι, δωροδοκίαι, φαντασίαι, ὑποκρίσεις, προσωποληψίαι, φενακισμοί, τῇ ὑπερηφανίᾳ αἱ ἀπόνοιαι, αἱ ἀσπλαγχνίαι, ἀνοσιουργίαι, ἐκστάσεις φρενῶν, καὶ ἄλλη ἄλλαι (ἵνα μὴ πλείους εἴπω, φορτίζων τὸν λόγον, εὐαποδείκτου ὄντος τοῦ εἰρημένου). τούτων ἑκάστη τῶν κακιῶν ὁ Θεὸς ἀντίδικον ἔταξεν ἀρετήν· ὡς τῇ λαγνείᾳ τὴν σωφροσύνην, τῇ λαιμαργίᾳ τὴν ἐγκράτειαν, τῇ πλεονεξίᾳ τὴν δικαιοσύνην, τῇ ὀργῇ τὴν πραΰτητα, τῇ λύπῃ τὴν χαράν, τῇ λήθῃ τὴν μνήμην, τῇ ἀκηδίᾳ τὴν ὑπομονήν, τῇ ἀφροσύνῃ τὴν φρόνησιν, τῇ δειλίᾳ τὴν ἀνδρείαν, τῇ κενοδοξίᾳ τὴν ταπεινοφροσύνην, καὶ ἄλλῃ ἄλλην· πάσαις δὲ τὴν θείαν Γραφήν. μόνῳ δὲ τῷ τύφῳ οὐκ ἔδωκεν ἀρετὴν ἀντικειμένην διὰ τὴν ὑπερβάλλουσαν κακίαν, ἑαυτὸν αὐτῇ φυλάξας, καθὼς εἴρηκεν· "Ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται." ὡς ὁ αὐτὸς ἱκετεύει προφήτης, λέγων· "Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος"· καὶ πάλιν, "Ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις." καὶ ὥσπερ "ἀπὸ τοῦ καρποῦ τὸ δένδρον γνωρίζεται" (ὡς ὁ Κύριος εἶπεν· "Ἐκ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς"), οὕτως ἕκαστος τῶν ἀνθρώπων, εἴτε ὄντων ἁγίων εἴτε καὶ λεγομένων. οὕτω δὲ πάντοτέ εἰσιν αἱ τῶν κακῶν ἄσειστοι εὐημερίαι, τοῦ Θεοῦ ἐπ᾽ αὐτοῖς μακροθυμοῦντος. τοῦτο γὰρ αὐτῷ πρέπει, ὡς τοὺς ἁγίους αὐτὸ τοῦτο ἐκ προσώπου τῶν θλιβομένων προαναφωνεῖν, εἰς ἡμῶν τῶν νῦν πασχόντων παράκλησιν. πρῶτος ὁ τῆς ὑπομονῆς υἱὸς Ἰώβ, τί φησι μετὰ πολλά; -"Τί γάρ; μὴ ἐξ ἀνθρώπου ἡ ἔλεγξίς μου" (τὸ ἄμεμπτον αἰνιττόμενος); ἢ διὰ τί οὐ θυμωθήσομαι; εἰσβλέψαντες εἰς ἐμὲ θαυμάσατε, χεῖρα θέντες ἐπὶ σιαγόνι. ἐάν τε γὰρ μνησθῶ, ἐσπούδακα, ἔχουσι δέ μου τὰς σάρκας ὀδύναι. διὰ τί ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ ἐν πλούτῳ; ὁ σπόρος αὐτῶν κατὰ ψυχήν, τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς. οἱ οἶκοι αὐτῶν εὐθηνοῦσιν, φόβος δὲ οὐδαμοῦ, μάστιξ Κυρίου οὐκ ἔστιν ἐπ᾽ αὐτούς. ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκησεν, διεσώθη δὲ ἀπὸ καύματος, ἐν γαστρὶ ἔχουσα οὐκ ἔσφαλεν. μένουσι δὲ ὥσπερ πρόβατα αἰώνια, τὰ δὲ παιδία αὐτῶν προσπαίζουσιν· ἀναλαβόντα ψαλτήριον καὶ κιθάραν καὶ εὐφραίνονται φωνῇ ψαλμοῦ. συνετέλεσαν ἐν ἀγαθοῖς τὴν ζωὴν αὐτῶν, ἐν δὲ τῇ ἀναπαύσει τοῦ Ἅδου ἐκοιμήθησαν. λέγει δὲ τῷ Κυρίῳ· 'Ἀπόστα ἀπ᾽ ἐμοῦ, τὰς ὁδούς σου εἰδέναι οὐ βούλομαι.'" τούτῳ συνῳδὰ ὁ ἀνεξίκακος, καὶ τῶν θείων ᾄστης κριμάτων, κατὰ τό, "Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε," Δαυεὶδ φησιν· "Ὡς ἀγαθὸς ὁ

Θεὸς τῷ Ἰσραήλ, τοῖς εὐθέσι τῇ καρδίᾳ. ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ᾽ ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.” διὰ τί; “ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν.” καὶ ἐν ἑτέρῳ πάλιν τὸν πλοῦτον αὐτῶν διαβάλλων, λέγει· “Οἱ βόες αὐτῶν παχεῖς· τὰ πρόβατα αὐτῶν πολυτόκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν· τὰ ταμεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο· αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.” ἀλλὰ καὶ τὴν κακὴν αὐτῶν ὁμόνοιαν καὶ εἰρήνην θαυμάζων, ἐπιφέρει· “Οὐκ ἔστι κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν, οὐδὲ κατάπτωμα φραγμοῦ ἐν τοῖς οἴκοις αὐτῶν.” εἶτα τὴν τῶν πολλῶν διαβάλλων διεφθαρμένην δόξαν, φησίν· “Ἐμακάρισαν τὸν λαόν, ᾧ ταῦτά ἐστιν.” καὶ ἐπιφέρει· “Μακάριος ὁ λαὸς οὗ Κύριος ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ.” καὶ ἵνα μὴ μέχρι τούτου στήσας τὰς μαρτυρίας, ἐπικίνδυνον ἀποδείξω τῇ ἀτελείᾳ τὸν λόγον. ἄκουε πάλιν μετὰ στερνοκτυπίας τινὸς ἐπὶ τοῖς τοιούτοις τὸν Ἀμβακοὺμ ἀποδυσφοροῦντα καὶ λέγοντα· “Ἕως πότε, Κύριε, κεκράξομαι ἀδικούμενος, καὶ οὐ μὴ εἰσακούσῃς;” ἰδίας γὰρ ἀδικίας τὰς τοῦ πλησίον ὠνόμαζεν. καὶ φιλάδελφος ὢν ἐπιφέρει· “Βοήσομαι πρὸς σέ, καὶ οὐ μὴ σώσῃς; ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους ἐπιβλέπειν, ἐπὶ ταλαιπωρίαν καὶ ἀσέβειαν; ἐξ ἐναντίας μου γέγονεν κρίσις, καὶ ὁ κριτὴς λαμβάνει· διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρῖμα, ὅτι ὁ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον.” τῷ αὐτῷ πνεύματι ὁ συμπαθέστατος τῶν ἁγίων Ἰερεμίας, ἐπαπορῶν ὑπὲρ ἄλλων, βοᾷ· “Δίκαιος εἶ, Κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ· πλὴν κρίματα λαλήσω πρὸς σέ, Κύριε. τί ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα; ἐφύτευσας αὐτοὺς καὶ ἐῤῥιζώθησαν” (ἀντὶ τοῦ, “ἀκωλύτως διάγουσι”), “καὶ ἐποίησαν καρπόν” (οὐ πάντως πνεύματος)· “ἐγγὺς εἶ τοῦ στόματος αὐτῶν, καὶ πόῤῥω ἀπὸ τῶν νεφρῶν αὐτῶν.” ἄντικρυς δὲ ἰσοδυναμοῦντα τούτοις ὁ σοφὸς Σοφονίας ὁ προφήτης, ὡς κακηγόρους τοὺς ἀνθρώπους διαβάλλων, ὡς τὴν πρόνοιαν μεμφομένους καὶ τοὺς ἁγίους ταλανίζοντας, ἐκ προσώπου Κυρίου φησίν· ‘“Ἐβαρύνατε ἐπ᾽ ἐμὲ τοὺς λόγους ὑμῶν,’ λέγει Κύριος, καὶ εἴπατε· ‘Ἐν τίνι κατελαλήσαμεν κατὰ σοῦ;’ εἴπατε, ‘Μάταιος ὁ δουλεύων Θεῷ, καὶ τί πλέον ὅτι ἐφυλάξαμεν τὰ προστάγματα αὐτοῦ, καὶ διότι ἐπορεύθημεν ἱκέται πρὸ προσώπου Κυρίου Παντοκράτορος; καὶ νῦν ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται πάντες ποιοῦντες ἀνομήματα, καὶ ἀντέστησαν

Θεῷ, καὶ ἐσώθησαν.’ ταῦτα κατελάλησαν οἱ φοβούμενοι τὸν Κύριον, ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ.” οἷς τὰ αὐτὰ ἐπιφέρει ὁ κῆρυξ τῆς εὐσεβείας, Παῦλος· “Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι.” εἶτα τὴν εὐτέλειαν τῶν ἁγίων σημαίνει, λέγων· “Δοκῶ γάρ, ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους· ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις. μέχρι γὰρ τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσίν” (τὰς σωματικὰς καταλέγων ταλαιπωρίας)· “λοιδορούμενοι εὐλογοῦμεν· διωκόμενοι ἀνεχόμεθα· βλασφημούμενοι παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι”· τοῦ ἀγαθοῦ καὶ δικαίου Θεοῦ κατὰ τινὰς ἀποῤῥήτους λόγους, σταδίου δίκην, τὸν κόσμον ἐκτείνοντος καὶ αὐτεξουσίους ἡμᾶς ποιήσαντος, ἵνα οἰκείᾳ αἱρέσι τοῖς πράγμασιν ἐπιβάλλοντες δικαίας τὰς εὐθύνας παράσχωμεν, καθὼς ὁ νόμος λέγει· “Τέθεικα πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον, ἔκλεξαι ὃ θέλεις.” διὰ τί δὲ τέθεικεν, οὐ τοῦ παρόντος καιροῦ τὸ λέγειν, πλὴν ὅτι τέθεικεν. οὐ γὰρ σοφὸν ἦν τὸ ἀτρέπτους ἡμᾶς γενέσθαι, ἄθλων οὐ προκειμένων, καὶ γνώμης [οὐ] κατορθούσης, μόνῳ τῷ θείῳ καὶ ἀϊδίῳ προσαρμόζοντος τοῦ ἀτρέπτου.

Ο ΔΙΑΚΟΝΟΣ. Εὖ γε καὶ φιλοσόφως ὑπήντησας, πάτερ, ὀμματώσας τὴν ψυχὴν τῶν παρόντων ἐν τούτοις ἀεὶ προσκοπτόντων διὰ Γραφῶν ἀπειρίαν· καὶ ὅτι γυμνάσιον ὑπέστη διὰ μακρῶν τῶν χρόνων ἡ ἐκκλησία, ἀναδείξασα τοὺς ἑαυτῆς στεφανίτας, ἄνδρας τε καὶ γυναῖκας, οὐ δωρεὰν ἐν τοῖς ὀπίσω χρόνοις Χριστοῦ σάρκας καταφαγόντας. λυπεῖ δὲ ἡμᾶς ἡ ὑμῶν ἀκαταστασία καὶ ἡ τῶν ἐκκλησιῶν κατάλυσις.

Ο ΕΠΙΣΚΟΠΟΣ. Θαυμάζω σου, ἀνδρῶν τιμιώτατε Θεόδωρε, τοῦ τὸ πολλοστὸν τὴν ὠφέλειαν ὁμολογοῦντος καὶ αὖθις τὰ ἐναντία λαλοῦντος. μακαρίζων γὰρ ὡς στεφανίτας ταλανίζεις ὡς ἐκπεσόντας, ἐπειδὴ τῶν ἐκκλησιαστικῶν ἐστερήμεθα τόπων. ὅμοιον δέ μοι πάσχεις τῶν τὰ Ὀλύμπια θεωρούντων ἀγροίκων· ἐκεῖνοι γὰρ κεχήνασι μὲν πρὸς τὰ βραβεῖα ἡδέως, δακρύουσι δὲ πρὸς τὰς πληγὰς τῶν ἀγωνιζομένων οἰκτρῶς. ἐμοὶ δὲ ἄμεινόν ἐστι φάραγγας καὶ νάπας καὶ πελάγη διώκειν μετὰ τῆς ἀληθείας, ἢ πολλὴν ἔχοντα δόξαν τῆς νῦν νομιζομένης εὐημερίας ὑποκεῖσθαι τῷ ψεύδει.

ἀλήθειαν μὲν γὰρ ἔχων, ἔξω τὰ πάντα· αὐτῆς γὰρ δοῦλα τὰ πάντα· ψεῦδος δὲ κεκτημένος, οὐδ᾽ ἐμαυτόν, ἐκείνης μὴ ὑπάρχων. ἔχων δὲ τὴν ἀλήθειαν, οὐχ ἁπλως αὐτὴν βούλομαι ἔχειν, ὡς δέσποιναν ἢ δούλην ἢ γείτονα, ἀλλ᾽ ὡς ἀδελφήν· ἂν δὲ ᾖ δυνατόν, καὶ ὡς ὁμόζυγον, τῆς ἡδονῆς αὐτῆς ἀπολαύων καὶ μετὰ ταῦτα κληρονομῶν, ὡς ἰδίαν γυναῖκα. θυγάτηρ γάρ ἐστι τῆς ὄντως ἀληθείας, ἧς γαμβρὸς ὁ σπουδαῖος. ὁ γὰρ ταύτην ἔχων σφριγᾷ, ἀνηβᾷ, ἀγήρως ἐστὶ καὶ ἀμάραντος, θερμότερον πυρὸς ἔχων τὸν ζῆλον, ὀξύτερον ξίφους τὸν λόγον, κουφότερον ἀετοῦ τὸν βίον, ἀόκνως τρέχει, καθάπερ πρὸς οἰκουρὸν μητέρα, πρὸς τὴν τῶν Γραφῶν μελέτην· ἀνθεῖ διηνεκῶς τῇ ἀλυπίᾳ, οὐ κεκράτηται φόβῳ, γαυριᾷ τῇ ἀδειλίᾳ, κορυβαντιᾷ τῷ ἐνθουσιασμῷ, οὐ μισεῖ οὐδένα, οἰκτείρει τοὺς κακῶς τῷ βίῳ χρωμένους, μακαρίζει τοὺς ἰδιοπραγοῦντας μετὰ τῆς αὐταρκείας, λυπεῖται τὴν τοῦ Πνεύματος λύπην ἐπὶ τῇ τῶν ἱερατικῶν ἀμελείᾳ, περὶ ὧν εἶπεν ὁ ἀπόστολος· "Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως." λυπεῖ δὲ τὸ Πνεῦμα ὁ διδοὺς αὐτῷ νῶτα τῇ ἀμελείᾳ. καὶ (τί γὰρ τὸ ὅλον;) τελευτᾷ μετὰ παῤῥησίας οὐδένα λυπήσας πλὴν τῶν δαιμόνων, καὶ ὅσοι γείτονες τούτων. χρόνος αὐτῷ περιττεύει· οὐκ ἐκαπήλευσεν τὰς ἡμέρας ἐν κακουργίαις. ἐδιπλασίασεν τὸ δεδομένον χρῆμα καὶ τόκους ἀγαθῶν ἔργων προέπεμψεν, ἐν ὀλίγῳ καιρῷ πληρώσας πολυχρόνια χρέη. διαθήκην ὕλης οὐ γράφει, ζῶν καὶ φρονῶν αὐτὴν κατεπάλαισεν. θάνατος ἔκρουσεν τὴν τοῦ σαρκίου θύραν; πρὶν αὐτὸν ἰδεῖν ἔξωθεν ὄντα, βοᾷ, "Ἀπέλθωμεν ἐντεῦθεν," ἐπιψάλλων· "Οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη." καὶ εἰ μὴ διὰ τὸν πέμψαντα Δεσπότην, αὐτῷ ἂν περιέθηκε δίκας εἰσπράττων, ὅτι σχολαιότερον ἦλθεν. ἀσμενίζει δὲ τελευταῖον ἀπαλλαγεὶς τοῦ πολυπαθοῦς σαρκίου, ὡς ξενιδίου σαθροῦ, ἀπειλοῦντος πτῶσιν· ὤρθωσεν τὸ οὖς πρὸς τὸν λέγοντα, "Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ," ἀκουσόμενος καὶ τὰ ἑξῆς. ἔστω δέ σοι τεκμήριον τῶν λεγομένων ἡ τῶν λόγων πυκνότης· "ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα." ὁ δὲ τῷ ψεύδει συζῶν, βίον ἔχει τεταραγμένον, ποτὲ μὲν χαίρων ἀμέτρως ἐπὶ αὐξήσει ἀργυρίου ἢ δοξαρίου μικροῦ, ἢ πορνιδίου φιλίᾳ, ἢ ἐχθρῶν αὐτοῦ δυσημερίᾳ· ποτὲ δὲ λυπεῖται ἕως θανάτου, τὰς μεταβολὰς ὀνειροπολῶν καὶ τὰς ἀδηλίας, νύκτας ἔχει ἀΰπνους ἢ κακοΰπνους, ὑπονοεῖ ἐπιβουλὰς καὶ τῶν γνησίων, οὐ θαῤῥῶν οὐδὲ ἑαυτῷ, ἀπιστῶν τοῖς πᾶσιν ὡς ψεύσταις. τοιοῦτος αὐτὸς ὑπάρχων, δειλός ἐστιν ὡς

λαγωός, θρασὺς ὡς χοῖρος, ψεύστης ὡς χαμαιλέων, ἀπατεὼν ὡς πέρδιξ, ἀνελεήμων ὡς λύκος, ἀνήμερος ὡς μῦς· ἐχθρὸς ἑαυτοῦ, ἀδιαλείπτως βάσκανος, ἐξ ἀνάγκης ἑαυτὸν τιμωρούμενος οὐκ αἰσθάνεται· κατ᾽ ἄλλου γὰρ κακῶς λογιζόμενος, φθάνει πάσχων ὑφ᾽ ἑαυτοῦ κακῶς. θάνατος ἔνυξε; πάντα δίδωσιν, ἵνα μικρὸν παραμείνῃ, φιλοζωῶν· τὸν δεδομένον αὐτῷ χρόνον ἐκαπήλευσεν εἰκῇ· τὸ δηνάριον πρὸς οἷς οὐκ ἐδίπλωσεν, οὐδὲ σῶον ἐφύλαξεν. τρέμει διηνεκῶς ὡς φύλλον, γηρᾶν οὐ βουλόμενος· ληροφρονῶν τὰ γερόντων ὑφίσταται, φοβεῖται τὸν θάνατον ὡς θεόν· Θεὸς παρ᾽ αὐτῷ ὁ φαινόμενος κόσμος. καὶ τί γάρ; ὠχριᾷ, φρικιᾷ, ἀγωνιᾷ· προλαμβάνων τὴν τοῦ Θεοῦ κρίσιν, ἑαυτὸν τιμωρεῖται, τοῦ συνειδότος ἀνηλεῶς βασανίζοντος καὶ καθ᾽ ἓν τῶν πλημμελημάτων ὑπομιμνήσκοντος, δεινότερα πάσχων ἤπερ οἱ μαστιγούμενοι τὰ ἑαυτῶν σώματα ταῖς πληγαῖς. ὑποδύνει τὰς κατὰ καιρὸν δυναστείας δουλοπρεπῶς, κολακεύει τὸν κόσμον αἰσχρῶς, ἀντὶ ἑνὸς κυρίου μυρίους ἔχει δεσπότας, ἵνα μὴ τῇ ἀληθείᾳ δουλεύσῃ. ἐπίφοβος ἀσκεῖ εἶναι, φοβούμενος τοὺς πάντας. ταῦτα μέν σοι παρ᾽ ἡμῶν κατὰ δύναμιν εἰρήσθω. καὶ εἴ τις ἀληθέστερον καὶ γλαφυρώτερον λέγων τὴν οὐθένειαν ἡμῶν διορθώσηται, καὶ τοῦτον ἡδέως ἀποδεξώμεθα ὡς διορθωτὴν καὶ φιλάδελφον καὶ τῷ Σωτῆρι εὐχαριστήσωμεν διὰ πάντα. πλὴν καὶ αὐτὸς ἀντίδος μοι τοῦ σκοποῦ τὴν γνῶσιν τῆς δυτικῆς συνόδου καὶ ἐπισφράγισαί μου τοὺς λόγους, εἴ γέ σοι συνήρεσαν, ὡς ἐπωφελῶς εἰρημένοι.

Μετὰ δὲ τὸ παύσασθαι τὸν διηγησάμενον εἶπεν ὁ Θεόδωρος ταῦτα·

Ο ΔΙΑΚΟΝΟΣ. Σοὶ μὲν τῷ διηγησαμένῳ ταῦτα “δῴη Κύριος ἔλεος εὑρεῖν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ,” καὶ ὅτι τῶν τοιούτων ἀπέστης τῆς κοινωνίας καὶ ὅτι ἡμῖν σαφῶς διηγήσω· μνησθείη δὲ Κύριος πάσης θυσίας τῆς Ἰωάννου, ὅτι ἕως θανάτου οὐ προέδωκεν τὴν παῤῥησίαν. ὁ δὲ σκοπὸς τῆς ἐκκλησίας Ρωμαίων οὕτως ἐστίν, ἕως τέλους μὴ κοινωνῆσαι τοῖς ἀνατολικοῖς ἐπισκόποις, μάλιστα Θεοφίλῳ, ἕως ἂν δῷ Κύριος χώραν οἰκουμενικῆς συνόδου, ἰατρευούσης τὰ σεσηπότα μέλη τῶν ταῦτα ἐργασαμένων. εἰ γὰρ καὶ κεκοίμηται ὁ μακάριος Ἰωάννης, ἀλλ᾽ ἐγρήγορεν ἡ ἀλήθεια, δι᾽ ἣν ἡ ζήτησις ἔσται. τοῖς δὲ ταῦτα διαπραξαμένοις ἐν τῇ ἐκκλησίᾳ ἡδέως ἂν συνέτυχον κατὰ πρόσωπον, εἰπών· “Ποῦ ἡ ἱερωσύνη; ποῦ ἡ ὁσιότης; ποῦ τὸ ἥμερον καὶ κοινὸν τῆς φύσεως; ποῦ αἱ ἐντολαὶ τοῦ Σωτῆρος, τό, ‘Ἐὰν προσφέρῃς

τὸ δῶρόν σου, καὶ μνησθῇς ὅτι ἔχει τι κατὰ σοῦ ὁ ἀδελφός σου, ἄπελθε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ οὕτω πρόσφερε τὸ δῶρόν σου’· ποῦ τό, ‘Ἐάν τίς σε ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην’; ποῦ ἡ τῶν Γραφῶν μελέτη, τό, ‘Ἰδοὺ τί καλὸν ἢ τί τερπνόν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό’; ποῦ τό, ‘Ἀδελφοὶ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν’; διὰ τί δέ, ‘Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά,’ ἀντιστρέψαντες πεποιήκατε; ‘ἀδελφὸς ὑπὸ ἀδελφοῦ’ συκοφαντούμενος ἢ λαφυραγωγούμενος, ‘ὡς πόλις’ οἰκτρὰ καὶ ἀτείχιστος. τί ποτε οὖν ὡς ἄμικτον τὸ χρῆμα διώκειν ἐπεχειρήσατε, τρὶς καὶ οὐχ ἅπαξ ἄθλιοι; τίνι δὲ λόγῳ, ὡς πρὸς ἐχθρόν, φονᾶν κατ᾽ αὐτοῦ οὐχ ὑπεστείλασθε; πῶς δὲ καὶ ἐπῆλθεν ὑμῖν οὕτως κατ᾽ ἀλλήλων ἐξαγριαίνεσθαι; πόθεν δὲ καὶ τὴν τηλικαύτην μεταβολὴν ἐνεδείξασθε, ὡς ἀπὸ τοῦ τιθασσοῦ ἐπὶ τὸ ἀτίθασσον καὶ ἀνήμερον μεταβαλεῖν; θαυμάζω, καὶ τῆς διαστροφῆς θαυμάζων ἐκπέπληγμαι, ὁρῶν λίαν διακεκινημένον τὸ πᾶν ἐπὶ τοῦτο. ἵνα τί δὲ οὕτω πολλῷ τῷ θράσει ἐπαιρόμενοι ‘τὴν τιθηνοκόμον καὶ κουροτρόφον’ τοῦ Θεοῦ ἐκκλησίαν, οἷα πολύγονον μήτραν ὑβρίσατε διακείραντες; -ὡς ἐφ᾽ ὑμῖν πληροῦσθαι τὸ προφητικόν· ‘Ἀνθ᾽ ὧν ἐδίωξαν ἐν ῥομφαίᾳ τὸν ἀδελφὸν αὐτῶν, καὶ ἐλυμήναντο μήτραν ἐπὶ γῆς.’ ᾗ μήτρᾳ συνὼν ὁ θεῖος καὶ σωτήριος λόγος ὑμᾶς τε κἀκεῖνον ἔσπειρέν τε καὶ ἐφύτευσεν ἐπὶ ἀμυθήτοις χρηστοῖς καὶ ὠφελίμοις πράγμασιν. ἀντὶ γὰρ τοῦ συναντιλαμβάνεσθαι ὑμᾶς ἀλλήλους, εἰς ἃ καὶ προσῆκεν τί μαθόντες οὐδ᾽ ἡσυχάζειν καὶ καθ᾽ ἑαυτοὺς ἠρεμεῖν ἐκρίνατε κἂν τοῦ λοιποῦ; εἰς τὴν χρείαν οὖν τῆς συναντιλήψεως κτισθέντες, τί ἐῤῥᾳδιουργήσατε τὴν χάριν, οὐ μόνον μὴ ἐπικουφίζοντες τοὺς πόνους, ἀλλὰ καὶ προσαπωθούμενοι καὶ τῆς οἰκείας συγγενείας ἀποσχίζοντες· τοῦ προφήτου πρὸς ὑμᾶς βοῶντος· ‘Οὐχὶ Πατὴρ εἷς πάντων ἡμῶν; οὐχὶ Θεὸς εἷς ἔκτισεν ἡμᾶς;’ ἀλλ᾽ ἐρεῖτέ μοι· ‘Ἥμαρτεν εἰς τὸν νόμον.’ ποῖον; ὃν ὑμεῖς κατεπατήσατε τῇ πονηρίᾳ διασκεδάσαντες; ποῦ οὖν ὁ τῆς φύσεως νόμος, τὸ μετὰ χρηστότητος διορθώσασθαι; τί δαὶ καὶ νόμῳ πολεμίων καταχρώμενοι, διώκετε ἐν οἷς βουλεύεσθε, καὶ πράσσετε ἐναντίοις οὖσιν καὶ ἔχθρας ἀξίοις; πόσῳ δὲ ἦν ἄμεινον συνοικοῦντας καὶ ἐν ταὐτῷ διαιτωμένους, τῶν κοινῶν καὶ ἀγαθῶν βουλευμάτων ἀλλήλοις μεταδιδόναι, εἰς χάριν καὶ ἀρέσκειαν τοῦ ὑμετέρου Πατρός; τέκνων γὰρ ἀρετὴ καὶ συμφωνία χαρίτων, καὶ σφόδρα εὐμενὴς τοῖς τοκεῦσι, μηδενὸς ἄλλου χρῄζουσιν ἀπὸ τῶν ἰδίων ἐγγόνων ἢ τούτου. εὖ ἴστε δὲ καὶ τοῦτο, ὅτι

φιλίας καὶ εὐνοίας σύνδεσμος οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ σπουδάζειν καὶ πάντα πράττειν ἀρεσκόντως τῷ Πατρὶ καὶ τῷ τῆς γενέσεως καὶ διατροφῆς καὶ διαμονῆς αἰτίῳ· οὗ ὑπερφρονήσαντες ὡς λήρου, πολέμους ἐν τῇ ἐκκλησίᾳ ἐξήψατε, κατὰ τὸν εἰπόντα προφήτην· 'Μανίαν ἐν οἴκῳ Κυρίου κατέπηξαν,' ἀντὶ τοῦ παρορμᾶν καὶ προτρέπειν ἀλλήλους· ἔπειτα παρὰ νοῦν καὶ γνώμην τὴν τοῦ Πατρὸς πολέμους ἀσυμβάτους ἐργαζόμενοι ἐν ἀλλήλοις. προστίθημι δέ, ὅτι καὶ τὸν Θεὸν καὶ πάντας τοὺς προσχωροῦντας αὐτῷ, τοῦ μὲν υἱούς, ὑμῶν δὲ ἀδελφούς, σφόδρα ἐξίστησι καὶ κινεῖ, καὶ σιωπᾶν οὐκ ἐπιτρέπει (οὐδὲ γὰρ ὀλίγωρος οὐδὲ τῆς τῶν τέκνων ὠφελείας ἀφροντίς ἐστιν). ἀχθόμενος τοιγαροῦν ἐπί τε τῇ ὑμετέρᾳ φρενοβλαβείᾳ καὶ ἐπὶ τῇ τῶν ἀδικουμένων καταδυναστείᾳ, διὸ καὶ παρελθεῖν ὑμᾶς ἀτιμωρήτους οὐ κρίνει δίκαιον (καθὼς ἐνήρξατο)· οὔτε γὰρ αὐτῷ εὐπρεπὲς οὔτε ὑμῖν ἀσφαλές· τό τε πάθος ὑμῶν οὐ φορητόν, ἐπιμελείας τε οὐ τῆς τυχούσης, διά τε πληγῶν καὶ τῶν ἀπὸ παιδείας μωλώπων οὐκ ἀριθμητῶν χείρους ὑμᾶς ὁρᾷ. πολὺ γὰρ τὸ ἀναίσθητον καὶ ἀκαμπέστατον ὑμῖν ἐπιπολάζει, ἀδελφούς, γνησίους, καὶ ὁμοδιαίτους, πρὸς δὲ καὶ ὁμοσπόνδους, ὁμοτραπέζους τε καὶ ὁμολέκτους, μιᾶς καὶ τῆς αὐτῆς συγγενείας τετυχηκότας, οὕτως εἰς μῖσος ἔχθιστον περιετρέψατε, ὡς καὶ τῶν ἰδίων ὅρων καὶ τῆς κοινῆς ἑστίας ἀποδιαπέμπεσθαι καὶ πόῤῥω ἀπελαύνειν, ἀπόλεις καὶ ἀοίκους, πρὸς δὲ καὶ φυγάδας, ὅσον ἐφ᾽ ὑμῖν ἧκον μέρος, κατασκευάσαντες καὶ ταῦτα οὐ πρὸς ποσόν τινα χρόνον τὴν φυγάδα ὁρίσαντες, ἀλλ᾽ ὅσον ἐδυνήθητε καὶ ἐπ᾽ ἄπειρον, διὰ τὸ ὠμόθυμον καὶ τὸ λίαν παρακεκινημένον ὑμῶν. ὃ ἐπ᾽ αὐτοῖς καὶ τῷ μακαρίῳ Ἰωάννῃ κέκτησθε, ἔγκοτον τὸ ἔχθος ἀναζωπυροῦντες καί, ὥσπερ ἠκονημένον ξίφος, μέχρι τῆς δεῦρο κατ᾽ αὐτοῦ χαλῶντες τὴν γλῶτταν, τὴν μῆνιν ἀσπάζεσθε ἀντὶ διδασκαλίας ἐπωφελοῦς, τὴν κατηγορίαν ἐπὶ τῆς ἐκκλησίας εἰς μολυσμὸν τῶν ἀκουόντων ἐκχέοντες -καὶ ταῦτα μὲν ἐκείνοις, οἷς 'ὁ Κύριος' ἐν ἐλέει καὶ φιλανθρωπίᾳ 'ἀποδώσει κατὰ τὰ ἔργα·'" σοὶ δὲ ποίων λόγων "ἀμάραντον στέφανον" πλέξας οἴσω, μακάριε Ἰωάννη, μετὰ ἔξοδον τοῦ σταδίου οὐ φοβούμενος τὸ ἐγκωμιάσαι (ἀπεδύσω γὰρ τὴν τρικυμίαν); -ἢ τῶν Μωσαϊκῶν ἐκείνων νόμων οὓς δέδωκεν εὐλογήσας τὸν πρακτικὸν Ἰωσὴφ καὶ τὸν θεωρητικὸν Λευῒ τὸν ἱερέα (ἐν σοὶ γὰρ ὁρῶ ἀμφοτέρους); -"Ἐπ᾽ εὐλογίας Κυρίου ἡ γῆ σου, καὶ ἀπὸ ὁρῶν οὐρανοῦ καὶ δρόσου, καὶ ἀβύσσων πηγῶν κάτωθεν, καὶ καθ᾽ ὥραν

γεννημάτων ἡλίου τροπῶν, καὶ ἀπὸ συνόδων μηνῶν, ἀπὸ κορυφῆς ὀρέων ἀρχῆς, καὶ ἀπὸ κορυφῆς ἀενάων βουνῶν, ἔσονται ἐπὶ κορυφῆς Ἰωσήφ" (εἴ τις Ἰωσήφ), "καὶ ἐπὶ κορυφῆς ὧν ἡγήσατο ἀδελφῶν, δοξασθεὶς ἐν ἀδελφοῖς. πρωτότοκος ταύρου τὸ κάλλος αὐτοῦ, κέρατα μονοκέρωτος τὰ κέρατα αὐτοῦ· ἐν αὐτοῖς ἔθνη κερατιεῖ ἅμα ἕως ἐπ᾽ ἄκρου τῆς γῆς. καὶ τῷ Λευῒ εἶπεν" (καὶ εἴ τις αὐτὸν ἐμιμήσατο)· "'Δότε Λευῒ δήλους αὐτοῦ, καὶ ἀλήθειαν αὐτοῦ τῷ ἀνδρὶ τῷ ὁσίῳ, ὃν ἐπείρασαν αὐτὸν ἐν Πείρᾳ, ἐλοιδόρησαν αὐτὸν ἐπὶ ὕδατος Ἀντιλογίας. ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρί, "Οὐχ ἑόρακά σε," καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνω· ἐφύλαξεν τὰ λόγιά σου, καὶ τὴν διαθήκην σου διετήρησεν. ἐδήλωσεν τὰ δικαιώματά σου τῷ Ἰακώβ, καὶ τὸν νόμον σου τῷ Ἰσραήλ· ἐπιθήσει θυμίαμα διὰ παντὸς ἐν ἑορτῇ σου ἐπὶ τῷ θυσιαστηρίῳ σου. εὐλόγησον, Κύριε, τὴν ἰσχὺν αὐτοῦ, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ δέξαι· πάταξον ὀφρὺν ἐχθρῶν ἐπανεστηκότων αὐτῷ, καὶ οἱ μισοῦντες αὐτὸν μὴ ἀναστήτωσαν.'" ἐγὼ δὲ προσπλέξας εἴποιμι· "Οἱ φιλοῦντες αὐτόν, Ἰησοῦ Χριστέ, μὴ καταισχυνθήτωσαν· σὸν γὰρ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν. "

Ο ΕΠΙΣΚΟΠΟΣ. Καὶ αὕτη τῆς σῆς συνέσεως ἡ ἄσκησις, θηρευτὰ νοημάτων Θεόδωρε, ἐκφέρειν "ἐκ τοῦ" τῆς διανοίας σου "θησαυροῦ" (κατὰ τὸν εἰπόντα Σωτῆρα) "καινὰ καὶ παλαιά"· "παλαιὰ" μέν, τῆς ἀνθρωπίνης σοφίας παιδεύματα· "καινὰ" δέ, τὰ τοῦ Ἁγίου Πνεύματος λόγια. ἐξ ὧν θησαυρῶν ὁποτέρῳ μέρει τὸ πρόσφορον δέδωκας, τῆς μὲν σῆς φρονήσεως φράσας τοῖς πλημμελήσασιν ἃ ἥρμοζεν, τῆς δὲ Μωσαϊκῆς εὐλογίας πλέξας Ἰωάννῃ τὸν ὀφειλόμενον στέφανον. ὃς ἀπαθῶς ἱερατεύσας, ἀληθῶς οὐκ ἔγνω πατέρα ἢ μητέρα ἢ γένος αἱμάτινον δικαιοσύνης ὑπερβολῇ, ἀλλ᾽ ἢ τοὺς ἐραστὰς καὶ ἐργάτας τοῦ λόγου. οἱ δὲ καθ᾽ ἡμᾶς δοκοῦντες ἐπίσκοποι τὸ μὲν πήλινον γένος πορισμοῖς καὶ στρατείαις καὶ ἀξιώμασιν ἐγκαθώρμησαν, παραβάντες τὸν εἰπόντα νόμον· "Οὐ δώσουσιν οἱ ἱερεῖς τοὺς υἱοὺς αὐτῶν εἰς ἄρχοντας καὶ παρατρέχοντας τῷ βασιλεῖ"· τὰ δὲ τοῦ Πνεύματος συσκευαῖς καὶ δυσημερίαις καὶ φρουραῖς καὶ περιορισμοῖς ἐνδαπανῶντες, ἄκρατον πιόντες τὴν ἄγνοιαν, ἐκ τούτων νομίζοντες ἀτιμάζειν τοὺς φίλους τῆς ἀρετῆς, περὶ ὧν προεῖπεν ὁ Σωτήρ· "Ἐλεύσονται ἡμέραι, ἐν αἷς δόξουσιν οἱ ἀποκτέννοντες ὑμᾶς λατρείαν προσφέρειν τῷ Θεῷ." καὶ οὐ δήπου περὶ Ἑλλήνων εἶπεν, ἐπεὶ ἂν εἰρήκει, "τοῖς θεοῖς," οἳ πλείονας παρὰ τὸν ἕνα σημαίνουσιν. ἐξ ὧν δὲ τὸν ἕνα καὶ μόνον ὠνόμασεν, ἐδήλωσεν τοὺς νῦν ἡμᾶς

προσχήματι τῆς ἐκκλησίας λεηλατοῦντας. τὰς γὰρ ἰδίας κακοτροπίας καὶ φθόνους ἐπικρυψάμενοι, ὑπὲρ ταύτης φροντίζειν κατασχηματίζονται λόγῳ, ἣν ἐλυμήναντο ἔργοις. ἀλλὰ κἂν οὕτω σοφίσωνται, ἡ ἔκβασις τῶν γεγενημένων αὐτοὺς διελέγξει ὑπουργήσαντας τῷ καυχησαμένῳ· "Οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ." οὐκέτι γὰρ ἐφευρίσκων εἶδος αἱρέσεως καινοτέρας ὁ ἐφευρετὴς τῆς ἀνομίας καὶ γεωργὸς τῆς κακίστης ἐπιθυμίας ὄφις ἐξοίστρησεν τοὺς προεστῶτας τῆς ἐκκλησίας εἰς ἀλληλοκτονίαν, φιλοκαθεδρίας καὶ πρωτοκαθεδρίας πάθει, δι᾽ ὧν εἰργάσαντο τὸ σχίσμα. εἰ γὰρ ἦν Πνεύματος Θεοῦ συμφωνία ἐν τοῖς ἐπισκόποις καὶ ὡς αἴτιος πλημμελείας, ἢ ἀνάξιος ἱερωσύνης ἢ (ὡς ὁ Θεόφιλος λέγει) ὑπερηφανίας, ὤφειλεν εἰρχθῆναι ὁ Ἰωάννης, ἐδύνατο ἡ παντοδύναμος Θεοῦ σοφία ἐνθέσμως αὐτὸν κωλῦσαι τῆς ἱερατείας ἢ ἐφευρεῖν τρόπον, δι᾽ οὗ ἀταράχως καὶ ἀκλαυστὶ ἐξεβάλλετο οὗτος ἢ θανάτῳ ἢ παραλύσει ἢ ἀφωνίᾳ, -ὡς οἴδαμέν τινας τῶν ἀντιπεσόντων αὐτῷ πεπονθότας καί τινας μέλλοντας πάσχειν. ἐξ ὧν δὲ τοσαῦτα παρηκολούθησεν ἀνάξια τοῦ Σωτῆρος ἔργα -καὶ αὐτὸς οὐ καθηρέθη, ἀλλ᾽ ἐξωρίσθη- εὔδηλον τοῦ διαβόλου εἶναι τὸ δρᾶμα, οὗ κατελύετο τῇ διδασκαλίᾳ ἡ βασιλεία. οἶδα ἐγὼ τὸν Ἰωάννην ἓξ καθελόντα ἀξίως, ὡς ὠνητὰς τῆς ἱερατικῆς ἀξίας, περὶ ὧν ἀνωτέρω εἶπον. τίς ἐδάκρυσεν; τίνος δὲ ῥῖνες ἔσταξαν αἷμα; ποία ἀράχνη ἐσχίσθη; τίς δὲ τῆς οἰκίας αὐτοῦ ἐξῆλθεν; τίς δὲ ὀβολὸν ἐζημιώθη; ποῖος δὲ τῆς Ἀσίας ἀγύρτης ἢ δημιουργὸς ἢ γηπόνος ἢ σκυτοτόμος ἢ δημότης οὐκ ἠσμένισεν τὸ γεγενημένον ἐπὶ ἐκδικίᾳ τῶν ἱερῶν νόμων; -ἐπευφημῶν· "Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε; πάντα ἐν σοφίᾳ ἐποίησας" (ὅπου γὰρ Θεὸς ἐργάζεται, πάντα γίνεται ἐν σοφίᾳ· ὅπου δὲ ὁ μισόκαλος δαίμων, ὁμοίως ἅπαντα ἐν ἀσοφίᾳ. παρακολουθεῖ δὲ τῇ ἀσοφίᾳ ἀλλόκοτα πράγματα· φθόνοι, φόνοι, ἔρις, ζῆλος, θυμοί, ἐριθεῖαι, διχοστασίαι, κτύποι, κλωσμὸς ἀπαιδεύτων, ἐξουσιῶν ζέσις, ἴκρια, ξεσμοί, λαμπάδες, κρουνοὶ αἱμάτων, ἀφόρητοι ζημίαι, δημεύσεις, λύσεις θεσμῶν θείων, καταφρονήσεις νόμων, ἀθετήσεις σωφροσύνης, οἰκουμένης σχίσμα, παραφυλακαὶ γῆς καὶ θαλάσσης, ναυτικαί, ἱππικαί, πεζικαὶ μηχαναὶ εἰς ἐμποδισμὸν τῶν διὰ τὴν ἀλήθειαν ἐκδημούντων). πῶς τοίνυν τολμῶσι λέγειν· "Θεοῦ οἰκονομίᾳ ἐκβέβληται ὁ Ἰωάννης"; εἰπάτωσαν δέ μοι οἱ ἐξηχοῦντες ταῦτα· "Ἠπόρει ἡ παντοδύναμος τοῦ Θεοῦ σοφία (ὡς προέφην) ἀοράτῳ δυνάμει παῦσαι τὸν Ἰωάννην ἀνάξιον ὄντα ἢ πεῖσαι τοὺς

ἀμφισβητοῦντας αὐτοῦ δίχα πολλῆς ἀνάγκης ἀρχόντων ἀπαθῶς φέρειν τὸ πρᾶγμα; εἰ γὰρ ὁ αὐτὸς Θεός ἐστιν ὁ τῷ Μωϋσεῖ συνεργήσας εἰς ἐλευθερίαν τοῦ Ἰσραὴλ καὶ ὑπακοήν, τοῦ Φαραὼ ἀναφανδὸν βοῶντος· 'Οὐκ οἶδα τὸν Θεόν, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ,' πῶς τοίνυν βοηθείας δεδέηται ἐπὶ Ἰωάννου τῆς τῶν ἐπιγείων ἀρχόντων, ὡς γηράσας ἢ ὡς ἀτονήσας ἢ ὡς ἀπορήσας; εἶτα ὁ τὰς μοιχείας τινῶν καὶ τὰς παιδεραστίας ἑτέρων καὶ γοητείας ἄλλων δημοσιεύσας, ἠπόρησεν ἔτι διελέγξαι τὸν Ἰωάννην; ἢ ἀνάπαλιν, ὁ τοῦδε τὴν γλῶσσαν συνάγχῃ ὀγκώσας μετ᾽ ἐξομολογήσεως ἐγγράφου καὶ τὸν ἄλλον κλιμακτῆρι περιπεσεῖν συγχωρήσας θανατηφόρῳ ἢ ταριχεύσας τόνδε μετὰ γενέσεως σκωλήκων ἄφωνον ἐπὶ κλίνης ἐνιαυτὸν παρ᾽ ὀλίγον ὅλον ἢ ὁ τὰς ἀπηρημένας ἐκδειματώσεις ἐπαγαγὼν ἑτέρῳ μετὰ τῆς συντρόφου ποδάγρας ἢ ὁ τὰ σκέλη πρήσας οὗ ἐβουλήθη ἢ ὁ τόνδε δυσώδει θανάτῳ ἀναρπάσας θᾶττον, ὃν ἴσασι πάντες, ἠτόνησεν ἐπὶ Ἰωάννου (ὥς φατε), ἱεροσύλου ὄντος, ἕν τι τούτων ἐνεργῆσαι, ἀλλ᾽ ἐδεήθη τοῦ καὶ τοῦ, ἵνα ἀτιμάσας ἐξώσῃ τὸν Ἰωάννην, πλέον αὐτὸν ἐκ τούτου δοξάσας;" ἀπατῶνται τοίνυν μὴ τὴν ἐντολὴν τοῦ λόγου εἰδότες. ἱερόσυλος γὰρ κυρίως οὐχ ὁ χρυσὸν ἢ ἄργυρον ἢ τὰ σηρῶν νήματα, σητῶν βρώματα, πτωχοῖς διανείμας, ἀλλ᾽ ὁ ἀργυρίῳ καὶ κολακείᾳ καὶ τραπέζῃ ἀπεμπολῶν τὰ δόγματα καὶ τοὺς θεσμοὺς τοῦ Σωτῆρος· ἔπειτα ὁ λυμαινόμενος ἱερὸν ἄνδρα, βίῳ καὶ λόγῳ κεκοσμημένον, δι᾽ οὗ ὁ Σωτήρ, ὡς διὰ κρατῆρος ἢ κειμηλίου, ἐλογοπότει τοῖς ἐρασταῖς τοῦ λόγου τὰ πρόσφορα τῆς σωτηρίας. λεγέσθωσαν τοίνυν ἱερόσυλοι οὗτοι, οἱ συλαγωγήσαντες τὴν ἀποστολικὴν ἐκκλησίαν, τοιούτων στερήσαντες διδασκάλων καὶ πωλοῦντες ἀργυρίῳ τὰς χειροτονίας, οὓς ἤδη μετελεύσεται ἡ θεία δίκη εἰς ἐπανόρθωσιν τῆς αὐτῶν κακοπραγίας. εἰ γὰρ οἱ τὸν Μωϋσέως παραχαράξαντες νόμον διὰ τῆς ἄγαν ἀπροσεξίας φραγελλίῳ ἐκβέβληνται τοῦ νεὼ ὑπὸ τοῦ Σωτῆρος, καὶ τοῦτο σχοινίου, ὡς ἔνδον τὰς περιστερὰς πωλοῦντες, τί πείσονται ἄρα οἱ καπηλεύοντες τῆς Νέας Διαθήκης τὴν ἱερατείαν, ἢ τὸ "ῥάβδῳ σιδηρᾷ" συντριβῆναι ὑπὸ τοῦ ἀρχιποίμενος; -καθὼς ὁ ἀπόστολος λέγει· "Ἀθετήσας τις νόμον Μωϋσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ, δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος ἐν ᾧ ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας; οἴδαμεν γὰρ τὸν εἰπόντα· '"Ἐμοὶ ἐκδίκησις, ἐγὼ

ἀνταποδώσω,” λέγει Κύριος.’ φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος” ὁ δὲ τὸν ὅσιον τοῦτον καὶ ἅγιον ποιμένα καὶ τῆς δικαιοσύνης φωστῆρα δοξάσας Θεός, δῴη ἡμῖν μέρος καὶ κλῆρον εὑρεῖν σὺν αὐτῷ ἐν τῇ φοβερᾷ αὐτοῦ τῆς δικαιοκρισίας ἡμέρᾳ· ᾧ πρέπει δόξα, τιμή, μεγαλωσύνη, καὶ μεγαλοπρέπεια τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΔΙΑΛΟΓΟΣ ΙΣΤΟΡΙΚΟΣ ΠΑΛΛΑΔΙΟΥ, ΕΠΙΣΚΟΠΟΥ ΕΛΕΝΟΥΠΟΛΕΩΣ, ΠΡΟΣ ΘΕΟΔΩΡΟΝ, ΔΙΑΚΟΝΟΝ ΡΩΜΗΣ, ΠΕΡΙ ΒΙΟΥ ΚΑΙ ΠΟΛΙΤΕΙΑΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΓΕΝΟΜΕΝΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ, ΤΕΤΕΛΕΣΤΑΙ

## Palladius Scr. Eccl. 0005
## De gentibus Indiae et Bragmanibus [Sp.]

Παλλαδίου, περὶ τῶν τῆς Ἰνδίας ἐθνῶν καὶ τῶν Βραγμάνων

Ἡ πολλὴ φιλοπονία σου καὶ φιλομαθία καὶ φιληκοΐα καὶ φιλοθεΐα, ἀνδρῶν ἀρίστων ἐγκαλλώπισμα, καὶ ἕτερον ἡμᾶς προετρένατο προσδιηγήσασθαι πρᾶγμα ὑπερβολῇ φιλοσοφίας γέμον. κινούμενοι τοίνυν ἡμεῖς τῇ σῇ φιληκοΐᾳ πρὸς τοῖς εἰρημένοις προσεξηγησόμεθά σοι καὶ τὸν τῶν Βραγμάνων βίον, ὧν μὲν ἐγὼ οὔτε τὴν πατρίδα ἱστόρησα οὔτε τοῖς ἀνδράσι συντετύχηκα. πόρρω γάρ εἰσιν ἀπῳκισμένοι καὶ τῆς Ἰνδικῆς καὶ τῆς Σηρικῆς τῷ Γάγγῃ παροικοῦντες ποταμῷ, ἐγὼ δὲ εἰς τὰ ἀκρωτήρια μόνον ἔφθασα τῆς Ἰνδικῆς πρὸ ἐτῶν ὀλίγων μετὰ τοῦ μακαρίου Μωϋσέως τοῦ ἐπισκόπου τῶν Ἀδουληνῶν· καὶ ἀγρίῳ καύματι ληφθεὶς -τοιούτου ὄντος ὡς τοῦ ὕδατος ἐκ τῆς πηγῆς ἀναβλύζοντος ψυχροτάτου εἰς ὑπερβολὴν καὶ ληφθέντος ἐν ἀγγείοις παραχρῆμα βράσσειν- τοῦτο τοίνυν θεασάμενος αὖθις ὑπέστρενα μὴ στέξας τὸν καύσωνα. ὁ δὲ Γάγγης οὗτος ποταμὸς καθ᾽ ἡμᾶς ἐστιν ὁ καλούμενος Φεισών, ὁ ἐν ταῖς γραφαῖς κείμενος, εἷς ὢν τῶν τεσσάρων ποταμῶν τῶν λεγομένων ἐξιέναι ἐκ τοῦ παραδείσου.

Διήγημα δὲ φέρεται Ἀλεξάνδρου τοῦ τῶν Μακεδόνων βασιλέως ἐξηγησαμένου ποσῶς τὸν βίον αὐτῶν· κἀκείνῳ δὲ τάχα ὑπῆρχεν ὡς

ἐκ παρακούσματος· οὔτε γὰρ αὐτός, ὡς οἶμαι, τὸν Γάγγην ἐπεραιώθη, ἀλλ᾽ ἄχρι τῆς Σηρικῆς φθάσας, ἔνθα τὸν μέταξον οἱ σῆρες τίκτουσιν, κἀκεῖ λιθίνην στήλην στήσας ἐπέγρανεν· Ἀλέξανδρος ὁ Μακεδὼν ἔφθασε μέχρι τοῦ τόπου τούτου.

ἐγὼ δὲ ποσῶς τὰ περὶ τῶν Βραγμάνων δεδύνημαι μαθεῖν παρά τινος Θηβαίου σχολαστικοῦ, ἑκουσίως μὲν τὴν ἀποδημίαν ποιησαμένου, ἀκουσίως δὲ τῇ αἰχμαλωσίᾳ περιπεσόντος. οὗτος, ὡς ἔλεγεν, ἀφυὴς ἐγεγόνει ἐν τῇ δικανικῇ καὶ ἀκηδίᾳ ληφθεὶς ἐκίσσησεν οὕτως τὴν τῶν Ἰνδῶν ἱστορῆσαι χώραν.

καὶ διαπλεύσας μετὰ πρεσβυτέρου ταύτην κατέλαβε πρῶτον τὴν Ἀδούλην, εἶτα μετ᾽ ἐκείνην τὴν Αὐξούμην, ἐν ᾗ ἦν καὶ βασιλίσκος μικρὸς τῶν Ἰνδῶν ἐκεῖ καθεζόμενος. ἐκεῖ δὲ χρονίσας καὶ πολλὴν συνήθειαν κτησάμενος ἠθέλησε καὶ ἐπὶ τὴν Ταπροβάνην εἰσελθεῖν νῆσον, ἔνθα εἰσὶν οἱ λεγόμενοι Μακρόβιοι· ζῶσι γὰρ εἰς τὴν νῆσον ἐκείνην ἕως ἑκατὸν πεντήκοντα ἐτῶν οἱ γέροντες δι᾽ ὑπερβολὴν τῆς τῶν ἀέρων εὐκρασίας καὶ ἀνεξερευνήτου κρίματος θεοῦ. ἐν ταύτῃ δὲ τῇ νήσῳ καὶ ὁ μέγας βασιλεὺς κατοικεῖ τῶν Ἰνδῶν, ᾧ πάντες οἱ βασιλίσκοι τῆς χώρας ὑπόκεινται ὡς σατράπαι, καθὼς αὐτὸς ὁ σχολαστικὸς ἡμῖν διηγήσατο μαθὼν καὶ αὐτὸς παρ᾽ ἑτέρων· οὐ γὰρ δεδύνηται οὐδ᾽ αὐτὸς εἰς τὴν νῆσον εἰσελθεῖν.

παράκεινται γὰρ ταύτῃ τῇ νήσῳ (εἰ μὴ ψευδές ἐστι τὸ λεχθέν) ὡς χίλιαι ἄλλαι νῆσοι τῆς ἐρυθρᾶς θαλάσσης ἐμβαλλούσης εἰς αὐτάς. ἐπεὶ τοίνυν ὁ μαγνῆτις λίθος ὁ τὸν σίδηρον ἐπισπώμενος ἐν ἐκείναις γίνεται ταῖς νήσοις ταῖς λεγομέναις Μανιόλοις, ὃ ἂν ἀπέλθῃ πλοῖον σιδηροῦς ἔχον ἥλους κατέχεται ὑπὸ τῆς τοῦ λίθου φύσεως μὴ δυνάμενον παρελθεῖν· ἔστι δὲ ἰδικῶς τὰ διαπερῶντα πλοῖα εἰς ἐκείνην τὴν μεγάλην νῆσον ἄνευ σιδήρου ἐπιούροις ξυλίνοις κατεσκευασμένα.

ἔχει δέ, φησι, καὶ πέντε ποταμοὺς μεγίστους ἡ νῆσος αὕτη, ἐν οἷς νῆες διαπορεύονται. ὡς δὲ διηγοῦντο αὐτῷ οἱ ἐκεῖθεν, οὐδέποτε ὀπώρα λείπει ἐν τῷ τόπῳ ἐκείνῳ τῆς νήσου· ἐν τῷ αὐτῷ γάρ, φησι, ὃς μὲν ἀνθεῖ κλάδων, ὃς δὲ ὀμφακίζει, ὃς δὲ καὶ τρυγᾶται οὔτε ἄμπελος ὀμφακίζει οὔτε τρυγᾶται. ἔχει δὲ καὶ φοίνικας καὶ τὸ κάρυον τὸ μέγιστον τὸ Ἰνδικὸν καὶ τὸ λεπτὸν τὸ ἀρωματίζον. ζῶσι δὲ οἱ οἰκήτορες τοῦ τόπου ἐκείνου γάλακτι καὶ ὀρύζῃ καὶ ὀπώρᾳ, ἐρίου οὐ τικτομένου παρ᾽ αὐτοῖς, ἀλλ᾽ οὐδὲ λίνου, προβάτων δὲ δέρματα καλῶς εἰργασμένα περὶ τὴν ὀσφὺν περιτίθενται μόνον. ἔστι δὲ καὶ

πρόβατα τετριχωμένα ἄνευ ἐρίου γαλακτιφόρα λίαν πλατείας ἔχοντα οὐράς. κέχρηνται δὲ καὶ κρεωφαγίᾳ αἰγῶν καὶ προβάτων· χοῖρος γὰρ ἀπὸ Θηβαΐδος οὐκέτι εὑρίσκεται ἐν τοῖς μέρεσιν Ἰνδίας ἢ Αἰθιοπίας δι᾽ ὑπερβολὴν καυμάτων.

διηγεῖτο οὖν οὗτος ὁ σχολαστικός, ὅτι ἀπὸ τῆς Αὐξούμης εὑρών τινας πλοιαρίοις διαβαίνοντας Ἰνδοὺς ἐμπορίας χάριν ἐπειράθη ἐνδότερον ἀπελθεῖν· καὶ φθάσας ἐγγὺς τῶν καλουμένων Βισάδων τῶν τὸ πίπερ συναγόντων· ἔθνος δέ ἐστιν ἐκεῖνο πάνυ σμικρότατον καὶ ἀδρανέστατον, λιθίνοις σπηλαίοις ἐνοικοῦντες, οἵτινες καὶ κρημνοβατεῖν ἐπίστανται διὰ τὴν τοῦ τόπου συστροφὴν καὶ τὸ πίπερ οὕτως ἀπὸ τῶν θάμνων συνάγουσι· δενδρύφια γάρ εἰσι κολοβά, ὡς ἔλεγεν ἐκεῖνος ὁ σχολαστικός. εἰσὶ δὲ καὶ οἱ Βισάδες ἀνθρωπάρια κολοβὰ μεγαλοκέφαλα, ἄκαρτα καὶ ἁπλότριχα· οἱ δὲ λοιποὶ Αἰθίορες καὶ Ἰνδοὶ μέλανές εἰσιν καὶ νεανικοὶ καὶ φριξότριχες.

”ἐκεῖθεν δέ”, φησι, “κατασχεθεὶς ὑπὸ τοῦ δυναστεύοντος πραγμάτων ἐπειρώμην ὡς τολμήσας εἰσελθεῖν εἰς τὴν χώραν αὐτῶν· καὶ οὔτε ἐκεῖνοι τὴν ἀπολογίαν ἐδέχοντο τὴν ἐμὴν μὴ ἐπιστάμενοι τὴν διάλεκτον τῆς ἡμετέρας χώρας, οὔτε δὲ ἐγὼ τὰς παρ᾽ ἐκείνων εὐθύνας εἰς ἐμὲ γινομένας ἐγνώριζον. οὐδὲ γὰρ ἐγὼ τὴν ἐκείνων ἠπιστάμην γλῶσσαν, μόναις δὲ ταῖς διαστροφαῖς τῶν ὄνεων ἀλλήλοις ἐστοιχοῦμεν γνώριμα σημεῖα. ἐγὼ μὲν τὰς ἐκείνων ἐγκληματώδεις φωνὰς ἐκ τοῦ ὑφαίμου τῆς χρόας τῶν ὀφθαλμῶν καὶ τοῦ ἀγρίου τρισμοῦ τῶν ὀδόντων καὶ τῶν κινήσεων τὴν τῶν λεγομένων παρ᾽ αὐτῶν ἐστοχαζόμην δύναμιν, ἐκεῖνοι δὲ αὖ πάλιν ἐκ τοῦ τρόμου τοῦ ἐμοῦ καὶ τῆς ἀγωνίας καὶ τῆς ὠχρότητος τοῦ προσώπου τό τε τῆς ψυχῆς ἐλεεινὸν διὰ τῆς τοῦ σώματος δειλίας ἐναργῶς κατεμάνθανον.

κατασχεθεὶς οὖν παρ᾽ αὐτοῖς ἑξαετίαν ὑπηρέτησα, τῷ ἀρτοκοπείῳ παραδοθεὶς εἰς ἐργασίαν. ἦν δὲ τὸ ἀνάλωμα τοῦ βασιλέως αὐτῶν, φησι, μόδιος εἷς σίτου εἰς ὅλον αὐτοῦ παλάτιον, κἀκεῖνος οὐκ οἶδα πόθεν φερόμενος. οὕτως δέ, φησιν, ἐν τῇ ἑξαετίᾳ ἠδυνήθην πλεῖστα ἐκ τῆς γλώσσης αὐτῶν σημειώσασθαι, δι᾽ ὧν καὶ τὰ παρακείμενα λοιπὸν ἔθνη μεμάθηκα.

ἀπελύθην δέ, φησιν, ἐκεῖθεν τῷ τρόπῳ τούτῳ· ἕτερος βασιλεὺς ποιήσας μάχην μετὰ τοῦ κατέχοντός με διέβαλεν αὐτὸν πρὸς τὸν μέγαν βασιλέα τὸν ἐν Ταπροβάνῃ νήσῳ καθεζόμενον ὡς ἄνδρα ἀξιόλογον Ῥωμαῖον αἰχμάλωτον λαβὼν τοῦτον ἔχει εἰς ὑπηρεσίαν

ἀγενεστάτην. ὁ δὲ πέμψας κριτὴν ἕνα καὶ μαθὼν τὸ ἀκριβὲς ἐκέλευσεν αὐτὸν ἀσκοδαρῆναι ὡς ὑβρίσαντα Ῥωμαῖον· πάνυ γὰρ τιμῶσι τε καὶ φοβοῦνται τὴν Ῥωμαίων ἀρχὴν ὡς δυναμένην καὶ τῇ χώρᾳ αὐτῶν ἐπιβῆναι δι᾽ ὑπερβολὴν ἀνδρείας καὶ εὐμηχανίας.

ἔλεγεν οὖν οὗτος ὅτι οἱ Βραγμᾶνες ἔθνος ἐστὶν οὐ προαιρέσει ἀποτασσόμενον ὡς οἱ μοναχοί, ἀλλ᾽ ἔλαχον τὸν κλῆρον τοῦτον ἄνωθεν καὶ ἐκ θεοῦ κριμάτων, τὴν τοῦ ποταμοῦ παροικίαν, φυσικῶς ἐν γυμνότητι διαζῶντες. παρ᾽ οἷς οὐδὲν τετράποδον ὑπάρχει, οὐ γεώργιον, οὐ σίδηρος, οὐκ οἰκοδομή, οὐ πῦρ, οὐκ ἄρτος, οὐκ οἶνος, οὐχ ἱμάτιον, οὐκ ἄλλο τι τῶν εἰς ἐργασίαν συντελούντων ἢ ἀπόλαυσιν συντεινόντων. ἔχουσι δὲ ἀέρα λιγυρόν τε καὶ εὔκρατον καὶ πάνυ κάλλιστον. σεβόμενοι τὸν θεὸν καὶ γνῶσιν ἔχοντες οὐχ οὕτως δὲ λεπτὴν οὔτε δὲ διευκρινεῖν οὕτως τοὺς τῆς προνοίας λόγους δυνάμενοι ὅμως εὔχονται ἀδιαλείπτως. εὐχόμενοι δὲ ἀντὶ τῆς ἀνατολῆς τῷ οὐρανῷ ἀτενίζουσι, τῇ τροπῇ τῆς ἀνατολῆς οὐ προσέχοντες.

ἐσθίουσι δὲ τὰ παρατυγχάνοντα ἀκρόδρυα καὶ λαχάνων τὰ ἄγρια, ὅσα ἡ γῆ ἐκφύει αὐτομάτως, καὶ ὕδωρ πίνουσι νομάδες ὄντες ἐν ὕλαις ἐπὶ φύλλοις ἀναπαυόμενοι. παρ᾽ αὐτοῖς δὲ πολὺ τὸ περσεϊνὸν ξύλον καὶ τὸ λεγόμενον ἀκάνθινον καί τινα ἕτερα ἐπιχώρια καρποφόρα ἀφ᾽ ὧν ἀποζῶσιν.

καὶ οἱ μὲν ἄνδρες εἰς τὸ μέρος τοῦ Ὠκεανοῦ ἐκεῖθεν τοῦ ποταμοῦ τοῦ Γάγγου παροικοῦσιν· οὗτος γὰρ ὁ ποταμὸς εἰς τὸν Ὠκεανὸν εἰσβάλλει· αἱ δὲ γυναῖκες αὐτῶν εἰσιν ἐντεῦθεν τοῦ Γάγγου ἐπὶ τὸ μέρος τῆς Ἰνδίας. περαιοῦνται δὲ οἱ ἄνδρες πρὸς τὰς γυναῖκας Ἰουλίῳ καὶ Αὐγούστῳ μηνί· οὗτοι γάρ εἰσι παρ᾽ αὐτοῖς οἱ μῆνες ψυχρότατοι τοῦ ἡλίου πρὸς ἡμᾶς ὑπὲρ βορρᾶν ὑψωθέντος· οἳ καὶ εὐκρατότεροι λέγονται εἶναι οἱ μῆνες ἐκεῖνοι καὶ οἶστρον κινεῖν. καὶ ποιήσαντες μετὰ τῶν γυναικῶν τεσσαράκοντα ἡμέρας αὖθις ἀντιπερῶσιν. γεννησάσης μέντοι τῆς γυναικὸς δύο παιδία οὐκέτι ὁ ἀνὴρ περᾷ πρὸς τὴν ἑαυτοῦ γυναῖκα κοινωνίας χάριν. ἀντιστήσαντες οὖν ὑπὲρ αὐτῶν τὸ ἀντίσωμα τὸν ἐπίλοιπον ἐγκρατεύονται χρόνον. ἐὰν δὲ συμβῇ στεῖραν ἐν αὐταῖς εὑρεθῆναι γυναῖκα, μέχρι πενταετίας περᾷ πρὸς αὐτὴν ὁ ἀνὴρ συγγινόμενος αὐτῇ· καὶ ἐὰν μὴ γεννήσῃ, οὐκέτι αὐτῇ προσεγγίζει. διὸ οὐδὲ εἰς πλῆθος πολυάνθρωπον ἐκτέταται αὐτῶν τὸ ἔθνος διά τε τὴν δυσζωΐαν τοῦ τόπου καὶ διὰ τὴν φυσικὴν ἐγκράτειαν τῆς γεννήσεως.

αὕτη τῶν Βραγμάνων ἐστὶν ἡ πολιτεία. τὸν δὲ ποταμὸν λέγουσι δυσπεραίωτον εἶναι διὰ τὸν λεγόμενον ὀδοντοτύραννον· ζῷον γάρ ἐστι μέγιστον εἰς ὑπερβολήν, ἐνυπάρχον τῷ ποταμῷ ἀμφίβιον, ἐλέφαντα ὁλόκληρον καὶ ἀκέραιον καταπιεῖν δυνάμενον· ἐν δὲ τῷ καιρῷ τοῦ περάματος τῶν Βραγμάνων πρὸς τὰς ἑαυτῶν γυναῖκας οὐκ ὀπτάνεται ἐν τοῖς τόποις ἐκείνοις. εἰσὶ δὲ καὶ δράκοντες μέγιστοι ἐν τοῖς ποταμοῖς ἐκείνοις ἕως πηχῶν ἑβδομήκοντα, ὡς καὶ δορὰν μίαν ἐθεασάμην ἐγὼ δύο ποδῶν πλάτος ἔχουσαν. οἱ δὲ μύρμηκές εἰσι τῶν ἐκεῖ παλαιστιαῖοι, οἱ δὲ σκορπίοι πηχυαῖοι· διὸ καὶ δυσδιόδευτοί εἰσιν ἐκεῖνοι οἱ τόποι. οὐ πᾶς δὲ τόπος τῶν ἐκεῖ ἔχει τοιαῦτα ζῷα ἢ ἰοβόλα θηρία, ἀλλ᾽ ἡ ἀοίκητος μόνη. ἀγέλη ἐλεφάντων πολλή.

Ἀῤῥιανοῦ μέντοι τοῦ μαθητοῦ τοῦ Ἐπικτήτου τοῦ φιλοσόφου τοῦ καὶ δούλου γεγενημένου, δι᾽ εὐφυΐαν δὲ φύσεως εἰς φιλοσοφίαν ἐλάσαντος ἐν τοῖς καιροῖς Νέρωνος τοῦ βασιλέως τοῦ κολάσαντος τοὺς ἀοιδίμους ἀποστόλους Πέτρον καὶ Παῦλον, τούτου τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα ἱστορήσαντος φησὶ γὰρ ὃ ἐκεκτήμην πονημάτιον ἀπέστειλα τῇ ἀνδρείᾳ τῆς σῆς καλοκἀγαθίας, ὑποτάξας μου τῷ ὑπομνηματικῷ· ὅπερ ἀναγινώσκων νουνεχῶς καὶ φροντίσας ἐμμελῶς βιώσεις ἀσφαλῶς.

Δάνδαμις, ὁ τῶν Βραγμάνων διδάσκαλος, διηγούμενος τὰ κατὰ τὸν Μακεδόνα ἔφη· “βασιλεὺς Ἀλέξανδρος, οὐκ ἀνεχόμενος μόνης εἶναι βασιλεὺς τῆς Μακεδονίας οὐδ᾽ ἀρκούμενος πατρὶ Φιλίππῳ, ἀλλὰ καὶ Ἄμμωνος υἱὸν ἑαυτὸν ἔλεγεν εἶναι καὶ τῆς γενέσεως ἐλεγχούσης ψευδεῖς ἔφερε τῆς φύσεως ἀποδείξεις, ἀνικήτους δὲ ἀγῶνας προέφερεν· ἀνέτειλε γὰρ ὡς ὁ ἥλιος ἀπὸ Μακεδονίας καθιππεύσας πολὺν κόσμον πρὶν ἔδυνε κατὰ Βαβυλῶνα, τήν τε Εὐρώπην καὶ τὴν Ἀσίαν ὡς μικρὰ χρησάμενος χωρία ἦλθε καὶ τὸν ἡμέτερον κόσμον κατοπτεύων καὶ ἐρευνῶν. “

ἔλεγε δὲ ταῦτα ἐν ἑαυτῷ Ἀλέξανδρος· “Σοφία, μῆτερ Προνοίας, κοινωνὲ δὲ τῆς πασῶν δυνάμεως, ἀνωτέρω ἐν ἀληθείᾳ μόνη κειμένη, τροφὲ καὶ δημιουργὲ φύσεως, λόγων δωτήρ, γνώσεως κοινῆς κατάσκοπε, ἀδίκων μὲν κεχωρισμένη, δικαίων δὲ φειδομένη, δὸς εὐμενῶς ἤδη μοι τῶν αἰτημάτων τυχεῖν. Βραγμᾶνας δὲ παρόντας ἐνθάδε σοφούς τε καὶ ἀγαθοὺς ἰδεῖν ἥκω, μαθὼν παρὰ Καλάνου τινὸς τῶν ἐνθάδε σπεύσαντος πρός με· πεισθεὶς δὲ ἦλθον, ποθῶ δέ, ὅπως ἴδω καὶ μάθω σαφῶς. “

Βραγμᾶνες καὶ αὐτοὶ Ἰνδοὶ Ἀλεξάνδρῳ ταῦτα λέγουσι· “ὀρεγόμενος σοφίας ἦλθες πρὸς ἡμᾶς, ὅπερ πρῶτον ἀποδεχόμεθα Βραγμᾶνες, ὅτι τί ἐστι βασιλικώτερον ἐν τῷ βίῳ ἡμῶν; τοῦτο γὰρ ἠθέλησας μαθεῖν, βασιλεῦ Ἀλέξανδρε· ὁ φιλόσοφος γὰρ οὐ δεσπόζεται, ἀλλὰ δεσπόζει, ἄνθρωπος γὰρ αὐτοῦ οὐ κρατεῖ. ἀλλ᾽ ἐπειδὴ μέχρι νῦν διαβεβλημένοι ἠπιστούμεθα ὑπὸ σοῦ, γευσάμενος νῦν ἀληθινῶν λόγων ἦλθες.

Κάλανος γὰρ κακὸς ἀνὴρ ἡμῖν γεγένηται, καὶ διὰ Καλάνου ἄνδρες Ἕλληνες Βραγμᾶνας ἔγνωτε ἀλλ᾽ οὐκ ἐπέγνωτε· ἐκεῖνος γὰρ οὐκ ἦν ἡμέτερος ἀπ᾽ ἀρετῆς δραπετεύσας εἰς πλοῦτον· οὐκ ἤρκεσεν αὐτῷ Τιβεροβοὰμ ποταμοῦ πίνειν ὕδωρ σωφροσύνης καὶ ἀμόλγας ἐσθίειν, ἐν οἷς αὐξάνεται νοῦς θεοπρεπής· πλοῦτον ἔσχεν, ἐχθρὸν ψυχῆς, καὶ οὕτως ἐν αὐτῷ δεινὸν ἀνέφλεξε πῦρ καὶ εἰς ἡδονὴν αὐτὸν ἀπέστρεψεν ἀπὸ σοφίας. ἡμῶν δὲ οὐδεὶς ἐπ᾽ ἀνθράκων κυλίεται οὐδὲ ἀλγηδὼν ἡμῶν δαπανᾷ τὸ σῶμα, ἀλλ᾽ ἔστιν ἡμῶν ἡ τροφὴ ζωὴ ὑγείας φάρμακον.

ἄπλουτοι δ᾽ ἐσμὲν κατὰ τὴν φύσιν καὶ ὁμοίως πᾶσι τῷ βίῳ ἡμῶν ἀκολουθεῖ θάνατος. εἰ δὲ τῶν θνητῶν τινες ἀνδρῶν ψευδεῖς μαθόντες λόγους κενοῖς ἡμᾶς ὑποτοξεύουσι βέλεσι, ἀλλὰ τὴν ἐλευθερίαν ἡμῶν οὐ βλάπτουσιν. ἶσον δέ ἐστι τὸ ψεύδεσθαι καὶ τὸ ταχέως πείθεσθαι· ἀδικεῖ γὰρ ὁ ψευδόμενος ὃν πείθει, ἀδικεῖ δὲ καὶ ὁ πειθόμενος ψευδομένῳ προσέχων πρὶν ἢ τὸ ἀληθὲς μάθῃ. διαβολὴ γὰρ μήτηρ ἐστὶν πολέμου καὶ τίκτει ὀργήν, ἀφ᾽ ἧς μάχονται καὶ πολεμοῦσι.

πλὴν οὐκ ἔστιν ἀνδρεία τὸ φονεύειν ἄνδρας, λῃστοῦ γὰρ ἔργον ἐστίν. ἀνδρεία δέ ἐστι πρὸς τροπὰς ἀέρων μάχεσθαι γυμνῷ τῷ σώματι καὶ γαστρὸς ἐπιθυμίαν ἀναιρεῖν καὶ τοὺς ἔνδον πολέμους μᾶλλον νικῆσαι καὶ ὑπὸ τῆς ἐπιθυμίας μὴ καταγωνίζεσθαι πρὸς τὸ ὀρέγεσθαι δόξης καὶ πλούτου καὶ ἡδονῆς. τούτους νίκησον πρῶτον, Ἀλέξανδρε, τούτους ἀπόκτεινον· τούτους γὰρ ἐὰν νικήσῃς, οὐκ ἔστι σοι χρεία πρὸς τοὺς ἔξω μάχεσθαι· τοῖς γὰρ ἔξω μάχῃ, ἵνα τούτοις ἐνέγκῃς φόρους. οὐ βλέπεις ὅτι τοὺς ἔξω νικᾷς καὶ ὑπὸ τῶν ἔσω νενίκησαι; πόσοι σοι δοκοῦσι βασιλεῖς ἀνοίας ἐν τοῖς ἄφροσι τυραννεῖν; γλῶσσα, ἀκοή, ὄσφρησις, ὅρασις, ἁφή, γαστήρ, αἰδοῖα, ὅλος ὁ χρῶς. πολλαὶ δὲ καὶ ἔσωθεν ὥσπερ ἀμείλικτοι δέσποιναι καὶ τυραννίδες ἀκόρεστοι ἀπέραντα ἐπιτάττουσιν· ἐπιθυμίαι, φιλοχρηματίαι, φιληδονίαι, δολοφονίαι, σωματομιξίαι φονοκτονίαι,

φειδωλίαι, διχοστασίαι, αἷς πάσαις ταύταις καὶ ἄλλαις πλείοσι βροτοὶ δουλεύουσι, δι᾽ ἅσπερ φονεύουσι καὶ φονεύονται.

Βραγμᾶνες δὲ νικήσαντες τοὺς ἔνδον πολέμους λοιπὸν ἀνερρώσθησαν καὶ ἀναπαύονται βλέποντες ὕλας καὶ οὐρανόν. καὶ ἀκούομεν ὄρνεων ἦχον εὐμελῆ καὶ ἀετῶν κλαγγήν, φύλλα τε περιβεβλήμεθα καὶ ἀέρι ἐνδιαιτώμεθα. καρποὺς ἐσθίομεν καὶ ὕδωρ πίνομεν, θεῷ ὕμνους ᾄδομεν καὶ τὰ μέλλοντα ἐπιθυμοῦμεν, οὐδενὸς μὴ ὠφελοῦντος ἀκούομεν. σιωπῶντες τοὺς πολλοὺς λόγους τοιαῦτα Βραγμᾶνες ζῶμεν.

ὑμεῖς δὲ λέγετε ἃ δεῖ ποιεῖν, καὶ ποιεῖτε ἃ μὴ δεῖ λέγειν· παρ᾽ ὑμῖν δὲ οὐδεὶς φιλοσόφων οὐδὲν οἶδεν, ἐὰν μὴ λαλήσωσιν· ὑμῶν γὰρ ὁ νοῦς ἐστιν ἡ γλῶσσα καὶ ἐπὶ τοῖς χείλεσι αἱ φρένες. χρυσὸν καὶ ἄργυρον συνάγετε, δούλων χρείαν ἔχετε καὶ μεγάλων οἴκων, ἀρχὰς διώκετε, ἐσθίετε καὶ πίνετε ὅσα καὶ τὰ κτήνη, οὐκ αἰσθάνεσθε δὲ οὐδὲ ὡς ἰδιῶται, περιβάλλεσθε μαλακὰ ἐξομοιούμενοι τοῖς σκώληξι τοῖς σηρικοδιασταῖς. ἀδεῶς πάντα πράττετε καὶ ἐφ᾽ οἷς πράττετε μετανοεῖτε, καθ᾽ ἑαυτῶν λαλεῖτε ὡς καθ᾽ ἐχθρῶν, τῆς γλώττης ἐξουσίαν ἔχοντες ὑπὸ ταύτης πολεμεῖσθε· κρείττονες ὑμῶν οἱ σιγῶντες· ἑαυτοὺς γὰρ οὐκ ἐλέγχουσι.

παρὰ προβάτων ὡς αἰχμάλωτοι ἔρια δανείζεσθε· δόξαν τοῖς δακτύλοις ὑμῶν ὡς ξόανα περιτίθεσθε. χρυσόν, ὡς αἱ θήλειαι, φορεῖτε καὶ ἐπὶ τούτοις μεγαλύνεσθε, καθ᾽ ὁμοίωσιν τοῦ κτίσαντος δημιουργηθέντες ἀνημέρων θηρίων θυμὸν τίκτετε. ὅταν πολλὰς κτήσεις περιβάλλησθε, ἐπὶ τούτοις μεγαλύνεσθε μὴ βλέποντες, ὅτι πρὸς ἀλήθειαν οὐδὲν ὑμᾶς δύναται ὠφελεῖν· χρυσὸς γὰρ ψυχὴν οὐκ ἀνίστησιν οὐδὲ σῶμα πιαίνει, ἀλλὰ τοὐναντίον μᾶλλον καὶ ψυχὴν σκοτοῖ καὶ σῶμα ἐκτήκει.

ἡμεῖς δὲ πρὸς ἀλήθειαν τὴν φύσιν ἐπιγνόντες τὰ ταύτῃ ἀποκληρωθέντα ἐκείνων καὶ προνοοῦμεν· πείνης παραγενομένης ἀκροδρύοις καὶ λαχάνοις τοῖς ἐκ τῆς προνοίας ἡμῖν χορηγουμένοις ἰώμεθα ταύτην, καὶ δίψης παραγενομένης ἐπὶ τὸν ποταμὸν ἐρχόμενοι χρυσὸν πατοῦντες ὕδωρ πίνομεν καὶ ταύτην θεραπεύομεν. χρυσὸς δὲ οὐ παύει δίψαν οὐδὲ λιμὸν παραμυθεῖται οὐδὲ τραῦμα θεραπεύει, οὐ νόσον ἰᾶται, οὐκ ἀπληστίαν ἐμπίπλησιν, ἀλλὰ μᾶλλον καὶ προσεξεγείρει ταύτην τὴν ξενὴν τῆς φύσεως ἐπιθυμίαν. καὶ διψῶν μὲν ἄνθρωπος δῆλον ὅτι ἐπιθυμεῖ πιεῖν καὶ λαβὼν ὕδωρ πέπαυται τῆς δίψης, καὶ ὁ πεινῶν φυσικῶς ἐπιζητεῖ τροφὴν καὶ φαγὼν

κορέννυται καὶ τῆς ἐπιθυμίας πέπαυται. παντάπασιν οὖν δῆλον ὅτι ξένον τῆς φύσεώς ἐστι τὸ χρυσοῦ ἐπιθυμεῖν· πᾶσα γὰρ ἐπιθυμία πέπαυται βροτῶν, ὅταν λάβῃ κόρον, ἐπειδὴ τῇ φύσει τοῦτο συνέσπαρται. ὁ δὲ τῶν χρημάτων ἔρως ἀκόρεστός ἐστι διὰ τὸ εἶναι τοῦτον παρὰ φύσιν. ἔπειτα καὶ ἐν αὐτῷ κοσμεῖσθε καὶ ἐπὶ τούτῳ ἐνδοξάζεσθε καὶ τοῖς ἐνδύμασι κομπάζετε τῶν ἄλλων ἀνθρώπων ὑπερμεγαλούμενοι. καὶ διὰ τοῦτο τὰ κοινὰ τῶν πάντων ἴδια ποιεῖτε, τὴν ὁμοίαν πᾶσι μίαν φύσιν τῆς φιλαργυρίας εἰς πολλὰς γνώμας λοιπὸν κατατεμνούσης.

Κάλανος, ὁ ψευδὴς φίλος ἡμῶν, ταύτην ἔσχε τὴν γνώμην, ἀλλ᾽ ὑφ᾽ ἡμῶν καταπατεῖται· καὶ ὁ παραίτιος πολλῶν κακῶν πᾶσι παρ᾽ ὑμῖν ἐστιν ἔντιμος καὶ τιμᾶται ὑφ᾽ ὑμῶν· ἀνωφελὴς δὲ ὢν ἡμῖν παρ᾽ ἡμῶν παραπέμπεται ἐξουδενωθείς, καὶ πάντα ὅσα ἡμεῖς καταπατοῦμεν, ταῦτα ἐθαύμασεν ὁ φιλαργυρήσας Κάλανος, ὁ μάταιος ὑμέτερος φίλος, ἀλλ᾽ οὐχ ἡμέτερος. μέλεος δὲ καὶ τῶν ἀθλίων ἐλεεινότερος τὴν ψυχὴν ἑαυτοῦ ἀπώλεσε φιλαργυρήσας. καὶ διὰ τοῦτο ἄξιος ἡμῶν οὐκ ἐφάνη οὐδὲ ἄξιος τῆς πρὸς τὸν θεὸν φιλίας οὐδὲ τῆς παρ᾽ ἡμῖν ἐλευθερίας οὐδὲ τῆς ἐν ἡμῖν ἀμεριμνίας οὐδὲ ἀνεπαύσατο ταῖς ἐν ταῖς ὕλαις ἀμεριμνίαις ἐν ταύταις ἐντρυφήσας οὐδὲ ἐλπίδα ἔσχε τῆς μετὰ ταῦτα προσδοκίας τὴν ἀθλίαν αὐτοῦ ψυχὴν φιλαργυρίᾳ κατακτείνας.

ἔστι δέ τις παρ᾽ ἡμῖν Δάνδαμις, ὃς ἐν ὕλῃ ἀνάκειται ἐπὶ φύλλοις ἐαρινοῖς ἐγγὺς ἔχων πηγὴν ὡς μαζὸν ἀκέραιον ἀμέλγων μητρός”.

τότε Ἀλέξανδρος ὁ βασιλεὺς ἀκούσας ταῦτα πάντα παρεκάλεσε τὸν διδάσκαλον αὐτῶν καὶ πρύτανιν τῶν λόγων τούτων συντυχεῖν. οἱ δὲ ὑποδεικνύουσι αὐτῷ μακρόθεν τὸν τόπον τοῦ Δανδάμεως. ἐλθὼν δὲ ἐκεῖ ὁ Ἀλέξανδρος οὐκ εἶδεν αὐτὸν παριών· ἐν ὕλαις γὰρ κατέκειτο συχναῖς ἐπὶ φύλλοις ἀναπαυόμενος ἐν εἰρήνῃ ἔχων πηγὴν ἐγγὺς ὡς μαζὸν ἀκέραιον ἀμέλγων μητρὸς γῆς. ὡς οὖν οὐκ εἶδεν ὁ Ἀλέξανδρος Δάνδαμιν, τὸν τῶν Βραγμάνων ἐπιστάτην καὶ διδάσκαλον, πέμπει πρὸς αὐτὸν φίλον ἑαυτοῦ τινα Ὀνησίκρατον ὀνόματι λέγων τούτῳ·

”σπεῦσον πρὸς τὸν διδάσκαλον Βραγμάνων, τὸν μέγαν Δάνδαμιν, ὦ Ὀνησίκρατε, καὶ ἢ αὐτὸν ἡμῖν ἄγαγε ἢ μαθὼν τὰ περὶ αὐτοῦ, ποῦ διάγει, ἀνάγγειλόν μοι τάχος, ὅπως ἐγὼ αὐτὸς παραγένωμαι πρὸς αὐτόν”. ὁ δὲ Ὀνησίκρατος ἔφη αὐτῷ· “τὸ κελευσθὲν ποιήσω διὰ τάχους· σὸν γὰρ τὸ προστάττειν, τὸ δὲ δρᾶν ἐμόν”. πορευθεὶς δὲ οὗτος καὶ τὸν μέγαν Δάνδαμιν εὑρὼν εἶπε· “χαίροις, διδάσκαλε

Βραγμάνων, υἱὸς θεοῦ Διὸς τοῦ μεγάλου, βασιλεὺς Ἀλέξανδρος, ὅς ἐστι παντὸς ἀνθρώπου δεσπότης, καλεῖ σε, ὃς ἐλθόντι σοι πρὸς αὐτὸν πολλὰ καὶ καλὰ παρέξει δῶρα, μὴ ἐλθόντος δέ σου τὴν κεφαλὴν ἀποτεμεῖ". ὁ δὲ Δάνδαμις ἀκούσας καὶ μειδιάσας χαριέντως οὐδ᾽ ἐπῆρεν ἑαυτοῦ τὴν κεφαλὴν ἀπὸ τῶν φύλλων, ἀλλὰ καταγελάσας τούτου κατακείμενος ἀπεκρίνατο οὕτως·

"ὁ θεός, ὁ μέγας βασιλεύς, ὕβριν οὐδέποτε γεννᾷ, ἀλλὰ φῶς, εἰρήνην, ζωὴν καὶ ὕδωρ, σῶμα ἀνθρώπου καὶ ψυχάς· καὶ ταύτας δέχεται, ὅταν μοῖρα λύσῃ τὰς μὴ δαμασθείσας ἐπιθυμίᾳ. ἐμὸς οὗτος δεσπότης καὶ θεὸς μόνος, ὃς φόνον ἀποστρέφεται, πολέμους οὐ κατεργάζεται. Ἀλέξανδρος δὲ θεὸς οὐκ ἔστιν εἰδὼς ἀποθνῄσκειν. πῶς πάντων ἐστὶ δεσπότης, ὃς οὔπω παρῆλθε ποταμὸν Τιβεροβοὰμ οὐδὲ Κοσσόαλον οὐδὲ θρόνον ἑαυτοῦ τέθεικεν ἐν Παλιμβόθροις οὐδὲ Ζωνενάδη οὔπω παρῆλθε οὐδὲ τῆς Μεσοποταμίας ἡλίου ἴδεν τὸν δρόμον, οὔτε ἴδεν τὸν ἐν Μεθορίοις καὶ Καρισοβορίοις. καὶ Σκυθία οὔπω γινώσκει αὐτοῦ τὸ ὄνομα. εἰ δὲ αὐτὸν χωρεῖ ἡ ἐκεῖ γῆ, διαβαινέτω Γάγγην καὶ εὑρήσει γῆν δυναμένην ἀνθρώπους φέρειν, εἴπερ ἡ παρ᾽ αὐτοῖς οὐκέτι ὑπομένει βαστάζειν τοῦτον.

ὅσα δέ μοι ὁμολογεῖ Ἀλέξανδρος καὶ ὅσα ἐπαγγέλλεται παρέξειν μοι δῶρα, ἐμοὶ ἄχρηστα τυγχάνει. ταῦτα δέ μοι φίλα καὶ χρηστὰ καὶ χρήσιμα τυγχάνει· οἶκος, τὰ φύλλα ταῦτα καὶ τροφὴ πίων, αἱ παραθίνιαι βοτάναι καὶ ὕδωρ εἰς ποτόν. τὰ δὲ λοιπὰ χρήματά τε καὶ πράγματα μετὰ μερίμνης συναγόμενα (καὶ οἱ συνάγοντες ἅμ᾽ ἐκείνοις ἀπολλύμενοι) οὐδὲν ἕτερον ἢ λύπην παρέχει ἧ ἐστιν ἐμπεπλησμένος πᾶς βροτός. νῦν δὲ ἐγὼ καθεύδω ἐπὶ στρώμνης φύλλων κεκλεισμένοις ὄμμασιν οὐδὲν τηρῶν· χρυσὸν γὰρ ἐὰν θελήσω τηρεῖν, διαφθείρω μου καὶ τὸν ὕπνον. γῆ μοι πάντα φέρει ὡς μήτηρ γάλα δέ ἐστι τῷ τεχθέντι. ἐφ᾽ ἃ θέλω ἔρχομαι, ὃ μὴ θέλω μεριμνᾶν οὐκ ἀναγκάζομαι.

ἐὰν δέ μου τὴν κεφαλὴν ἀφέλῃ ὁ Ἀλέξανδρος, τὴν ψυχὴν οὐκ ἀπολέσει, ἀλλὰ κεφαλὴν μόνην σιωπῶσαν· ψυχὴ δέ μου πρὸς τὸν δεσπότην ἀπελεύσεται τὸ σῶμα ὡς ῥάκος ἐπὶ τῆς γῆς καταλιποῦσα, ὅθεν καὶ ἐλήφθη. πνεῦμα δὲ γενόμενος ἐγὼ ἀναβήσομαι πρὸς τὸν θεόν μου, ὃς ἡμᾶς κατέκλεισεν ἐν σαρκὶ καταπέμψας ἐπὶ τὴν γῆν πειράζων πῶς καταβάντες ὡς προέταξεν ζήσωμεν αὐτῷ, ὃς ἀπελθόντας πρὸς αὐτὸν ἀπαιτήσει λόγον δικαστὴς ὧν πάντων

ὑβρισμάτων· οἱ γὰρ τῶν ἀδικουμένων στεναγμοὶ τῶν ἀδικούντων κόλασις γίνονται.

ταῦτα δὲ ἀπειλείτω Ἀλέξανδρος τοῖς θέλουσι χρυσὸν καὶ θάνατον φοβουμένοις· πρὸς ἡμᾶς τὰ δύο αὐτοῦ ὅπλα πέπτωκεν· οἱ γὰρ Βραγμᾶνες οὔτε χρυσὸν φιλοῦσιν οὔτε θάνατον φοβοῦνται. ἄπελθε οὖν καὶ Ἀλεξάνδρῳ λέγε, ὅτι Δάνδαμις τῶν σῶν χρείαν οὐκ ἔχει· διὰ τοῦτο πρός σε οὐκ ἐλεύσεται. εἰ δὲ σὺ Δανδάμεως χρείαν ἔχεις, ἐλθὲ πρὸς αὐτόν".

ὁ δὲ Ἀλέξανδρος ταῦτα ἀκούσας παρὰ τοῦ Ὀνησικράτους μᾶλλον αὐτὸν ἰδεῖν ἐπεθύμησεν, ὅτι αὐτὸν πολλὰ ἔθνη καθελόντα εἷς ἐνίκησε γυμνὸς γέρων. πορεύεται οὖν σὺν πεντεκαίδεκα φίλοις εἰς τὴν ὕλην τοῦ Δανδάμεως καὶ ἐγγὺς γενόμενος αὐτοῦ κατέβη ἐκ τοῦ ἵππου καὶ ἀπέθετο τὸ διάδημα καὶ πᾶσαν τὴν περὶ αὐτὸν ἀλαζονείαν. καὶ εἰσελθὼν μόνος εἰς τὴν ὕλην, ἔνθα ὁ Δάνδαμις, ἠσπάσατο αὐτὸν καὶ εἶπε· "χαίροις, Δάνδαμις, διδάσκαλε Βραγμάνων καὶ πρύτανι σοφίας· πάρειμι πρός σε ἀκούσας σου τὸ ὄνομα, ἐπεὶ μὴ σὺ παρεγένου πρὸς ἡμᾶς". ὁ δὲ Δάνδαμις εἶπεν· "χαίροις καὶ αὐτός, δι᾽ ὃν πολλαὶ πόλεις ταράσσονται καὶ ἔθνη ἀκαταστατεῖ".

ὁ δὲ Ἀλέξανδρος καθεσθεὶς παρὰ τοῖς ποσὶν αὐτοῦ ἐκείνην τὴν ὥραν εἶδεν καθαρὰν τὴν γῆν ἀπὸ αἱμάτων· καὶ ὁ Δάνδαμις· "τί πρὸς ἡμᾶς, Ἀλέξανδρε, πάρει; τί θέλεις βαστάσαι ἐκ τῆς ἡμετέρας ἐρημίας; ὃ ζητεῖς ἡμεῖς οὐκ ἔχομεν, ὧν ἡμεῖς κεκτήμεθα αὐτὸς οὐ χρήζεις. ἡμεῖς θεὸν τιμῶμεν, ἀνθρώπους φιλοῦμεν, χρυσοῦ ἀμελοῦμεν καὶ θανάτου καταφρονοῦμεν, ἡδονῶν οὐ φροντίζομεν. ὑμεῖς δὲ θάνατον φοβεῖσθε, χρυσὸν φιλεῖτε, ἡδονῶν ὀρέγεσθε, ἀνθρώπους μισεῖτε, θεοῦ καταφρονεῖτε". ὁ δὲ Ἀλέξανδρος πρὸς αὐτόν· "ἐγὼ σοφόν τι ἥκω μαθεῖν παρὰ σοῦ· φασὶ γάρ σε θεῷ προσομιλεῖν· θέλω γὰρ εἰδέναι, τί τῶν Ἑλλήνων διαφέρεις ἢ τί περισσότερον τῶν λοιπῶν βλέπεις ἢ φρονεῖς".

ὁ δὲ Δάνδαμις πρὸς αὐτὸν ἀπεκρίνατο· "θέλω κἀγὼ διακονῆσαί σοι λόγους σοφίας θεοῦ καὶ ἐνθεῖναί σοι νοῦν θεοπρεπῆ, ἀλλὰ σὺ τόπον οὐκ ἔχεις ἐν τῇ ψυχῇ σου ὥστε χωρῆσαι τὴν παρ᾽ ἐμοῦ σοι διακονουμένην δωρεὰν τοῦ θεοῦ· πεπληρώκασι γάρ σου τὴν ψυχὴν ἄπληστοι ἐπιθυμίαι καὶ ἀκόρεστος φιλαργυρία καὶ δαιμονιώδης φιλαρχία, αἵτινες μάχονταί μοι νῦν, ὅτι σε ἐνθάδε περισπῶ καὶ οὐ φονεύεις ἔθνη λαῶν πολλῶν ἐκχέων αἷμα. καὶ λυποῦνται κατ᾽ ἐμοῦ οἱ μετὰ σοῦ, ὅτι πόλιν βλέπουσι μένουσαν καὶ σῳζομένους

ἀνθρώπους. σὺ δὲ εἶπας καὶ ἐπὶ τὸν Ὠκεανὸν ἐλθεῖν καὶ μετ᾽ αὐτὸν ἐπ᾽ ἄλλην οἰκουμένην καὶ μετ᾽ ἐκείνην πάλιν ἐφ᾽ ἑτέραν καὶ σφόδρα λυπηθήσῃ, ὅταν μὴ ἔχῃς οὓς νικήσεις. πῶς οὖν ἐγὼ δύναμαι θεοῦ σοφίας σοι λόγους λαλῆσαι τοσαύτῃ ἀλαζονείᾳ καὶ ἐπιθυμίαις ἀμετρήτοις πεπληρωμένης σου τῆς διανοίας, ἣν οὐδ᾽ ὅλος ὁ κόσμος ὑπηρετῶν ἐδυνήθη πληροφορῆσαι;

βραχὺς ἐκτίσθης καὶ γυμνὸς καὶ εἷς ἄνθρωπος παρῆλθες ἐν τῷ κόσμῳ καὶ αὐξηθεὶς διὰ τί τοὺς πάντας κατασφάττεις; ἵνα τὰ πάντων λάβῃς; καὶ ὅταν νικήσῃς τοὺς πάντας καὶ πᾶσαν κτήσῃ οἰκουμένην, τοσαύτην γῆν καθέξεις μόνην, ὅσην ἐγὼ ἀνακείμενος ἢ σὺ καθήμενος· τοσαύτης γῆς κυριεύων ἔνθεν μεταβήσῃ, ὥστε οἱ εὐκαταφρόνητοι ἡμεῖς ἄνευ μάχης καὶ πολέμου ἶσά σοι ἔχομεν τὰ πάντα· γῆν, ὕδωρ, ἀέρα· καὶ πάντα, ὅσα ἔχω, δικαίως ἔχω καὶ οὐδενὸς ἐπιθυμῶ. σὺ δὲ πολεμῶν καὶ ἐκχέων αἵματα καὶ ἀνθρώπους κατασφάττων, ἐὰν πάντας κτήσῃ ποταμούς, ἶσον ἐμοὶ πίνεις ὕδωρ. καὶ οὐκ ἀγωνιῶ οὐδὲ τραύματα φέρω οὐδὲ πόλεις κατασκάπτω καὶ ἴσην ἔχω σοι γῆν καὶ ὕδωρ καὶ οὐδενὸς ἐπιδέομαι.

τοῦτο οὖν, Ἀλέξανδρε, σοφὸν μάθε παρ᾽ ἐμοῦ· μηδὲν ὡς πένης θέλε ἔχειν καὶ πάντα ἐστὶ σὰ καὶ οὐδενὸς δεήσῃ· ἐπιθυμία γὰρ μήτηρ ἐστὶ πενίας, πενία δὲ ἔργον ἀταξίας κακῷ φαρμάκῳ θεραπευομένη λύπῃ καὶ μηδέποτε εὑρίσκουσα ὃ ζητεῖ μηδ᾽ ἀναπαυομένη ἐφ᾽ οἷς ἔχει, ἀλλ᾽ ἀεὶ βασανιζομένη ἐφ᾽ οἷς οὐ κέκτηται.

πλουτήσεις δὲ ἡδέως ὡς ἐγώ, ἐάν μοι συζῆν θελήσῃς καὶ ἐάν μοι προσέχῃς καὶ ἀκούῃς μου τῶν λόγων, καὶ κτήσῃ ἐκ τῶν ἐμῶν ἀγαθῶν. ὁ γὰρ θεὸς ἐμοὶ φίλος καὶ τοῖς ἔργοις αὐτοῦ ἀγαλλιῶν προσομιλῶ, καὶ ἔμπνους ἐν ἐμοὶ γίνεται. κακῶν ἀνθρώπων οὐκ ἀκούω. οὐρανός μοι στέγη, γῆ μοι πᾶσα στρωμνή, ὗλαι τράπεζα, καρποὶ τροφῆς ἀπόλαυσις, ποταμοὶ διάκονοι δίψης. οὐκ ἐσθίω σάρκας ὡς λέων, οὐδὲ σήπεται ἐν ἐμοὶ ἑτέρων ζῴων κρέα, οὐδὲ γίνομαι τάφος νεκρῶν ἀλόγων· πρόνοια γάρ μοι τροφὴν φέρει καρποὺς ὡς φίλη μήτηρ τῷ τεχθέντι γάλα.

ἀλλὰ σὺ ζητεῖς, Ἀλέξανδρε, τοῦ μαθεῖν παρ᾽ ἐμοῦ, τί περισσὸν τῶν ἄλλων ἀνθρώπων κέκτημαι ἢ τί οἶδα σοφὸν παρὰ πολλούς. ἐμὲ βλέπεις, βιῶ ὡς ἐξ ἀρχῆς ἐκτίσθην. ζῶ ὡς παρὰ τῆς μητρὸς ἐτέχθην, γυμνὸς ἄνευ πλούτου καὶ φροντίδων· διὰ τοῦτο, ὅσα ὁ θεὸς ποιεῖ, οἶδα καὶ τί δεῖ γενέσθαι, ἐπίσταμαι. ὑμεῖς δὲ θαμβεῖσθε μαντευόμενοι καὶ οὐκ αἰσχύνεσθε περὶ τῶν καθ᾽ ἡμέραν ἐφ᾽ ὑμᾶς παρερχομένων μὴ

συνιέντες τὰ καθ᾽ ὥραν δεικνύμενα ὑμῖν ἔργα θεοῦ· λιμούς, πολέμους, κεραυνούς, αὐχμούς, ὄμβρους καὶ καρπῶν φθορὰς προγινώσκω ἐγώ· καὶ πῶς καὶ πόθεν ταῦτα γίνεται καὶ διὰ τί, ἐμοὶ παρέχει γνῶσιν ἡ πρόνοια. καὶ τοῦτο δὲ λίαν εὐφραίνει με, ὅτι τῶν ἰδίων ἔργων ὁ θεὸς ἐμὲ σύμβουλον πεποίηκεν ὡς υἱὸν ἀγαπητόν, ὅτι ὁ θεὸς μετὰ τῶν ἰδίων ἔργων σύμβουλον πεποίηκε τὴν δικαιοσύνην πρός με. πολεμίων φόβος ἐὰν ἐπέλθῃ βασιλεῖ ἢ ἑτέρα πτόησις, πρός με ἔρχεται ὡς πρὸς ἄγγελον θεοῦ ζητῶν φρόνησιν, καὶ ἐγὼ ἐντυχὼν τῇ προνοίᾳ τοῦ θεοῦ πείθω αὐτὴν ἀγαθόν τι δοῦναι τῷ παρόντι πρός με· καὶ φόβον τοῦτον καταλύσας μετὰ θάρσους αὐτὸν ἀποπέμπω.

τί βέλτιον, εἰπέ μοι, καταβλάπτειν ἀνθρώπους καὶ κακῆς δόξης ὄνομα ἔχειν ἢ μᾶλλον τούτους φυλάττειν καὶ εὐεργετεῖν καὶ εὐεργέτην γνωρίζεσθαι; καὶ τί πρέπει τοῖς υἱοῖς τοῦ θεοῦ, πολεμεῖν καὶ κατασκάπτειν τὰ ὑπὸ τῆς προνοίας δημιουργηθέντα ἢ εἰρηνεύειν καὶ προσανοικοδομεῖν τὰ πεπονημένα καὶ κατερηριμμένα ὡς δημιουργοῦ λάτριν; οὐκ ὠφελήσει σε, βασιλεῦ Ἀλέξανδρε, ἡ ἐξουσία αὕτη οὐδὲ τὸ πλῆθος τοῦ χρυσοῦ ἢ οἱ πολλοὶ ἐλέφαντες οὐδὲ ἐσθὴς ἡ ποικίλη καὶ διάφορος ἡ περί σε οὐδ᾽ ὁ στρατὸς ὁ νῦν σοι περιστοιχιζόμενος οὐδ᾽ ἵπποι καὶ οἱ δορυφόροι καὶ πάντα ὅσα σὺ τῶν ἄλλων μετὰ πολέμων καὶ μάχης ἀφείλω· ἀλλ᾽ ὀνήσῃ τὰ μέγιστα, ἐὰν πεισθῇς τοῖς ἐμοῖς λόγοις καὶ ὑπακούσῃς τῆς ἐμῆς φωνῆς.

σὺ δέ, Ἀλέξανδρε, ἐάν με φονεύσῃς, οὐ φοβοῦμαι, λέγοντά με τά σοι συμφέροντα· ἀπελεύσομαι γὰρ πρὸς τὸν θεόν μου, ὃς κατεσκεύασε τὰ πάντα· αὐτὸς γὰρ οἶδέ μου τὴν δίκην καὶ τούτῳ λέληθεν οὐδέν, οὗ ὄμματα πάντες οἱ ἀστέρες, ἥλιος καὶ σελήνη, καὶ αὐτὸς κρινεῖ καὶ τοὺς ἄλλους ἀδικοῦντας, ὃν οὐ λήσεις οὐδὲ τόπον ἕξεις ποῦ φεύξῃ τοῦτον ἀναστὰς οὐδὲ τούτου τὴν δίκην παρελεύσῃ· ὥστε βασιλεῦ Ἀλέξανδρε μὴ κατάβαλλε, ἃ ὁ θεὸς θέλει κτίζεσθαι μηδ᾽ ἀφανίζειν βιάζου, ἃ ἐκεῖνος κοσμεῖν βούλεται, μηδὲ σπένδε αἷμα πόλεων μηδὲ νεκρὰ ἔθνη διάβαινε ἐπ᾽ αὐτά· σεαυτῷ γὰρ μᾶλλον ζῆσαι κρεῖττον ἤπερ ἄλλους κατακτείνειν καὶ μὴ θανόντα ἄλλους μακαρίζειν καὶ ζημίαν εἰδέναι μᾶλλον τὰ τῶν ἄλλων ἁρπάζειν ἤπερ κέρδος ἡγεῖσθαι τοῦτο.

τί μία ψυχὴ γενόμενος τοσαῦτα ἔθνη καταλῦσαι θέλεις; τί σὺ ἀφρόνως εὐφραινόμενος πολλῶν κακῶν τὴν οἰκουμένην ἐμπιπλᾷς; τί τὰς ἀλλοτρίας συμφορὰς ὡς ἑαυτοῦ κέρδη ὁρᾷς; τί κατὰ δακρυόντων σὺ γελᾷς; μνήσθητι τοῦ ἐπ᾽ ἐρημίαις ἐμοῦ τοῦ γυμνοῦ καὶ πενιχροῦ,

καὶ σεαυτὸν κέρδησον καὶ τοὺς πολέμους καταλύσας τὴν τῆς προνοίας φίλην ἄσπασαι εἰρήνην καὶ μὴ ζήτει ἐν κακοῖς ἀνδρείαν ἔχειν, ἀλλὰ μεθ᾽ ἡμῶν ἀμέριμνον βίον διάγειν· ἀπόρριψον ἀπὸ σοῦ τοὺς τῶν προβάτων μαλλοὺς καὶ μὴ κατάφευγε ἐπὶ σκέπην νεκράν. τότε τιμήσεις σεαυτὸν μιμησάμενος ἡμᾶς γεγονὼς οἷος καὶ ἐκτίσθης. πειράζεται γὰρ εἰς ἀρετὴν ἐν ἐρημίᾳ ψυχή.

ἑλοῦ τοιγαροῦν, ὦ βασιλεῦ Ἀλέξανδρε, βίον διάγειν ἄϋλον ἡμέτερον· οὐκ οἶδα εἰ οὕτως εἶ μακάριος ὡς δυνηθῆναί σε πεισθέντα τοῖς ἡμετέροις λόγοις σεαυτὸν εὑρεῖν. νῦν ἀναμένουσί σε Μακεδόνες, ἵνα πόλεις καταβάλλωσι καὶ ἀνθρώπους κατασφάξωσι καὶ τὰ ἐκείνων διαρπάσωσι, καὶ λυποῦνται σήμερον οἱ φονοῦντες αἱμάτων ἀλλοτρίων ἔθνος βλέποντες σῳζόμενον· ἰδίων γὰρ πλεονεξιῶν εἰσι στρατιῶται τὴν πρόφασιν ἔχοντες ἄδικον.

πότε βίον ἀμέριμνον κτήσῃ τὸν παρὰ θεοῦ σοι ἀπονεμηθέντα, ἵνα καὶ σεαυτῷ ζήσῃς καὶ ἄλλους μὴ κατακτείνῃς; νῦν δ᾽ ἄρα τούτων ἀκούων τῶν λόγων τί μέλλεις λοιπὸν σεαυτῷ προσανέχειν; ἢ ζητεῖς ἁρπάζειν ἀκμὴν καὶ ταράσσειν ἔθνη καὶ φονεύειν ἀνθρώπους; καὶ ἃ μὲν εἰργάσω, ἃ δὲ μέλλεις ποιεῖν. ἀλλ᾽ ἐὰν τῶν ἐμῶν μὴ ἀνάσχῃ λόγων ἐνθένδε ἀπαλλαγῇς, καὶ ὢν ἐν αἰθέρι ὄψομαί σε τούτων τὰς δίκας τιννῦντα καὶ στεναγμοῖς πικροῖς ὀδυρόμενόν σε τῶν ὑπὸ σοῦ πεπραγμένων τὰς εὐθύνας διδόντα. καὶ τότε τῶν ὑπ᾽ ἐμοῦ διακονουμένων θείων λόγων μνησθήσῃ, ὅταν μηκέτι ἀκολουθῶσιν ἵπποι δεδιδαγμένοι πολέμους καὶ πλήθη τῶν δορυφόρων. τότε θρηνήσεις οἰμώζων ζητῶν ὃν εἰς μάτην ἀπώλεσας βίον εἰς ταραχὰς ἀτάκτους καὶ πολέμους αἱμάτων ἀθῴων, ὅταν μηδὲν ἄλλο ἔχῃς ἰδεῖν σου κυκλόθεν εἰ μὴ μνήμην ὧν ἐσώρευσας σεαυτῷ· οἶδα γὰρ ἐγὼ τὰς ἐκ θεοῦ ἐπαγομένας τιμωρίας δικαίως ἀνθρώποις ἀδίκοις· τότε μοι ἐρεῖς ἐκεῖ· “ἀγαθός μοι τὸ πρὶν ἦσθα σύμβουλος, ὦ Δάνδαμι”· ἐκεῖ γὰρ παραστήσονταί σοι ψυχαὶ αἱ μάτην πεπολεμημέναι ἀδίκως ὑπὸ σοῦ. πόσοις ἀρκέσεις ἀπολογούμενος τότε; οὐδὲν δὲ ὠφεληθήσῃ μέγας κληθεὶς καὶ φανείς. ὁ νῦν τὸν κόσμον νικῆσαι θέλων νενικημένος τότε”.

ὁ δὲ Ἀλέξανδρος πάνυ ἡδέως αὐτοῦ ἤκουε καὶ οὐκ ἐθυμώθη. ἦν γὰρ καὶ ἐν αὐτῷ πνεῦμα θεῖον, ἀλλ᾽ ὑπό τινος δαίμονος κακοῦ εἰς φόνους καὶ ταραχὰς ἐτράπη. καὶ σφόδρα καταπλαγεὶς ἐπὶ τοῖς παραδόξοις λόγοις τοῦ Δανδάμεως ἀπεκρίνατο λέγων Ἀλέξανδρος·

"Ἀληθινὲ διδάσκαλε Βραγμάνων, Δάνδαμι, καὶ ἀναπλάττων ἀνθρώπους τῇ σοφίᾳ τῆς προνοίας τούς σοι παρατυγχάνοντας, ὃν ἐγὼ μαθὼν παρὰ Καλάνου καὶ ποθήσας συντυχεῖν εὗρον πάντων ἀνθρώπων ὑψηλότερον διὰ τὸ ἐν σοὶ πνεῦμα. οἶδα, ὅτι ἀληθῶς λέγεις τὰ πάντα· ἐγέννησε γάρ σε ὁ θεὸς καὶ αὐτὸς κατέπεμψέ σε ἐν τόποις τούτοις, ἐν οἷς ἔξεστί σοι εὐδαιμονεῖν ἀτάραχον ὄντα ὅλῃ τῇ φύσει, πλούσιον, ἀνελλιπῆ, πολλῆς ἡσυχίας ἀπολαύοντα.

ἐγὼ δὲ τί ποιήσω ὁ ἀδιαλείπτοις φόβοις συνοικῶν καὶ συνεχέσι καταντλούμενος ταραχαῖς; πολλοὺς ἔχων τοὺς τηροῦντάς με φοβοῦμαι τούτους τῶν πολεμίων μᾶλλον· χείρονες οἱ φίλοι τῶν ὑπεναντίων, οἳ καθ᾽ ἡμέραν ἐπιβουλεύουσί μοι πλέον τῶν ἐχθρῶν μου, καὶ οὐδὲ χωρὶς αὐτῶν ζῆσαι δύναμαι οὔτε θαρσῶ πάλιν τούτοις σὺν αὐτοῖς ὤν· οὓς γὰρ φοβοῦμαι, ὑπ᾽ αὐτῶν τηροῦμαι· ἡμέρας μὲν ταράσσων ἔθνη, ἐπιστάσης δὲ νυκτὸς ἐκταρασσόμενος ὑπὸ τῶν λογισμῶν μου, μή τίς μοι ἐπιστὰς ξίφει με χειρώσηται. οἴμοι. καὶ κολάσας τοὺς ἀπειθοῦντάς μοι λυποῦμαι, καὶ μὴ κολάσας καταφρονοῦμαι πάλιν.

καὶ πῶς οἷόντε μέ ἐστι ταῦτα τὰ ἔργα ἀρνήσασθαι; καὶ γὰρ εἰ θέλοιμι ἐπ᾽ ἐρημίας ζῆσαι, ὑπὸ τῶν ὑπασπιστῶν οὐ συγχωροῦμαι. οὐκ ἔξεστι δέ μοι μᾶλλον, εἰ καὶ ἠδυνάμην, ἀπὸ τούτων δραπετεῦσαι ταῦτα λαχόντι τῇ ψήφῳ. τί οὖν ἀπολογήσομαι τῷ θεῷ, ὃς γενομένῳ τοῦτον ἐπένευσε τὸν κλῆρον;

σὺ δέ, ὦ πρέσβυτα, κτῆμα τίμιον θεοῦ, ἀνθ᾽ ὧν ὠφέλησάς με καὶ ηὔφρανάς με τοῖς λόγοις τῆς σοφίας σου καὶ ἀπὸ πολέμων ἡμέρωσάς με, δέξαι μου τὰ δῶρα, ἅ ἐνήνοχά σοι, καὶ μή με ἀτιμάσῃς· ἐγὼ γὰρ εὐεργετοῦμαι σοφίαν τιμῶν".

καὶ ταῦτα εἰπὼν ὁ Ἀλέξανδρος πρὸς τὸν Δάνδαμιν κατένευσε τοῖς οἰκέταις αὐτοῦ. οἱ δὲ προσέφερον αὐτῷ χρυσὸν καὶ ἄργυρον ἐπίσημον καὶ ἐσθῆτα παντοίαν πολυτελῆ καὶ πρόβατα καὶ ἄρτους καὶ ἔλαιον. ὁ δὲ Δάνδαμις ἰδὼν ἐγέλασε καὶ εἶπε τῷ Ἀλεξάνδρῳ·

"πεῖσον δὴ τὰ ὄρνεα τὰ περὶ τὴν ὕλην κελαδοῦντα λαβεῖν χρυσὸν καὶ ἄργυρον καὶ ἄμεινον ἠχῆσαι· εἰ οὖν ταῦτα οὐ δύνῃ πεῖσαι, οὐδὲ ἐμὲ πείσειας χείρω αὐτῶν γενέσθαι· ὃ γὰρ μήτε ἐσθίων μήτε πίνων οὐ λαμβάνω οὐδὲ τηρῶ ἀνωφελές τι κτῆμα, οὐδὲ τηρῶ ἐπιβλαβὲς ψυχῆς χρῆμα οὐδὲ ἐλεύθερον ἐμὸν βίον ἀπὸ πάσης μερίμνης νῦν δεσμεύσω οὐδὲ μάτην ἐμὴν καθαρὰν διάνοιαν θολώσω· μὴ γένοιτο· ἀλλ᾽ οὔτε ἀγοράσαι τι χρήζω ἐπ᾽ ἐρημίαις οἰκῶν· τὰ γὰρ πάντα δωρεὰν ὁ θεὸς

δίδωσί μοι, καρποὺς εἰς τροφὴν καὶ ὕδωρ εἰς ποτόν, ὕλας εἰς τόπον οἰκίας, ἀέρα εἰς αὔξησιν τῶν πάντων. οὐδὲν γὰρ ὁ θεὸς χρυσίῳ πωλεῖ, ἀλλὰ χαρίζεται τὰ πάντα ἀγαθὰς φρένας διδοὺς τοῖς θέλουσι λαμβάνειν ταῦτα οὖν ἐμοὶ οὐδέν ἐστιν.

ἱμάτιον περιβέβλημαι ὃ ἐξ ὠδίνων ἔχοντά με ἡ μήτηρ ἔτεκεν. ἀέρι τρέφομαι καὶ ἡδέως ἐμαυτὸν τοιοῦτον βλέπω. τί ἀναγκάζεις με περιθέσθαι ὅλου τοῦ σώματος δεσμόν; ἐμοὶ ἡδύτερον ἡ ἀμεριμνία πάσης κτίσεως καὶ μέλιτος γλυκύτερον τὸ ἀπὸ τοῦ ποταμοῦ ποτὸν ἰώμενον τὴν κατὰ φύσιν δίψαν. εἰ δὲ καὶ οἱ ἄρτοι οὗτοι εἰς τροφὴν εἰσιν, τί αὐτοὺς περιέκαυσας πυρί; οὐκ ἐσθίω ἐγὼ ἀπόβρωμα πυρὸς οὐδ᾽ ἀφαιροῦμαι ἀλλότριον τροφήν· τὸ γευσάμενον αὐτὰ πῦρ καταδαπανάτω. ἵνα δέ σε μὴ ἀτιμάσω τιμῶντα σοφίαν, δέχομαι τὸ ἔλαιον.

καὶ ταῦτα εἰπὼν ὁ Δάνδαμις ἔλαβε τὸ ἔλαιον καὶ ἀναστὰς τὴν ὕλην περιῆλθεν καὶ συναγαγὼν ξύλα ἐποίησε σωρὸν καὶ ἀνάψας πυρὰν εἶπε· "Βραχμὰν πάντα ἔχει καὶ τρέφεται προνοίᾳ". καὶ ἱκανῶς ἀνάψας τὸ πῦρ ἐπέχεεν, ἕως πᾶν ἐδαπάνησε τὸ ἔλαιον, καὶ ἦρεν ὕμνον τῷ θεῷ λέγων· "ἀθάνατε θεέ, εὐχαριστῶ σοι ἐν παντί· βασιλεύεις γὰρ τῶν ὅλων σὺ μόνος ἀληθῶς παρέχων σου τῷ πλάσματι πάντα πλουσίως εἰς τροφήν· δημιουργήσας δὲ τὸν κόσμον τοῦτον σὺ διατηρεῖς ἀναμένων τὰς ψυχάς, ἃς ἐξαπέστειλας ἐκεῖ, ἵνα πολιτευσαμένας ἀσφαλῶς τιμήσῃς ὡς θεός, τὰς δὲ ἀπειθησάσας τοῖς θεσμοῖς κατακρίσει παραδῷς· πᾶσα γὰρ δικαία κρίσις παρά σοι καὶ ἀπέραντος ζωὴ ἑτοίμη παρά σοι· χρηστότητι γὰρ ἀϊδίῳ τοὺς πάντας ἐλεεῖς".

ὁ δὲ Ἀλέξανδρος ἀκούσας ταῦτα πάντα καὶ ἰδὼν θαυμάσας σφόδρα καὶ κατανυγεὶς ἐπὶ τοῖς σοφοῖς καὶ ἀληθινοῖς λόγοις τοῦ Δανδάμεως ἀπῆλθεν ἀποφέρων πάντα, ὅσα ἐνηνόχει δῶρα πλὴν τοῦ ἐλαίου, οὗ ἀνήλωσε τὸ πῦρ. ὁ δὲ Δάνδαμις εἶπεν·

"τοιοῦτοί ἐσμεν πάντες ἡμεῖς, Ἀλέξανδρε· ὁ δὲ σὸς φίλος Κάλανος ἡμῖν κακὸς ἀνὴρ ἐγένετο πρὸς βραχὺν χρόνον μιμησάμενος ἡμῶν τὸν βίον καὶ ἐπεὶ μὴ ἐτύγχανε θεοφιλής, καταλιπὼν ἡμᾶς ἐδραπέτευσε πρὸς τοὺς Ἕλληνας καὶ παρὰ συνήθειαν ἰδὼν ἡμέτερα μυστήρια καὶ ταῦτα βεβήλοις ἐκπομπεύσας ἔθνεσιν ἐντεῦθεν εἰς πῦρ ἀθάνατον μετέστησεν ἑαυτόν. σὺ δὲ εἶ κακοῦ ἔθνους δεσπότης Μακεδόνων, τὸ πρὶν ἐλοιδόρεις Βραγμᾶνας καὶ ἐκέλευες τούτους

ἀπόλλυσθαι πεισθεὶς ψευδέσι λόγοις· ὅπερ οὐ πρέπει βασιλεῖ καὶ κηδομένῳ ἐθνῶν ἄρχειν τὸ τοῖς διαβάλλουσι πείθεσθαι.

ἡμεῖς γὰρ τοῦ ἰδίου βίου θεῷ λόγον δώσομεν, ὅταν πρὸς αὐτὸν ἀπέλθωμεν· αὐτοῦ γάρ ἐσμεν ἔργα πάντες οἱ ἀντιποιούμενοι τῆς αὐτοῦ δικαιοσύνης· καταφρονοῦμεν κενῆς δόξης τῆς παρὰ τοῖς ἄφροσι οὔσης. πῶς οὖν δύνασθε ὑμεῖς τὰ ἡμέτερα φρονεῖν κακῶς ζῶντες καὶ τοῦ ὄντως καλοῦ ἀμελοῦντες; ἡμεῖς δὲ οἱ Βραγμᾶνες μνημονεύοντες πῶς ἐγεννήθημεν, τῇ φύσει ἐκείνῃ συζῶμεν καὶ βλέπομεν, πῶς ἀμέμπτως ζῆν δυνάμεθα· ἐν ἀμεριμνίᾳ διάγομεν περὶ μηδενὸς φροντίζοντες· φροντὶς γὰρ ὕλης βίου βροτῶν χωρίζει νοῦν ἀπὸ θεοῦ· ἕκαστον γὰρ ἡμῶν ἡ πρόνοια ἐδίας γνώμης ἀπαιτήσει λόγον καὶ τῶν αὐτῆς πράξεων δίκας δώσομεν. διὰ τοῦτο χαίρομεν ἡμεῖς ἐν ἐρημίαις καὶ μέσαις ὕλαις καθεζόμενοι, ἵνα εἰς πᾶν ἀρέσκον τῷ θεῷ ἐφιστάνωμεν τὸν νοῦν, ἵνα μὴ αἱ ἀδολεσχίαι τῶν λοιπῶν ἀνθρώπων τὰς ψυχὰς ἡμῶν περισπάσωσιν ἀπὸ τῆς τοῦ θεοῦ δοξολογίας.

μακάριος γάρ ἐστιν ὃς οὐδενὸς τῶν περισσῶν δεῖται, δόξης δὲ κηδόμενος τοῦ δεσπότου τῶν ἁπάντων. δόξα δὲ κενὴ πάντων δεῖται· τὸν γὰρ βουλόμενον ἀρέσκειν πᾶσι δοῦλον εἶναι δεῖ πάντων. ἡμεῖς δὲ οὐ χρείαν ἔχομεν πόλεις ἐπιζητεῖν· σύνοδος γὰρ ἐπιβουλῆς ἐστι καὶ πολλῆς κακίας γεώργιον. μεγάλους δὲ ἡμῖν ὁ θεὸς οἴκους ἔκτισεν, ὄρη ὑψηλὰ καὶ ὕλας κατασκίους, ἔνθεν καθαρᾶς φύσεως τῆς δεδομένης ἐκ θεοῦ μνήμης σῴζεται καρποὺς ἐσθίοντες ἐν τούτοις ἐντρυφῶμεν καὶ ὕδωρ πίνοντες ἀπὸ τούτου εὐφραινόμεθα καὶ ἡδίστην ἀνάπαυσιν ἐπὶ φύλλοις ἔχομεν καὶ ἐπὶ τούτοις ἀναπαυόμενοι τὸν κόπον ἀποτιθέμεθα.

πῶς οὖν ὑμεῖς πολλῶν δοῦλοι ὄντες τοῖς ἐν πᾶσιν ἐλευθέροις ἐπιτάσσειν δύνασθε; ὑμεῖς γὰρ ψυχῆς ἰδίας πολλὰ καὶ ποικίλα ἐπιθυμούσης δοῦλοι ἄτακτοί ἐστε· εἰ γὰρ πολλὰ ἱμάτια θέλετε ἔχειν, δέεσθε τοῦ ποιμένος, τοῦ ὑφάντου, τοῦ γναφέως ἢ καὶ τοῦ ἀμήττοντος. μή μοι λέγε· “οὐ φορῶ μαλακὰ ἱμάτια”· ἴση γάρ ἐστι δουλεία τὸ ἐπὶ μικρῷ καὶ μεγάλῳ φροντίζειν· ὁ μικροῦ ὀρεγόμενος χρυσίου καὶ τοῦ πλείονος ἐπιθυμήσει, ὁ μικρᾶς πόλεως βασιλεῦσαι θέλων δηλονότι καὶ τῆς μείζονος ἄρξαι ἁρπάσει. ἀλλὰ καὶ ἐν ὀλίγῃ πορφύρᾳ στιλβούσῃ ἐν ἱματίῳ ἐναβρύνεσθε τῶν Ἰνδῶν ὁλοπορφύρων ὄντων δούλων ἡμῶν ὁλοπόρφυρα φορούντων· καὶ ὑμεῖς ἐρικυδῆ

ἡγεῖσθε τὴν πόρφυραν κἂν ὀλίγη χρῆσθε· εἰ δὲ τὸ καλὸν παρ᾽ ὑμῖν ὀλίγη ἐστίν, τῷ ὄντι πτωχοί ἐστε καὶ τὰ μικρὰ θαυμάζοντες.

διὰ τί δὲ ζῷα φονεύετε γῆς τέκνα ὄντα καὶ αὐτὰ χρησιμώτατα ὑμῖν ὑπάρχοντα; ἃ μὲν γὰρ κείρετε καὶ τούτων τὰ ἔρια περιβάλλεσθε, ἃ δὲ ἀμέλγετε καὶ τὸ γάλα ἐσθίετε, ἐν οἷς δὲ καὶ γεωργεῖτε τοὺς καρποὺς πιπράσκοντες, ἐφ᾽ οἷς δὲ καὶ ἐπιβεβηκότες πολεμεῖτε ἀλλότρια ἁρπάζοντες· καὶ ταῦτα φονεύετε ἀδίκως καὶ τοῖς μὲν ζῴοις μισθὸς ὁ τοιοῦτος παρ᾽ ὑμῖν. τοὺς μαλλοὺς τούτων ἔξωθεν περιβάλλεσθε, τὰς δὲ σάρκας τούτων ἔνδοθεν βαστάζετε καὶ γίνεσθε νεκρῶν ζῴων περιπατοῦντες τάφοι. τοσαύτῃ οὖν ἀτιμίᾳ ἔργων ἀτόπων βαρυνομένη ψυχὴ πῶς δύναται νοῦν θεοῦ δέξασθαι; ἔασον ἔξωθεν τὰ κρέα δύο ἡμέρας καὶ ὄψει τί γενήσεται· οὐ δυνήσῃ στέξαι τούτων τὴν ὀσμήν, ἀλλὰ καὶ ἔξω φεύξῃ. πόσαι εἰσδύνουσι διὰ τούτων εἰς ψυχὴν ἀκαθαρσίαι καὶ χωροῦσιν εἰς νεφροὺς τῶν ἐπιθυμούντων ταῦτα; πῶς οὖν τοῦ τοιούτου πνεῦμα θεῖον δύναται ἐμφοιτῆσαι τῇ αἰσθήσει; κρέα ἐθίετε, ἃ σῶμα μὲν πιαίνει, ψυχὴν δὲ κατατήκει, θυμὸν τίκτει, εἰρήνην δὲ διώκει, σωφροσύνην μὲν δαμάζει, ἀκολασίαν δὲ ἐξεγείρει, ἐμετοὺς ἐκβλύζει καὶ νόσους ἐνοικίζει· τοῦ σαρκοβόρου τῶν βροτῶν πνεῦμα ἐπαναχωρεῖ καὶ παλαμναῖος δαίμων ἐμφιλοχωρεῖ. καρποὶ δὲ ἀκροδρύων καὶ θινῶν βοτάναι ἔξω ἀφεθέντα κάλλιστον ἀτμὸν ἀπόζει καὶ παρὰ σοφῶν ἑστιαθέντα θεοπρεπῆ νοῦν κύει καὶ τὸ σῶμα ἐπιπρέπει. ταῦτα ὁ θεὸς ἐφύτευσεν τροφὴν βροτῶν φρονήσει· ὑμῶν δ᾽ ἀπόλωλεν ὁ νοῦς τῇ ἀδηφαγίᾳ, ἀναπνέετε θυμὸν θηρίων σαρκῶν ζῴων ἐμφορούμενοι, ἀγγεῖα διεφθαρμένα ἐστὲ μελῶν σεσηπότων. λύκων καὶ λεόντων καὶ πάντων θηρίων ἀνημέρων χείρονές ἐστε ὑμεῖς· λύκοι γὰρ εἰ ἐδύναντο καρποὺς ἐσθίειν οὐκ ἂν ἐζήτουν κρέα. ταῦροι ἵπποι ἔλαφοι καὶ ἑτέρα φύσις ζῴων παμπόλλη δικαιοτέραν ὑμῶν ἔχουσι τὴν τροφὴν θινῶν βοτάναις τρεφόμενα καὶ ὕδωρ πίνοντα καὶ τοῖς ὄρεσιν ἐνδιαιτώμενα. διὰ τοῦτο τούτοις φίλη ἡ ἰσχὺς καὶ τὰ νεῦρα καρτερὰ πεπήγασι. τί οὖν οὐ μιμεῖσθε ταῦτα τρεφόμενα θεοῦ προνοίᾳ;

ἀλλὰ προφάσει προσφορᾶς θυσιῶν καὶ πυρὸς δαπάνης ἑαυτοῖς αὐτὰ ἑτοιμάζετε τροφήν· ὅσα δέ ἐστιν εὔτονα καὶ διαρκῆ, ταῦτα παρ᾽ ὑμῶν οὐκ ἐπιβουλεύονται· ὑμεῖς γὰρ ζητεῖτε διατροφὴν πλείστην καὶ πολλὰ δαπανᾶτε διὰ τὴν ἀπληστίαν ὑμῶν καὶ εἰς μικρὰ ζῷα πλεῖστα κοπιᾶτε δι᾽ ὀλίγην ἡδονὴν καὶ ματαίαν. ἀνόητος ὁ κόπος ὑμῶν καὶ ἐν ἀπωλείᾳ. διὰ ταῦτα πάντα ταλαίπωρος καὶ ἀτυχὴς ὁ βίος ὑμῶν.

ἡμεῖς δὲ οὖν οὐδὲ ὕδωρ πίνομεν ἑκόντες δίψης μὴ παρούσης. ἐξ ἀνάγκης δὲ παρούσης δίψης ταύτην ἀμυνόμεθα τὴν ἐκ φύσεως παραγενομένην πηγαῖς ὑδάτων, αἳ καὶ μὴ πινόντων ἡμῶν χέουσι τὰ ῥεῖθρα. ὑμεῖς δὲ δι᾽ ἡδονὴν γαστρὸς τέχνας ἐπινοεῖτε, ἵνα καὶ μὴ πεινῶντες διὰ τῆς ποικίλης τῶν μαγείρων τέχνης διαῤῥηγνύητε τὴν ἀθλίαν γαστέρα τὰ πρὸς γαστριμαργίαν ταύτῃ χορηγοῦντες. ἀέρα θηρεύετε διὰ φιληδονίαν, θάλασσαν δικτύοις σήθετε διὰ τὰς πολλὰς ὑμῶν ἐπιθυμίας. ἐπὶ τὰ ὄρη στρατεύεσθε διὰ τὴν ἀπληστίαν ὑμῶν τὴν ἐπὶ κυνῶν ἀλκὴν ἀλαζονευόμενοι, καὶ κακολογεῖτε θηρία τὰ παρὰ τῆς προνοίας δημιουργηθέντα καὶ αὐτὰ κακῆς ἐρημίας ἔνοικα λέγετε δυσαρεστούμενοι κατὰ τῆς προνοίας. καὶ τὰ μὲν διώκετε, τὰ δὲ ἀγρεύειν βούλεσθε, τὰ δὲ πλεῖστα φονεύετε, τὰ δὲ τούτων ἀνημερώτερα συλλαβόντες καὶ γαλεάγραις συγκλείσαντες φέρετε εἰς τὰς πόλεις, οὐχ ἵνα σπείρητε δι᾽ αὐτῶν ἢ ἑτέραν τινὰ ἐν τούτοις χρήσιμον ἐκτελέσητε ὑπηρεσίαν, ἀλλ᾽ ἵνα τὸ συγγενὲς ὑμῶν καὶ θεοῦ ἔργον ἄνθρωπον καθυβρίσαντες ἀφανίσητε· καὶ δεδεμένον τοῦτον δεσμοῖς βιαίοις λελυμένῳ θηρίῳ παραβάλλετε καὶ ἀντικαθεζόμενοι ἐνατενίζετε τερπόμενοι τῇ ἀνηκέστῳ συμφορᾷ τὸν τοῖς θηρίοις καταπαλαιόμενον καὶ γελῶντες· σπουδάζετε καταλῦσαι κακίστῳ μόρῳ τὴν κοινὴν τῆς φύσεως ἡμῶν εἰκόνα τὴν χειρὶ θεοῦ πλασθεῖσαν· καὶ μετὰ τὸ τοῦτον ὑπ᾽ αὐτοῦ διαφθαρῆναι αὐτὸν πάλιν τὸν θῆρα σφαγιάσαντες ὑμεῖς πῶς ἀποτρέπεσθε, καὶ κακολογοῦντες λέγετε· "ὦ κακὸν θηρίον καὶ φονεῦ ἀνθρώπων". καὶ τὸ πάντων δὲ δεινότερον, αἱμάτων καὶ σαρκῶν ἀνθρώπων τοῦ θηρὸς ἐμφορηθέντος, τοῦτον κατασφάξαντες πάλιν ὑμεῖς ἐσθίετε καὶ εὑρίσκεσθε τῶν πονηρῶν θηρίων ἀνημερώτεροι αὐτοὺς τούτους ἐσθίοντες καὶ ἀκαταλάκτους συμφορὰς ἑαυτοῖς ἐν τῇ γαστρὶ σωρεύοντες.

χώρας πάλιν τοὺς πενεστέρους ἀποστερήσαντες ὑμεῖς οἰκοδομεῖτε οἰκίας, ἵνα θερμαινόμενοι ἡσυχαίως εὐπεπτῆτε. καὶ ἀναγκάζετε ὑμῶν τὰ ἔντερα πλατεῖς εἶναι τεχνῶν σύνθετα ἐξ ἀμέτρου ἀκρασίας, ζωοφαγίας καὶ οἰνοφλυγίας. ἡμεῖς δὲ εὐχόμεθα μηδὲ ὕδατος διψῆσαι· περισπώμεθα γὰρ ἀληθείας, ὅταν σῶμα περισσῶς ποτίσωμεν ὕδατι. ὑμεῖς δὲ χαίροντες ἐπὶ τὰς οἰνοποσίας συνέρχεσθε, καὶ ἐὰν μὴ ἐκμανῆτε πίνοντες οὐ παύεσθε. καὶ μετὰ ταῦτα χεῖρας ἐπὶ σπονδὰς ἐκτείνετε καὶ τοὺς ὀφθαλμοὺς ὑμῶν εἰς τὸν ἥλιον ἐπαίρετε παντελῶς ἐκδιώξαντες ὑμῶν τὴν φρόνησιν βαρυνόμενοι τὸν νοῦν ἀπὸ τοῦ

οἴνου. εὐτυχέστεροι παρ᾽ ὑμῖν εἰσι μᾶλλον οἱ μαινόμενοι· ἐκεῖνοι γὰρ μεθύουσιν οἶνον μὴ ἀγοράσαντες. ὑμεῖς δὲ μεριμνᾶτε τὴν τιμὴν τοῦ οἴνου, ἵνα τοῦτον ἀγοράσαντες τῇ μέθῃ τὴν φρόνησιν ἐκδιώξητε ἑαυτοῖς ἐπεισάγοντες ἔκφρονα μανίαν, κατ᾽ ἀλλήλων χεῖρας κατακλῶντες καὶ τραύματα ἕκαστος τῷ πλησίον ἐμφοροῦντες. καὶ ταῦτα ποιεῖτε ἀναισθήτως. εἶθ᾽ οὕτως τοῦ οἴνου διαπνευσθέντος μανθάνετε τὰ παρ᾽ αὐτῶν δρασθέντα ἐκ τῶν ἀλγηδόνων. καὶ οὐδ᾽ οὕτως ἰσχύετε παραφυλάξαι τὴν μέθην.

πάλιν πολλὰ φαγόντες οὐκ ἰσχύετε αὐτὰ πέψαι, ἀλλ᾽ ὀψὲ ἀναχωρήσαντες τὴν ἀκρασίαν ὑμῶν διὰ στόματος ἐμεῖτε κάτωθεν ἄνω στρέφοντες τὴν φύσιν· πίνοντες ἀμετρήτως πληροῦσθε ὡς ἀγγεῖα καὶ ὀζέσαντος τοῦ οἴνου τελευταῖον τοῦτον ἀναβλύζετε ἄφρονες ἀναστρέψαντες τὸ σῶμα ἀντὶ τῶν ποδῶν ἐπὶ κεφαλὴν περιπατοῦντες ὡς τὰ ζῷα· βιάζεσθε πληροῦσθαι καὶ μετὰ ὕβρεως κενοῦσθε. νόσον προσλαμβάνοντες συντρίβετε τὸ σῶμα καὶ ἐν οἷς δοκεῖτε τὴν γαστέρα θεραπεύειν, ἐκεῖθεν ἀνιᾶσθε καὶ ἀεὶ κεκορεσμένοι πάσης ἡδονῆς ἐστερημένοι· τέλος γὰρ ἀμέτρου κόρου βάσανος σώματος καὶ οὐχ ὑγεία. κολάζεσθε γὰρ νόσοις διὰ τὴν ἀμετρίαν. τί δέ ἐστιν ἡ τοῦ σώματος τρυφὴ πρὸς ψυχῆς εὐδαιμονίαν; εἰ δὲ ἐπιδείκνυσθαι βούλεσθε, ὅτι ἔχετε πολλά, τοῖς παρ᾽ ὑμῖν ἐνδεομένοις χαρίζεσθε τὰ περισσά. ὡς δὲ ἀκούομεν, πτωχοί ἐστε τῷ ὄντι, ὥστε μήτε ἄρτον τοῖς αἰτοῦσιν ὑμᾶς δίδοτε, ἀναριθμήτους δὲ οὐσίας ἑαυτοῖς σπουδάζετε σωρεύειν· δοῦλοι γάρ ἐστε σωμάτων καὶ ἐντέρων ἀκορέστων.

διὰ ταῦτα γὰρ τὰ πάθη πολλοὶ ἰατροὶ ἐν ὑμῖν οἱ κενοῦντες ὑμῶν τὴν ἀπληστίαν ἢ λιμῷ κατάγχοντες τὴν πολυφαγίαν ἢ ἄλλαις τισὶ τέχναις τὴν νόσον χαλινοῦντες καὶ τοὺς τὸ πρὶν πολὺν ἐκχεομένους οἶνον ὡς εἰς ἀγγεῖον τετρημένον δαμάζοντες τῇ δίψῃ, μηδὲ ῥάνιδος ὕδατος τούτους καταξιοῦντες. καὶ οἱ ποτὲ καρηβαροῦντες νῦν βασανιζόμενοι ξηροὶ διατελοῦσιν. καὶ τότε μὲν παρὰ φύσιν ἔπινον τὸν οἶνον, νῦν δὲ κατὰ φύσιν ὕδωρ ἐπιθυμοῦσιν. καὶ τότε μὲν πεπεδημένοι ἐπιθυμίᾳ ἀκορέστῳ, νῦν δὲ στρεβλούμενοι τῇ ἐγκρατείᾳ τῆς ἀνάγκης.

Βραγμᾶνες δὲ οἶνον οὐκ ἐπιζητοῦμεν, οὐκ αὐθαίρετον κτώμεθα μανίαν· ὕδωρ δέ, ὅσον θέλομεν, ἔχομεν ἐκ θείας προνοίας, ᾧ καὶ ἡδόμεθα. καὶ δι᾽ αὐτοῦ φρονοῦντες τὴν κατὰ φύσιν θεραπεύομεν δίψαν οὐ κτώμενοι μανίαν· μᾶλλον γὰρ ἑλώμεθα θάνατον ἢ

κατακυριευθῆναι μέθη. θηρὶ παραδοθῆναι πολλῷ μᾶλλόν ἐστι βέλτιον ἢ δόξης θεοῦ ἀπορριφῆναι διὰ πολυποσίαν. ὁ γὰρ μεθύων ζῴων ἀλόγων ἐστὶ χείρων τεθνηκὼς φρονήσει· τὸν νοῦν γὰρ ἀπολέσας τοῦ θεοῦ ἠλλοτριώθη.

τί δὲ οἱ ἐν ὑμῖν ἔνδοξοι; τῷ πλούτῳ ἀπατῶνται ψευδῆ ἐνορῶντες καὶ τὰ ἐνταῦθα μόνα ἔχειν προσδοκῶντες ἀλλήλους ἀδικοῦσι, τοὺς δὲ ἀσθενεστέρους καὶ φονεύοντες ἀποστεροῦσι καὶ ἃ κέκτηνται ὀλίγα. τὸ δὲ πέρας τούτων ἀναμένει θάνατος.

τί δὲ εἴπωμεν περὶ Ἐπικουρίων, ἀνδρῶν μυροβρόχων καὶ μαλακῇ ἐσθῆτι γυναικῶν ἁβρῶς περιπατούντων καὶ βεβιασμένων ἀρωμάτων χυμοῖς τὸν ἀέρα μιαινόντων; τί δὲ δεῖ καὶ λέγειν περὶ Στοϊκῶν λογίων φιλοσόφων τῶν φιλαργυρησάντων; τί δὲ πάλιν ἐροῦμεν περὶ τῶν Περιπατητικῶν φιλοσόφων; πάντες οὗτοι θαυμάσιοι καὶ μεγάλοι παρ᾽ ὑμῖν, ἀλλ᾽ οὐ παρὰ Βραγμᾶσιν.

ἀκούομεν δὲ καινὴν ἀνθρώπων φύσιν ἐξηυρῆσθαι παρ᾽ ὑμῖν, ὅτι ἐκτέμνετε τοὺς ἀρρένας θήλεια αὐτοὺς βιαζόμενοι ποιῆσαι. καὶ γίνεται ὁ παρ᾽ ὑμῖν ἄνθρωπος γεννηθεὶς οὔτε σπείρων ὡς ἀνὴρ οὔτε τίκτων ὡς γυνή, ζῇ δὲ μόνον εἰς ἰδίαν ὕβριν. τίς οὐκ ἂν ὑμᾶς ἐλεήσει βλέπων ἐν ὑμῖν τοῦτον τὸν ἀφανισμόν;

οἰκτείροντες δὲ ὑμᾶς ἡμεῖς ὠφελοῦμεν οὐδὲν τῷ μὴ συντρέχειν τὴν γνώμην ὑμῶν προθέσει τῶν Βραγμάνων. ἡμεῖς τοίνυν μισοῦμεν ὑπερηφανίαν καὶ φιλοῦμεν πᾶσαν ἀνθρωπίνην φύσιν, προκαθήμενοι τῆς ἀληθείας διδάσκαλοι καὶ ἐνδεῖκται ὁδοῦ τῆς δικαιοσύνης τοῖς εὐεργετεῖσθαι βουλομένοις, ἐν τῷ βίῳ τούτῳ ὡς ἐν μεγίστῳ οἴκῳ γυμνῇ τῇ ψυχῇ πρὸς πάντας διαζῶντες ὥσπερ καὶ τῷ σώματι, τουτέστιν ὁλοκλήρῳ τῇ ψυχῇ πρὸς πάντα ἄνθρωπον πλουτοῦμεν.

ἀκούομεν δέ, ὅτι Μακεδονία βιάζεται πάντα πρότερον αὐτὴ βιασθεῖσα· τῆς γὰρ προτρεπομένης ψυχῆς εἰσι πάντες δοῦλοι. ἀλλὰ τούτων πάντων ἄπειροί εἰσι Βραγμᾶνες ὑπ᾽ οὐδενὸς πολεμούμενοι· οὐδενὸς γὰρ τῶν ἐν ὑμῖν ἡμεῖς ἐπιθυμοῦμεν.

σὺ δέ, εἰ βούλει, βασιλεῦ Ἀλέξανδρε, τὰ ἡμέτερα φρονεῖν, παραγενόμενος εἰς Ἰνδοὺς καὶ Βραγμᾶνας ἰδὼν ἐπ᾽ ἐρημίας οἴκησον γυμνός· ἄλλως γάρ σε οὐ δεχόμεθα ἡμεῖς, ἐὰν μὴ πρῶτον πάσας τὰς ἀρχὰς ἀπορρίψῃς ἀπὸ σεαυτοῦ, ἐφ᾽ αἷς γέγηθας καὶ μέγα φρονεῖς. ἅψονται δέ σου προνοίας λόγοι, ὅπερ πρότερον εἰρήκειν σοι, καὶ ἀγαπήσεις ἐκ καρδίας σου πάντα, ὅσα τότε ἐπῄνεσας θαυμάσας· καὶ ἐάν μοι πεισθῇς καὶ ποιήσῃς ταῦτα, οὐδεὶς ὅλως οὐκέτι πολεμήσει σε

οὐδ᾽ ἀφελέσθαι σού τίς τι δυνήσεται λοιπὸν ὧν οὐ κέκτησαι· ἐὰν γὰρ ἐμοὶ πεισθῇς κατὰ κράτος καὶ ἀσφαλῶς, οὐδεὶς οὐδὲν τοῦ ὑμετέρου βίου εὑρήσει παρά σοι· ὗλαι γάρ σε θρέψουσι λοιπὸν τῆς προνοίας σοι πάντα χορηγούσης ὥσπερ καὶ ἡμῖν, καὶ ἐν πᾶσι πλουτήσεις μιμησάμενος Βραγμᾶνας ἀκριβῶς. καὶ ἐμοὶ τοῦτο καταγραφήσεται εἰς αἰώνιον χαρὰν ἡ σὴ ὠφέλεια· τοῦτο γὰρ καὶ παρ᾽ ἐμοῦ ᾔτησας ἐξ ἀρχῆς. οὐ φθονοῦμεν οὖν ἡμεῖς οὐδένα τῶν βουλομένων ἀληθῶς εὐσεβεῖν εἰς τὸν θεὸν καὶ βίον ἡμέτερον ἐθέλοντας ζηλοῦν οἰκτείροντες πᾶσαν ἀνθρώπου φύσιν”.